


68
D
4

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΙ Ζ,

Προμηθεὺς δεσμώτης, Χοηφόροι,
Ἑπτὰ ἐπὶ Θήβαις, Εὐμενίδες,
Πέρσαι, Ἱκέτιδες.
Ἀγαμέμνων,

ΣΧΟΛΙΑ εἰς τὰς αὐτὰς τραγῳδίας.

AESCHYLI TRAGOEDIAE VII.

Quæ cùm omnes multo quàm antea castigatiores eduntur, tum verò vna, quæ mutila & decurtata prius erat, integra nunc profertur.

SCHOLIA in easdem, plurimis in locis locupletata, & in penè infinitis emendata.

PETRI VICTORII CVRA ET DILIGENTIA.





EX OFFICINA
[redacted]
Henrici M. D. LVII. Stephani



PLVRES, vt apparet, eidem operi, eodem tempore, diuersis tamen in locis, toto animo incubuere: communis vtilitatis studiosi, ac Græcas literas hac etiã parte adiuuare volẽtes. quum enim AEschylus Atheniẽsis, magni nominis in tragicis, summáque cum laude in eo studio versatus, ad nostra tempora, quibus & doctrina omnis liberalis, & in primis Græca lingua reuixit, mãcus vndique ac debilis peruenisset: (nam & plurimæ ipsius tragœdiæ funditus periere, & nonnullæ quæ restabant, mendosè excusæ fuerant: turpibúsque maculis affectæ, in manibus habebantur:) huic illi malo remedium adhibere conati sunt: eásque rursus diligẽtius multo integriúsque imprimendas curarunt, ac non pauca ipsius vulnera facilè sanarũt. Nos igitur quoque, qui olim eidem rei operam diligenter dederamus, ac non sine fructu aliquo cum antiquis libris hunc poetam contulisse nobis videbamur: perire lucubrationes nostras noluimus, sed eas erudito ac diligenti iuueni Henrico Stephano diuulgãdas dedimus, quum hîc apud nos facultatem edendi nullam haberemus. cuius rei expectatio diu consiliũ nostrũ remorata est. Atque hoc non fecimus vt laudem aliorum minueremus: sed vt quicquid studio nostro in hoc efficere potuimus, in medium proferremus. neque nunc labores nostros cum eorum vigiliis conferemus, vllámve in partẽ vicisse nos illos gloriabimur: docti postea viri, & qui acre iudicium harum rerum habent, videbunt quæ potissimum è multis editio anteponenda sit. Vna certè in re illis fœliciores fuimus, quòd integram Agamemnonem nacti sumus: cuius fabulæ prima tantùm pars, atque ea quidẽ pusilla, typis antea excusa fuerat. Nam quòd prius errore quodam non paruo, confusa hæc fabula erat cum Choëphoris, originem huius incommodi (nisi fallor) indicabo. Erant in vetustissimo nobilissimóque volumine, quo cõtinentur omnes Sophoclis atque AEschyli tragœdiæ, quæ superiorum temporum acerbitatem subterfugêre: nec non Apollonii etiam Argonautica: (id autem apud nos est:) ambæ hæ fabulæ, eodem ordine scriptæ, quo res ipsæ gestæ

fuere: vt Agamemnon præcederet, consequerentur Choëphoræ. lapsæ autem illinc sunt paginæ nonnullæ, siue ab improbo quopiam excisæ, in quibus reliqua, ac magna quidem illa, pars Agamemnonis continebatur, & initium Choëphorarum manebat. neque enim multa è principio huius fabulæ videntur desiderari. Alium autem librum inueneramus, in quo Agamemnon integra esset: quum tamen nec in illo, nec in altero vllo Choëphoras totam reperire potuerimus. quare affirmare ausim, eam partem huius tragœdiæ ex hoc nostro exemplari manasse. vnde sanè descripta fuerit, postquam id incommodum quod narraui, acceptum est. quare mutilata capite atque initio suo in manus venit. Quod verò ad Agamemnonem pertinet: ne quicquã omitteremus quod ad eius restitutionẽ faceret, quũ audissemus Romæ in bibliotheca Alexandri Farnesii, summi antistitis, atque omni re, nobili ac splendido homine digna, instructissimi, AEschyli volumen inueniri, in quo hæc fabula legeretur: conferendam eam, à nobis descriptam, curauimus cum eo exemplari. in quo nobis operam suam fidelem atque eruditam præbuit Gulielmus Sirletus, vt cuncta diligenter notaret quæ aliter illic legerentur. Nos autem postea varietatibus illis diligenter ponderatis, in eam opinionem venimus vt nostrum librum non deteriorem illo putaremus: ac magnam partem eorum quæ variata in eo offenduntur, immutatam ab aliquo crederemus, qui in suos quosdam versus restituere chori cantus voluerit. sæpe enim addita aut dempta illic quædam cognouimus, quæ consilium ipsius adiuuarent. Vt autem comitem huius laboris, magni quidem atque ardui, eruditum ac strenuũ iuuenem habui Bartholomæum Barbadorum (quem semper, propter ingenii excellentiam & optimarum artium studium, plurimum amaui) ita laudis ipsum socium habere cupio, si qua ex tam tenui studio gloria acquiri potest. Quanquam nobilissimos viros & pulcherrimarum rerum scientia politissimos, honestè olim in eo versatos accepimus. & sanè si spectetur vtilitas, quæ profectò ingens capitur è diligentia posita in emendandis, authoritate veterum librorum, antiquorũ monimentis, res præmio hoc vir-

tutis atque honestorum factorũ carere non debet. Nam quin molestum in primis atque operosum hoc negotium sit, nemo dubitare potest: sed magis hoc cognitum ac perspectum habent qui id experti sunt, & aliquando in eo occupati fuere. Non pœnitebit autẽ nos tantos labores in alieno opere suscepisse, si gratos illos & acceptos studiosis ingenuarũ artium esse intelligemus. Dignus certè semper nobis hic poeta visus est, & propter sententiarũ grauitatem, & propter elegantiam sermonis, in quo purgando cuncti, qui id facere possent, omnes ingenii sui vires contenderent. & sanè consensus duorũ doctissimorum atque eruditissimorum virorũ, qui in hoc elaborarunt, eiusdem iudicii fuisse illos declarauit. Multa verò quæ valerent ad eum ornandum, & ad vtilitatem quæ ex accurata eius lectione capi potest, ostendẽdam, cõmemorare nõ libet. magnis enim ille crebrísque testimoniis grauissimorũ & Græcorum & Latinorum scriptorum celebratus est: & nõ vt poeta solùm, sed etiam vt philosophus, ac scientia reconditarum artium ornatus. Nam quãtopere etiam studium suũ adiuuerit, ac quantum dignitatis ei adportarit, quod prius rude admodum atque inchoatum ferebatur: (quãuis summum ipsius attingere nõ potuerit:) ab vtriusque linguæ magnis authoribus memoriæ mandatum est.

VOLVI etiam, humanissime lector, tibi quid de scholiis quæ inueniuntur in antiquis libris, sentirẽ, ostendere: simúlque quantùm numerum bonitatémque eorum auxerim, quæ in AEschylum antea excusa fuerant, libellúmque hunc multis partibus meliorem reddiderim, indicare. Declarationes igitur has non cõtemnendas plerunque arbitror: quippe quũ videam, Eustathium Homeri interpretem, qui vltimis Græciæ temporibus floruit, magnæque authoritatis grammaticus habitus est, earum testimonio sæpe niti, atque ipsas diligenter citare. Arbitrórque non paucas ipsarũ, particulas esse iustorum commentariorum, quæ inde sumptæ, cõmoditatis causa, vt parata aliquis haberet quæ notionem externæ aut priscæ vocis traderent, aut cõsuetudinem aliquam referrent, trãslatæ postea sint in libros ipsos poetarum. Cognoui enim

hoc contigisse in multis antiquissimis Aristotelis exemplaribus, vt declaratiunculæ multæ quæ illic leguntur,(siue illi libri rationem differendi,siue res naturales tradant,siue partem aliam philosophiæ explicent:)haustæ sint è magnis plenísque doctissimorum virorum,Alexandri,Simplicii,Philoponi voluminibus.illæ autem,quum semel studio alicuius in opus ipsum authoris transierant, fiebat vt semper qui illum authorem describeret, notaret etiã quæ in margine eius exẽplaris adposita forent. Neque tamen eiusdem authoritatis fideíque omnes esse iudico: vt nec omnia etiam commentaria quæ in antiquos scriptores confecta sunt,eandem diligentiã eruditionémque præ se ferunt. Vt autem liberè loquar quod sentio de scholiis iis quæ in tres nobilissimos tragicos circunferuntur:puto hæc quæ in AEschylum leguntur,in vetustissimo præsertim nostro exemplari, meliora cæteris & eruditiora esse:primásque ipsis libenter detulerim. secundas verò Sophocleis, & illis maximè quæ Romæ primùm separatim excusa fuerunt:nam ipsa postea creuere,opera cuiusdam qui magis numerum eorũ augere voluerit, quàm intelligentiam eius poetæ adiuuare studuerit. immiscuit enim cum ipsis nõnulla doctrina & acumine priorum illorum indignissima. Quæ in septem Euripidis tragœdias declarationes editæ sunt, minores multo inferioréſq; doctrina esse existimo. Nam hoc etiam affirmare non dubitarim, quod scio,Græcũ hominem qui Sophoclea primùm scholia,formis excusa,diuulgauit,descripsisse ipsa è nostro hoc exemplari: ac præterea illa quæ apud nos abhinc annis sexaginta in Apollonium Rhodium excusa sunt vnà cum opere ipso poetæ, ab eodem libro fluxisse. quod valet etiam ad nobilitatem huius voluminis ostendẽdam, authoritatémque ei vndique ac gratiam conciliandam: quũ inde tot commoda in studiosos bonarũ artium profecta sint.Neque tamen,iis solùm retẽtis quorum vestigia in nostro antiquissimo exemplari impressa sunt,cætera reieci quæ prius excusa,illinc absunt. illa enim quoque vtilia puto, ac posse aliquando sua luce caliginem alicuius obscuri apud poetam loci discutere censeo. hoc tamen testificari volo,plurima quæ in excuso antea volumine leguntur

explanata ita vt ſingulis poeticis vocibus ſtatim redditæ ſint earũ declarationes,in noſtro calamo antiquitus exarato libro inueniri ſine tam accurata minutáque omniũ verborum expoſitione . quòd contentus author eorum fuerit aut ordinem verborum mõſtraſſe,aut veterem aliquem morem tradidiſſe,aut aliquid,quod ad artem pertineret,admonuiſſe: neque tantopere diffiſus ingenio fuerit eruditioníque lectoris,vt egere illum ſemper ſingularum vocum , non reconditarum etiam,propinqua coniunctáque explanatione iudicarit.Nam hoc etiã aſſeuerare auſim,in nullis aliis tragicorum ſcholiis plura inueniri quæ ad artificium huius poematis oſtendendum pertineant, ac ſtudioſos eius percipiendi magis adiuuare queant. Quòd ſi genere aliquo declarationis alicuius tragici poetæ ſcripta egebãt,hæ ipſæ in primis AEſchyli fabulæ id requirebãt : quũ infinitis locis obſcuræ admodum ſint, inueniantúrque in ipſis multa nomina valde à conſuetudine remota.Ille enim,vt vndique amplũ grandéque id poema efficeret, & plura quàm alii eiuſdem loci verba nouauit, & vetuſta etiam peregrináque liberius vſurpauit.quæ omnia niſi explicata forent , moleſtiam ſæpe lectori non paruam exhiberent,impetúmque eius vehementer retardarẽt.Neque tamen ille vnquam,dum ſeruit amplitudini eius poematis, nitorem atque elegantiam ſermonis neglexit. aſperſa enim eſt oratio ipſius ſuauiſſimis quibuſdam quaſi floribus, qui exornant eam magnopere, & vndique concinnam ac politã reddunt. Iuuit autem me præcipuè,quũ breui in margine noſtri illius libri ſignificatum inueni,hoc aut illud ad imitationem Homeri prolatum fuiſſe:omnéſque illas animaduerſiones diligenter collegi:ſiue illæ eodem pacto vſurpatum verbum aliquod fuiſſe ab AEſchylo , quo à principe poetarum, oſtenderent:ſiue ſententiam quampiam hauſtam eſſe è fonte eodem pulcherrimarum grauiſſimarúmque ſententiarum demõſtrarent.nam omnibus in rebus AEſchylum ſummum Homeri imitatorem extitiſſe,admiratúmque ſemper eſſe ingenium & eruditionem ipſius,ab optimis authoribus proditum eſt.quum idem etiam(vt erat probus vir, ac ſimplicis naturæ)feratur ſolitus dicere,tragœdias ſuas,exiguas eſſe partes

amplarum Homeri cœnarum. quod quũ, vt multa alia, Græcè melius dicatur, ita tamẽ quoque expositum, declarat quãtum honorem ipse habuerit eximio poetæ, & quantopere se adiutum ingenio ipsius inuẽtionéque fateretur. Labores autem quos sustinui in scholiis iis, quæ adiunxi, eruendis ex antiquo exemplari, & ordine suo collocandis (quum ob vetustatem illud multis locis penè deletum sit) ac fastidia quæ in tam humili minutóque opere deuoraui, commemorare non libet. neque enim quicquã vnquam quod prodesse possit studiosis, aut nimis arduum, aut me indignum putabo. Vale.

ΒΙΟΣ ΑΙΣΧΥΛΟΥ.

Αἰσχύλος ὁ τραγικὸς, γένος μὲν ἦν Ἀθηναῖος, Ἐλευσίνιος τὸν δῆμον, υἱὸς Εὐφορίωνος, Κυναιγείρου ἀδελφὸς καὶ Ἀμεινίου, ἐξ εὐπατριδῶν τὴν φύσιν ἔχων· νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ αὐτοῦ ὑπερῆρε κατά τε τὴν ποίησιν, καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας, καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, ὡς καὶ Ἀριστοφάνης φησὶν, Ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ, Καὶ κοσμήσας τραγικὸν λῆρον. συνεγένετο δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα. γενναῖον δέ φασιν αὐτὸν καὶ μετασχεῖν τῆς ἐν Μαραθῶνι μάχης σὺν τῷ ἀδελφῷ Κυναιγείρῳ, τῆς τε ἐν Σαλαμῖνι ναυμαχίας, σὺν τῷ νεωτέρῳ ἀδελφῷ Ἀμεινίᾳ, καὶ τῆς ἐν Πλαταιαῖς πεζομαχίας. κατὰ δὲ τὴν σύνθεσιν τῆς ποιήσεως ζηλοῖ τὸ ἁδρὸν ἀεὶ καὶ ὑπέρογκον, ὀνοματοποιίαις τε καὶ ἐπιθέτοις, ἔτι δὲ καὶ μεταφοραῖς, καὶ πᾶσι τοῖς δυναμένοις ὄγκον τῇ φράσει περιθεῖναι, χρώμενος. αἵ τε διαθέσεις τῶν δραμάτων οὐ πολλὰς αὐτῷ περιπετείας καὶ πλοκὰς ἔχουσιν, ὡς παρὰ τοῖς νεωτέροις. μόνον γὰρ σπουδάζει τὸ βάρος περιτιθέναι τοῖς προσώποις, ἀρχαῖον εἶναι κρίνων τοῦτο τὸ μέρος, μεγαλοπρεπές τε καὶ ἡρωϊκόν· τὸ δὲ πανοῦργον, κομψοπρεπές τε καὶ γνωμολογικὸν, ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος. ὥστε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων, κωμῳδεῖται παρὰ Ἀριστοφάνει. ἐν μὲν γὰρ τῇ Νιόβῃ, ἕως τρίτης ἡμέρας ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων, οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη· ἐν δὲ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. διὸ ἐκλογαὶ μὲν παρ' αὐτῷ τῇ κατασκευῇ διαφέρουσαι πάμπολλαι ἂν εὑρεθεῖεν· γνῶμαι δὲ ἢ συμπάθειαι, ἢ ἄλλο τι τῶν δυναμένων εἰς δάκρυα ἀγαγεῖν, οὐ πάνυ. ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπά-

τὴν κέχρηται. ἀπῆρε δὲ ὡς Ἱέρωνα τὸν Σικελίας τύραννον, κατά τινας μὲν, ὡς ὑπὸ ἀθηναίων κατασπουδασθεὶς, καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ· κατὰ δὲ ἐνίους, ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. τινὲς δέ φασιν, ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορὸν, τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον, ὥστε τὰ μὲν νήπια ἐκψύξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι. ἐλθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος, ἐπεδείξατο τὰς Αἴτνας, οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικοῦσι τὴν πόλιν. καὶ σφόδρα τῷ τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελῴοις τιμηθεὶς, ἐπιζήσας τρίτον ἔτος, ὢν ἐτῶν πέντε πρὸς τοῖς ἑξήκοντα, τοῦτον ἐτελεύτα τὸν τρόπον· ἀετὸς χελώνην ἁρπάσας, ὡς ἐγκρατὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυεν, ἀφίησι κατὰ πετρῶν αὐτὴν, συνθλάσων τὸ δέρμα. ἡ δὲ ἐνεχθεῖσα κατὰ τοῦ ποιητοῦ, φονεύει αὐτόν. χρησμὸς δὲ ἦν αὐτῷ δοθεὶς οὕτως, Οὐράνιόν σε βέλος κατακτανεῖ. ἀποθανόντα δὲ Γελῷοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες, ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες οὕτως,

Αἰσχύλον Εὐφορίωνος ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας.
ἀλκὴν δ' εὐδόκιμον μαραθώνιον ἄλσος ἂν εἴποι,
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Εἰς τὸ μνῆμα δὲ φοιτῶντες ὅσοις ἐν τραγῳδίαις ἦν ὁ βίος, ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. ἀθηναῖοι δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον, ὡς ψηφίσασθαι μετὰ θάνατον αὐτοῦ, τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου, χρυσὸν λαμβάνειν. ἐβίωσε δὲ ἑξήκοντα καὶ τρία ἔτη, ἐν οἷς ἐποίησε δράματα ἑβδομήκοντα, καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ πέντε. νίκας δὲ τὰς πάσας εἴληφε τρισκαίδεκα. οὐκ ὀλίγας δὲ καὶ μετὰ τελευτὴν νίκας ἀπηνέγκατο.

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΑΙΣΧΥλου δραμάτων, κατὰ στοιχεῖον.

Ἀγαμέμνων, Ἀθάμας, Αἰγύπτιοι, Αἰτναῖοι γνήσιοι, Αἰτναῖοι νόθοι Ἀμυμώνη, Ἀργεῖοι, Ἀργὼ ἢ Κωπαστής, Ἀταλάντη. Βάκχαι Βασσάραι. Γλαῦκος πόντιος. Δαναΐδες, Δικτυουργοί. Ἐλευσίνιοι Ἐπίγονοι, Ἑπτὰ ἐπὶ Θήβαις, Εὐμενίδες. Ἠδωνοί, Ἡλιάδες, Ἡρακλεῖδαι. Θεόδωροι ἢ Ἰσθμιασταὶ Θρήϊσσαι. Ἱκέτιδες, Ἰξίων, Ἰφιγένεια. Κάβειροι, Καλλιστώ, Κᾶρες ἢ Εὐρώπη, Κερκύων, Κήρυκες, Κίρκη σατυρική, Κρῆσσαι. Λάϊος. Λέων Λήμνιοι. Λυκοῦργος. Μέμνων, Μυρμιδόνες Μυσοί. Νεανίσκοι Νεμέα, Νηρηΐδες, Νιόβη. Ξάντριαι Οἰδίπους Ὅπλων κρίσις, Ὀστολόγοι. Πενθεύς, Περραιβίδες, Πέρσαι Πηνελόπη, Πολυδέκτης, Προμηθεὺς δεσμώτης, Προμηθεὺς πυρφόρος, Προμηθεὺς λυόμενος, Προπομποί, Πρωτεύς. Σαλαμίνιοι, Σεμέλη ἢ Ὑδροφόρος, Σίσυφος δραπέτης, Σφίγξ. Τήλεφος, Τοξότιδες, Τροφοί. Ὑψιπύλη. Φιλοκτήτης, Φορκίδες, Φρύγες ἢ Ἕκτορος λύτρα, Φρύγιοι. Χοηφόροι. Ψυχαγωγία, Ψυχοστασία.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥλου τραγῳδίας, Προμηθέως δεσμώτου.

Προμηθεὺς ἐν σκυθίᾳ δεδεμένος διὰ τὸ κεκλοφέναι τὸ πῦρ, πυνθάνεται Ἰὼ πλανωμένη ὅτι κατ' Αἴγυπτον γενομένη, ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διΐ. προῄδει γὰρ ὁ Προμηθεὺς ὡς ἐξωσθήσεται ὁ Ζεὺς τῆς ἀρχῆς ὑπό τινος οἰκείου υἱοῦ. τέλος δὲ, βροντῆς γενομένης ἀφανὴς ὁ Προμηθεὺς γίνεται. κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις, παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν σκυθίᾳ ἐπὶ τὸ καυκάσιον ὄρος. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστὶ, Προμηθέως δέσις. Ἰστέον δὲ ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς εὐρωπαίοις μέρεσι τοῦ ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔξεστι συμβαλεῖν.

Τὰ τοῦ δράματος πρόσωπα.

Κράτος καὶ Βία, Ἥφαιστος, Προμηθεὺς, Ὠκεανὸς, Χορὸς Ὠκεανίδων νυμφῶν, Ἰὼ ἡ Ἰνάχου, Ἑρμῆς.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ

Προμηθεὺς δεσμώτης.

κρ. καὶ β. ΧΘΟΝΟΣ μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβατον εἰς ἐρημίαν·
Ἥφαιστε σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς, — οὕτω χρῶνται τῷ τῆς ἐπιστολῆς ὀνόματι καὶ ὁ Ξενοφῶν ἐν τῷ α΄ παιδ.
ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι,
ἀδαμαντίναις πέδησιν, ἐν ἀρρήκτοις πέτραις.
τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,
θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην.
ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.
ἥφ. Κράτος Βία τε σφῷν μὲν ἐντολὴ Διὸς

¶Τηλουρὸν πέδον.] τὸν καύκασον λέγει. ἰστέον δὲ ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς εὐρωπαίοις τέρμασι τοῦ ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔστι συμβαλεῖν. τηλουρὸν δὲ διὰ τὸ πολὺ τοῦ ὄρους ἐνταῦθα ἐκάλεσεν, ἤγουν τὸ ἐπὶ πολὺ διῆκον, καὶ ἕλκον τὰ οἰκεῖα ὅρια μακράν· ἢ διὰ τὸ ὑψηλὸν, ἀφ' οὗ πόρρω τις ὁρᾶν δύναται. ¶Σκύθην ἐς οἶμον] ἤγουν τὴν σκυθικὴν ὁδόν. ἵνα γὰρ ἀπαραμύθητος εἴη ὁ Προμηθεὺς, διὰ τοῦτο ἐς ἐκείνους τόπους ἄγουσιν. ὡς καὶ Σοφοκλῆς τὸ αὐτὸ περὶ Φιλοκτήτου λέγει. ἢ διὰ τοῦτο σκυθικὴν ὁδὸν εἶπε, διότι σκύθαι κατῴκουν τὸν καύκασον. ἢ διὰ τὸ ἄγριον καὶ ἀπάνθρωπον τοῦ τόπου· ὅτι δὲ τοιοῦτος ὁ τόπος ἐκεῖνος, δῆλον ἀπὸ τοῦ εἰπεῖν, ἄβατον εἰς ἐρημίαν. ¶Ἐπιστολὰς] ἐντολάς. γράφεται καὶ ἐπιτολὰς δίχα τοῦ σ, κατὰ τοὺς ἀθηναίους. ¶Λεωργὸν] τὸν Προμηθέα λέγει τὸν ἔχοντα ἔργον τοῖς λαοῖς ἀπαγγέλλειν τὰ τῶν θεῶν ἔργα καὶ βουλεύματα. ἢ τὸν τοὺς λαοὺς ἐργασάμενον, ἤγουν τὸ τῶν ἀνθρώπων πλῆθος. ἔστι γὰρ μυθικὸν πλάσαι τὸν ἄνθρωπον. Ἄλλως. Λεωργὸν τὸν τοῖς λαοῖς ἔργα παρασχόντα διὰ τοῦ πυρός. ἢ τὸν ἄξιον γενέσθαι ἔργον καὶ παρανάλωμα λάων, τοῦτ' ἔστι λίθων. ¶Τὸ σὸν γὰρ ἄνθος] ταῦτα πρὸς ἐρεθισμὸν τοῦ Ἡφαίστου φασὶ τὸ Κράτος καὶ ἡ Βία, ἵνα σπουδαιότερον αὐτὸν ἀπεργάσωνται πρὸς τὴν τοῦ Προμηθέως ἀνασκολόπισιν. ταῦτα γὰρ ἐρεθίζει τὸν Ἥφαιστον, ὡς εἰ ἔλεγε, τὸν σὸν κόσμον. παρὰ τὸ Ὁμήρου, Αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ. ¶Φιλανθρώπου] Οὐ μόνον διὰ τὸ κεκλοφέναι τὸ πῦρ, ἄγνωστον ὂν τοῖς ἀνθρώποις, κεκόλασται Προμηθεὺς, ἀλλ' ὅτι καὶ βοῶν ποτε τεθυμένων ἑαυτοῖς τῶν θεῶν, αὐτὸς διανομεὺς καταστὰς, τοῖς μὲν ἄλλοις θεοῖς ἔγκατα παρέθηκε μόνα, τὰ δὲ ἐπὶ κῶλα πιμελῇ κεκαλυμμένα, τὰ κρέα πάντα αὐτοῖς καταδεδεχώς. ¶Κράτος Βία τε σφῷν] ἡ μὲν παρὰ τοῦ Διὸς ἐντολὴ δι' ὑμῶν ἀγγελθεῖσά μοι,

φησὶν ὁ Ἥφαιστος, ἔχει ἤδη τέλος· οὐδὲν ἐμποδών ἐστι τοῦ γενέσθαι καὶ πληρωθῆναι αὐτήν. ἐγὼ δὲ ἀπρόθυμός εἰμι τὸν Προμηθέα δῆσαι καὶ ἀνασκολοπίσαι ἐν τῷ δυσχειμέρῳ τούτῳ ὄρει (τὰ γὰρ ὑψηλόκρημνα ὄρη δυσχείμερά εἰσι) ὅμως ἀναγκαῖόν ἐστι τοῦτο ποιῆσαι. τὸ γὰρ ἔξω ὥρας καὶ φροντίδος τίθεσθαι καὶ ποιεῖσθαι τὰς τοῦ πατρὸς Διὸς προστάξεις (τοῦτο γάρ ἐστι τὸ ἐξωριάζειν πατρὸς λόγους, ἤτοι παραβλέπεσθαι) χαλεπὸν καὶ ἐπικίνδυνον.

ἔχει τέλος δή, κοὐδὲν ἐμποδὼν ἔτι·
ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν
δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν.
ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι
προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ,
ἵν' οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν
ὄψει, σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ,
χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος·
πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν.
ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει σ'. ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.

¶ Συγγενῆ θεὸν] τὸν ἀπὸ μιᾶς ὁρμώμενον τύχης. ¶ Δυσχειμέρῳ] λείπει ἄβατον ἢ ὑψηλόκρημνον αὐτὴν εἶπεν· ὥσπερ προσαναπλήρωσιν τὸ δυσχειμέρῳ. ¶ Τῆς ὀρθοβούλου Θέμιδος] πρὸς τὸν Προμηθέα ἀποστρέφει ὁ Ἥφαιστος τὸν λόγον, Θέμιδός τε παῖδα αὐτὸν εἶπε, τῆς δικαιοσύνης τῆς ὀρθὰ καὶ δίκαια βουλευομένης. πῶς δέ φησι τὸν Προμηθέα υἱὸν τῆς Θέμιδος, δέον ἀποστρόφως λέγειν· ἐκ προμηθείας γὰρ καὶ σκέψεως τὸ δίκαιον εὕρηται. καὶ φαμὲν ὡς αἴτιον τὸ δίκαιον τοῦ προμηθεῖσθαι, διὰ τοῦτο καὶ τὸν Προμηθέα δίκης υἱὸν λεγόμενον. ἐπεὶ καὶ ὁ κλεπτομένης πρότερον ἔννοιαν λαμβάνει τῆς ἀνθρώπων ἀναπαύσεως, εἶτα ἐπιχειρεῖ καὶ κλίνην ποιεῖ· καὶ ἔστι τὸ μὲν ἔργον πρότερον ἡ κλίνη, τὸ δὲ διάνοια ἡ τοῦ ἀνθρώπου ἀνάπαυσις. Ἄλλως. ἐπιστροφὴ πρὸς τὸν Προμηθέα· Θέμιδος δὲ τὸν Προμηθέα φησὶ καὶ οὐ Κλυμένης. ¶ Σταθευτὸς] φλογιζόμενος· σταθεύειν γὰρ τὸ κατ' ὀλίγον ὀπτᾶν, φασὶν οἱ Ἀττικοί. ¶ Ποικιλείμων] ἡ ὡς λειμὼν τοῖς ἄστροις πεποικιλμένη, ἢ ποικίλον ἔνδυμα ἔχουσα, διὰ τὸ πεποικίλθαι τοῖς ἄστροις. ¶ Πάχνην θ' ἑῴαν ἥλιος] ἐν νυκτὶ ἴσμεν ὅτι γίνεται ἡ πάχνη· ταύτην οὖν, φησίν, ὑπὸ τὸν ὄρθρον ἀνατέλλων ὁ ἥλιος ἀποσκεδάσει καὶ διασκορπίσει. ¶ Ἑῴαν] τὴν ὑπὸ ἕω γινομένην, ἤτοι τὴν πρωϊνήν. δηλοῖ δέ, ὅτι οὐδὲ νύξ, οὐδὲ ἡμέρα ἔσται αὐτῷ μετ' εὐχαρείας. ¶ Ὁ λωφήσων] ὁ ποιήσων λωφῆσαι Ἡρακλῆς. φασὶ γὰρ μετὰ ταῦτα γενόμενον τὸν

Ἡρακλέα πρὸς τὸ καθάραι τὴν κακούργων καὶ λῃστῶν τὴν γῆν ἀφ᾽ ἑαυτοῦ κεκληρωμένην, καὶ πρὸς πᾶν μέρος γῆς πορευόμενον, παραγενέσθαι καὶ ἐπὶ τὴν χώραν καθ᾽ ἣν ὁ Προμηθεὺς ἐδέδετο. ἰδόντα δὲ αὐτὸν ταῖς πέτραις προσηλωμένον, καὶ ὑπὸ γυπὸς τὸ ἧπαρ κειρόμενον, ὑπεραλγῆσαί τι αὐτοῦ καὶ βέλει γῦπα φονευσάμενον, ἐξελευθερῶσαι τὸν Προμηθέα τοῦ ἀποκείρεσθαι τὸ ἧπαρ αὐτοῦ, καὶ μέντοι καὶ ἀπολῦσαι.

τοιαῦτ᾽ ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.
θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον,
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης.
ἀνθ᾽ ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
ὀρθοστάδην, ἄυπνος, οὐ κάμπτων γόνυ·
πολλοὺς δ᾽ ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξῃ· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.
κρ. Εἶεν· τί μέλλεις καὶ κατοικτίζῃ μάτην;
τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν,
ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;
ἡφ. Τὸ συγγενές τοι δεινὸν, ἥ θ᾽ ὁμιλία.
κρ. Σύμφημ᾽, ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;

¶Τοιαῦτ᾽ ἀπηύρω] τοιούτων, φησίν, ἐπέτυχες, φιλάνθρωπος γενόμενος. ἐν ἤθει δὲ ὁ λόγος. ἀντὶ τῆς φιλανθρωπίας ἐπίχειρα τοιαῦτά σοι ἐγένετο, καὶ τοιούτων ἐπέτυχες ἀγαθῶν, ὅτι τοῖς ἀνθρώποις δέδωκας τὴν τοῦ πυρὸς χρῆσιν, τιμήσας αὐτούς, τὴν δὲ μεγίστην θεῶν τὴν ὀργὴν μὴ πτοούμενος. ¶Ἀνθ᾽ ὧν ἀτερπῆ] τοῦτό φησιν, ἀνθ᾽ ὧν σὺ ἔπραξας πλημμελῶς, φρουρήσεις ταύτην τὴν ἀτερπῆ πέτραν, ὀρθὸς ἱστάμενος, ἄυπνος, οὐδέποτε καθήμενος· ἣν οὐ δυνήσῃ παρατραπῆναι. ἀτερπῆ διὰ τὰ ἐπαγόμενα. ¶Διὸς γὰρ δυσπαραίτητοι φρένες] χαλεπαί εἰσι καὶ ἀκαταφρόνητοι αἱ τοῦ Διὸς ὀργαί, καὶ εἰ παραιτηθεῖεν, κακοῦ πρόξενοι γίνονται. ἢ, ἀμετακίνητοί εἰσιν οἱ τοῦ Διὸς λογισμοί, καθ᾽ ὧν ὀργισθῇ. πᾶς δὲ νεωστὶ κρατήσας, τελείως χρῆται τῇ ἐξουσίᾳ, ἵνα φοβερὸς δόξῃ τοῖς ὑπὸ χεῖρα. καὶ ὁ Ζεὺς νεωστὶ ἐπέβη τῆς βασιλείας. ¶Ἅπας δὲ τραχὺς] χαλεπαὶ δέ τ᾽ ἄνακτος εἰσὶν ἀπειλαὶ τοῦ νέου. ταῦτα δέ φησιν ὡς νεωστὶ τοῦ Διὸς τὸν πατέρα ἐκβαλόντος. ¶Τὸ συγγενές τοι δεινὸν] ὁ Ἥφαιστός φησιν ὅτι ἰσχυρὸν καὶ βίαιον ἡ συγγένεια, καὶ ἡ ἐκ παλαιοῦ συνήθεια, καὶ ὁμιλία καὶ συναναστροφή. ταῦτα δέ φησι πρὸς τὸ Κράτος, εἰπὸν πρὸς αὐτόν, διὰ τί οἰκτίζῃ τὸν Προμηθέα; τὸ δέ φησι πρὸς τὸν Ἥφαιστον, ὅτι ἀληθῶς λέγεις ταῦτα. φησὶ δὲ τὸ συγγενές, ὅτι πυρὸς ταμίας ἐστὶ καὶ αὐτός. ¶Ἀνηκουστεῖν] τὸ δὲ ἀνηκουστεῖν τῆς τοῦ πατρὸς Διὸς κελεύσεως, δυνατόν ἐστι πῶς; ἐρώτησις ἔχουσα τὸ ἄλυτον, οἷόν τι πῶς; δυνατόν; δεῖ νοηθῆναι καὶ οὕτως, κατ᾽ ἐρώτησιν ἁπλῶς δοκοῦσαν ἔχειν τὸ ἄλυτον, ὡς καὶ ἔν τινι, πῶς ἂν ἔπειτα Ὀδυσῆος λαθοίμην; ὡς γὰρ μὴ δυνατὸν λαθέσθαι, ἐρωτᾷ.

τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.

ἡφ. Αἰεί τε δὴ νηλὴς σὺ, καὶ θράσους πλέως.
κρ. Ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι· σὺ δὲ
  τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
ἡφ. Ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
κρ. Τί νιν στυγεῖς; πόνων γὰρ, ὡς ἁπλῷ λόγῳ,
  τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.
ἡφ. Ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
κρ. Ἅπαντ' ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν·
  ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.
ἡφ. Ἔγνωκα, τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω.
κρ. Οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν,
  ὡς μή σ' ἐλινύοντα (cessantem) προσδέρκῃ πατήρ;
ἡφ. Καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα.
κρ. Λαβών νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
  ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
ἡφ. Περαίνεται δὴ κοὐ ματᾷ τοὔργον τόδε.
κρ. Ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα.
  δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρον. ita [illegible] vt, Fata viam inuenient.
ἡφ. Ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως.
κρ. Καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς· ἵνα
  μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.

¶Αἰεί τι δὴ νηλὴς σὺ] πρὸς τὸ Βία ταῦτα φησὶν, οὐ πρὸς τὸ Κράτος. τὸ γὰρ κράτος, ἤτοι ἡ τοῦ Διὸς ἐξουσία, αὐτός ἐστιν ὁ Ζεύς. πρὸς αὐτὸν οὖν τὸν λόγον ποιεῖται. εἰ γὰρ πρὸς τὸ κράτος ἔλεγεν, οὐδ' ἑτέρως ὤφειλε τὸν λόγον ἀποδοῦναι. ¶Ὦ πολλὰ μισηθεῖσα] ἐνταῦθα μὴ δυνάμενος ὁ Ἥφαιστος ἀντειπεῖν, πρὸς τὴν ἑαυτοῦ τέχνην τὴν χαλκευτικὴν ἀνάγει τὴν ὀργὴν, καὶ μισητὴν ἀποκαλεῖ, διότι μέλλει προσηλῶσαι τὸν Προμηθέα. τὸ δὲ Κράτος βουλόμενον δηλῶσαι ὅτι οὐχ ἡ αὐτοῦ τέχνη ἐστὶν αἰτία τοῦ δῆσαι τὸν Προμηθέα, ἀλλ' ἡ πρὸς τὸν Δία ὑποταγὴ, φησὶ, τὴν σὴν τέχνην μισητὴν ἀποκαλεῖς; οὐκ ἔστιν αὕτη ἡ σὴ τέχνη αἰτία τῶν παρόντων πόνων, ἤτοι τοῦ δεσμοῦ τοῦ Προμηθέως, ὡς ἁπλῶς διὰ λόγου ἐστὶν εἰπεῖν. ¶Χειρωναξία] ἡ διὰ τῶν χειρῶν ἐργασία· καὶ χειρῶναξ, ὁ διὰ χειρῶν ἐργαζόμενος. ᾐνίξατο δὲ ὅτι τὴν αἰτίαν τοῦ Διὸς εἰς τὴν τέχνην μετήγαγεν. ¶Ἅπαντ' ἐπράχθη] τινές φασιν ὅτι πάντα ἐκ μοιρῶν δέδοται τοῖς θεοῖς, πλὴν τοῦ ἄρχειν. τὸ δὲ ἐπράχθη ἀντὶ τοῦ ὥρισται, τέτακται. ¶Ψάλια] κυρίως τὰ περιστόμια τῶν ἵππων. ¶Κοὐ ματᾷ] οὐ μάτην γίνεται. ¶Πόρπασον] περόνησον. ¶Σοφιστής] ἀπατεών.

ἥφ. Πλὴν τοῦδέ γ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
κρ. Ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.
ἥφ. Αἲ αἲ Προμηθεῦ, σῶν ὑπερστένω πόνων.
κρ. Σὺ δ' αὖ κατοκνεῖς, τῶν Διός τ' ἐχθρῶν ὑπερ-
στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ.
ἥφ. Ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν.
κρ. Ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
Ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
ἥφ. Δρᾶν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν.
κρ. Ἦ μὴν κελεύσω, κἀπιθωΰξω γε πρός,
χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ.
ἥφ. Καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ.
κρ. Ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας,
ὡς οὑπιτιμητής γε τῶν ἔργων βαρύς. puto ita probatore operis dico.

¶Πλὴν τοῦδε] πλὴν τοῦ Προμηθέως. ¶Ἀδαμαντίνου νῦν σφηνὸς] στερροῦ ἥλου σιδηροῦ. ¶Αὐθάδη γνάθον] ἤτοι, ἐξοχὴν πεπελεκημένην διὰ τῶν στέρνων αὐτοῦ βάλε. περόνα, δέσμει ἀσφαλῶς. ἢ, τὸ ἄκρον τοῦ σιδηροῦ ἥλου καὶ τὴν ὀξύτητα. ἢ, τὴν ἀναιδῆ καὶ στωμύλον αὐτοῦ γνάθον καὶ παρειὰν μέχρι τοῦ στήθους διάπειρον. τουτέστιν, ἕως καὶ αὐτῶν τῶν στέρνων καταπηχθήτω ἡ περόνη. κατὰ τῶν στέρνων δέ, φησί, περόνα αὐτόν, ὅτι ἐνταῦθα αὐτῷ ἡ ἀγχίνοια καὶ ἡ βουλὴ ἔγκειται, τοῖς περὶ τὴν καρδίαν τόποις. ¶Σὺ δ' αὖ κατοκνεῖς] ὀκνεῖς πλέον τοῦ δέοντος. ¶Ὅπως] λείπει τὸ σκόπει, ὅρα. ¶Ὁρᾷς θέαμα] λίαν ἀσφαλῶς ὁ Ἥφαιστος πεδῶν τὸν Προμηθέα, φησίν, ὁρᾷς θέαμα ὀδυνηρὸν καὶ ὀφθαλμοῖς οὐκ ἀνεκτὸν μαθεῖν. τὸ δὲ Κράτος φησίν, ὁρῶ τοῦτον τὸν Προμηθέα ἀπολαύοντα ὧν ἐστιν ἄξιος. ¶Μασχαλιστῆρας] δεσμά. αἰτιατική, δέσμευε αὐτὸν καὶ περὶ τὰς πλευράς. μασχαλιστῆρας, διαζώστρας, ἤτοι δεσμούς. ¶Δρᾶν ταῦτ' ἀνάγκη] ἀναγκαῖόν ἐστι ποιῆσαι τοῦτο, ἤτοι τὸ βαλεῖν μασχαλιστῆρας. σὺ οὖν μὴ προστάττε μοι συνεχῶς καὶ λίαν. τὸ δέ, φησὶ πρὸς αὐτόν, ὄντως δὴ κελεύσω, ἔτι δὲ καὶ κραυγάσω, προσέτι. ¶Χώρει κάτω] διὰ τοῦ χώρει κάτω, τὸ μέγεθος ἐνέφηνε τοῦ δεσμευομένου θεοῦ. ¶Κίρκωσον] αἰτιατική κρίκωσον. ¶Ἐρρωμένως νῦν θεῖνε] τοῦ Ἡφαίστου εἰπόντος ὅτι καλῶς ἤδη πέπρακται τὸ ἔργον, ὅτι τε ὁ Προμηθεὺς ἀσφαλῶς διεπερονήθη, φησὶ τὸ τοῦ Διὸς Κράτος πρὸς αὐτόν, ἐπειδὴ ἀρκούντως τὰ βάρη τοῖς κρίκοις ἐνέβαλες, νῦν τύπτε ἰσχυρῶς τὰς διατόρους πέδας, τὰς διαπειρούσας καὶ τιτρωσκούσας, ἤτοι τοῖς δεσμοῖς τοῖς σιδηροῖς ἢ διατόρους πέδας, τὰς διατετορευμένας. ¶Ὡς οὑπιτιμητής γε] καλῶς, φησί, καὶ στερεῶς τύπτε τὰς πέδας τοῦ Προμηθέως. ὁ γὰρ προστάξας τοῦτο τὸ ἔργον, ἤγουν ὁ Ζεύς, δεινός ἐστι καὶ βαρύς. ἢ ὁ τοῦ ἔργου ἐπιστάτης. ἢ ὁ ζημιωτής, καὶ ὁ ἐκδικητής. ταῦτα δὲ λέγοντος τοῦ Κράτους, φησὶ πρὸς αὐτὸν ὁ Ἥφαιστος (ὁ κατεπείγου μέμφοιτο πάν-

τως πεποιημένου τοῦ προσώπου αὐτοῦ καὶ ἀναιδοῦς) ἁρμόζει τῇ μορφῇ σου καὶ προσήκοντα ταῦτα πάντα τὰ τραχέα ῥήματα. τὸ δὲ πρὸς αὐτὸν, σὺ γίνου μαλθακὸς καὶ ἀγεννὴς, ἐμοὶ δὲ ἕνεκα τῆς αὐθαδίας μὴ ἐπονείδιζε τὰ ἐκ φύσεως προσόντα. Ἄλλως. ὁ σὺ τὴν μορφὴν, ὁ ἐπιτιμᾷ μᾶλλον σοι, ἔχει ἀμυδρότης, ὁ ζεύς.

ἥφ. Ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.

κρ. Σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχυτῆτα μὴ 'πίπλησσέ μοι.

ἥφ. Στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει.

κρ. Ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα
συλῶν, ἐφημέροισι προστίθει. τί σοι
οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
Ψευδωνύμως σε δαίμονες Προμηθέα
καλοῦσιν· αὐτὸν γάρ σε δεῖ προμηθέως — tibi ipsi opus est aliquo qui prospiciat
ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσῃ τέχνης.

προ. Ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί,
ποταμῶν τε πηγαί, ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,

¶Ὡς κώλοισιν] ἐν χερσὶ καὶ ποσὶ τὰ δεσμὰ ἔχει. ¶Ἐνταῦθα νῦν ὕβριζε] ἰδὼν ὁ Κράτος ἀσφαλῶς δεσμηθέντα τὸν Προμηθέα, φησὶ πρὸς αὐτὸν, νῦν ὕβριζε καὶ καταφρόνει τοῦ διός. ἐνταῦθα καὶ κλέπτων τὴν τιμὴν τοῦ διὸς δίδου τοῖς ἀνθρώποις. πῶς δυνήσονταί σε οἱ ἄνθρωποι ἐλευθερῶσαι τούτων τῶν δεσμῶν; ψευδῶς ὀνομάζουσί σε οἱ θεοὶ Προμηθέα· χρεία γάρ σοι ἑτέρου προμηθέως, δυναμένου σοι σαφηνίσαι ποίῳ τρόπῳ ἐλευθερωθήσῃ τῶνδε τῶν δεσμῶν. ἀπὸ τοῦ οἰκείου ὀνόματος διαβάλλει αὐτὸν, ὅτι προνοητὴς ὢν τῶν μελλόντων (τοῦτο γὰρ δηλοῖ τὸ Προμηθέως ὄνομα) οὐ προενόησε τὰ μέλλοντα αὐτῷ συμβῆναι, ὥστε δυνάσθαι ἑαυτὸν ἐλευθερῶσαι ἀπὸ τῶν δεσμῶν. ¶Ψευδωνύμως] ψευδῶς ἀπὸ τοῦ ὀνόματος ἔλαβε τὸ νόημα. Προμηθεὺς γάρ ἐστιν ὁ προορῶν τὰ μέλλοντα, τοῦτο δὲ εἰς τὸ θ.

¶Ὦ δῖος αἰθὴρ] ἁρμοζόντως φησὶν ὁ ποιητὴς μετ' εὐθὺς σιωπῶν τὸν Προμηθέα, ἵνα μὴ δόξῃ ἄφρων καὶ αὐθάδης· μετὰ δὲ τὸ ὑποχωρῆσαι τοὺς κολαστὰς, προσμαρτύρεται τὸν αἰθέρα, καὶ τοὺς ἀνέμους, ἤτοι τὰ ἀέρια στοιχεῖα· τοὺς ποταμοὺς καὶ τὰς πηγὰς, τὴν ὑγρὰν φύσιν καὶ τὴν γῆν, τὴν ξηρὰν φύσιν· καὶ τοῦ ἡλίου τὴν φύσιν. καὶ λέγει αὐτοῖς, θεάσασθέ με οἷα πάσχω κακὰ καὶ παρὰ τῶν θεῶν, καὶ ἐγὼ θεὸς ὤν. ἀλλάσσει δὲ εὐθὺς τὴν λέξιν, καί φησι, δέρχθητε, αὐτὸ τὸ ἴδετε, οἵαις λυμαρείαις διακναιόμενος κακοπαθήσω εἰς τὸν μυριετῆ χρόνον. τοιοῦτον γὰρ δεσμὸν ἐξεῦρεν ἐπ' ἐμοὶ ὁ νέος ἡγεμὼν τῶν θεῶν, ἤγουν ὁ Ζεύς. Ἄλλως. τεχνικὸν τὸ μὴ εὐθὺς εἰσάγειν λαλοῦν τὸ συνεκτικὸν πρόσωπον, πρὸς ἐρεθισμὸν τοῦ ἀκροατοῦ. μεγαλοφυῶς δὲ τὰ τέσσαρα στοιχεῖα ἐπικαλεῖται μόνος ὢν δὲ, πάντων ἀποστάντων. ¶Γέλασμα] καλῶς εἶπε τὸ γέλασμα χῦμα, ἐκ μεταφορᾶς τῶν γελώντων, καὶ διαχεομένων. ὥσπερ γὰρ ἐκεῖνοι εὐφραινόμενοι τῆς καρδίας γελῶσι, γελῶντες δὲ δια-

χέονται καὶ ἀρύταιναι ποιοῦνται τῶν σωμάτων αὐτῶν (ὥσπερ πάλιν αἱ λυπούμεναι συστέλλονται, τοῦ ἐν αὐτοῖς ἐμφύτου θερμοῦ αἵματος συστελλομένου) οὕτως καὶ τὸ κῦμα ὥσπερ εἰ γελᾷ καὶ διαχέεται, συχνὸν δ' ἐρχόμενον καὶ ἐπάλληλον.

καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός,
δέρχθηθ' οἵαις αἰκίαισι
διακναιόμενος τὸν μυριετῆ
χρόνον ἀθλεύσω· τοιόνδ' ὁ νέος
ταγὸς μακάρων ἐξηῦρ' ἐπ' ἐμοὶ
δεσμὸν ἀεικῆ. αἶ αἶ τὸ παρόν,
τό τ' ἐπερχόμενον
πῆμα στενάχω· πῇ ποτε μόχθων
χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι.
καίτοι τί φημι; πάντα προυξεπίσταμαι
σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι ποταίνιον
πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.
ἀλλ' οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας
οἷόν τέ μοι τάσδ' ἐστί. θνητοῖς γὰρ γέρα
πορὼν ἀνάγκαις ταῖσδ' ἐνέζευγμαι τάλας·
ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης

Omnia praescivi, atque alia mecum ante peregi.

¶[Καὶ τὸν παν.] ὑπάλλαξε τὴν φράσιν. ¶[Τὸν μυριετῆ.] πολυετῆ. ἐν γὰρ τῷ Πυρφόρῳ τρεῖς μυριάδας φησὶ δεδέσθαι αὐτόν. ¶[Τῶνδ' ἐπιτεῖλαι.] ἀντὶ τοῦ ἐπιτελεσθῆναι. ὡς τόδε, Νόστον ὃν ἐκ Τροίας ἐπετείλατο Παλλὰς Ἀθήνη. ¶[Καίτοι τί φημι.] ἀποδυρόμενος ὁ Προμηθεύς, ὥσπερ εἰ ἀγνοίᾳ περιβαλλόμενος τῆς τελευτῆς καὶ τῶν συμβαινόντων αὐτῷ κακῶν, ἐρωτᾷ πότε ἥξει ἡ λύσις τῶν δεσμῶν· εἶτα γνοὺς ὡς αὐτός ἐστιν ὁ Προμηθεύς, καὶ οὐ μόνον τὰ αὐτῷ συμβησόμενα ἐπίσταται, ἀλλὰ καὶ τὰ ἑτέροις, φησί, τί φημι ἐγώ; τὰ πάντα ἐπίσταμαι ἀκριβῶς. τὰ μέλλοντα δή μοι συμβήσεσθαι, οὐδεμίαν βλάβην κομίσουσί μοι. ¶[Σκεθρῶς.] ἀκριβῶς. ¶[Ποταίνιον.] νέον, πρόσφατον, οὐ προσεστόν μοι. ¶[Οὔτε σιγᾶν.] οὔτε σιγᾶν δύναμαι, ἀλγῶ γάρ· οὔτε μὴ σιγᾶν, εὐλαβοῦμαι γὰρ Δία. ¶[Πηγὴν κλοπαίαν.] πᾶσα οὐσία μειοῦται πάσχουσα· τὸ δὲ πῦρ ἐν ὅσῳ κἂν τὸ τυχὸν ἔχῃ, πάλιν αὔξεται. ὁ εἰδὼς τοῦτο ὁ ποιητὴς εἶπε σπέρμα πυρός· καὶ τὸ σπέρμα γὰρ ἐξ ἐλαχί-

σου αὔξεται. πρὸς τοῦτο οὖν ἀντεμηχανήσατο Αἰσχύλος, πηγὴν εἰπών· καὶ αὕτη γὰρ ἐκ τοῦ τυχόντος αὔξεται.

πάσης βροτοῖς πέφυκε, καὶ μέγας πόρος.
τοιάσδε ποινὰς ἀμπλακημάτων τίνω,
ὑπαίθριος δεσμοῖσι πασσαλευτὸς ὤν.
ἆ ἆ, ἔα ἔα.
τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής,
θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη·
ἵκετο τερμόνιον ἐπὶ πάγον
πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν,
τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς
δι' ἀπεχθείας ἐλθόνθ', ὁπόσοι
τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσι,
διὰ τὴν λίαν φιλότητα βροτῶν.
φεῦ φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω
πέλας οἰωνῶν· αἰθὴρ δ' ἐλαφραῖς

¶Ἂ ἆ.] ἐκπλήξεως ἐπιρρήματα. ¶Τίς ἀχώ, τίς ὀδμά] ἴσως αἱ Ὠκεανίδες εὐωδίας ἔπνεον. αἰσθητὴ δὲ ἡ ὀσμή, οὐχ ὁρατή· διὸ καὶ ἀφεγγῆ ταύτην φησίν· ὥστ' ἀθεώρητον ὄντα διὰ τῆς ὀσμῆς προνοεῖν τὴν τῶν Ὠκεανίδων ἄφιξιν. ¶Κεκραμένη] ἡμίθεον. ¶Τερμόνιον ἐπὶ πάγον.] ἐπὶ τελευταῖον μέρος τῆς γῆς. ἐπειδὴ τέλος τῆς οἰκουμένης ὁ Καύκασος. ἤ, οὗ ἐγὼ πρὸς τὸ πέρας εἰμὶ δεδεμένος. ἐπὶ γὰρ ἄκρου προσδέδεται. ¶Ὁρᾶτε δεσμώτην] διὰ τοῦτο δεσμώτης ἐπιγέγραπται. ¶Τὸν πᾶσι θεοῖς δι' ἀπεχθ.] πάντες οἱ θεοὶ ὀργίζονται τῷ Προμηθεῖ διὰ τὸ πῦρ. ἐκ γὰρ τούτου πάντα ῥᾷστα εἶχον οἱ ἄνθρωποι, καὶ οὐκέτι ἔθυον συνεχῶς. φασὶ γὰρ τὸν Προμηθέα κεκλοφέναι ἀπὸ τοῦ Διὸς τὸ πῦρ, βαλόντα νάρθηκι, καὶ τοῖς ἀνθρώποις καταγαγεῖν. τοῦτο δὲ μυθῶδες. τὸ δ' ἀληθὲς οὕτως ἔχει· πῦρ καλεῖται ἡ γνῶσις, διὰ τὸ δραστήριον. Προμηθεὺς δὲ καλεῖται ἡ προμήθεια, καὶ ἡ πρόγνωσις, καὶ ὁ πρωτόπλαστος, ἣν δέδωκεν ὁ θεὸς τῷ ἀνθρώπῳ ἔχειν καὶ φυλάττειν, καὶ μηδενὸς φροντίζειν. ὁ δέ, ταύτην λαβὼν οὐκ ἐφύλαξεν, ἀλλ' ἤρξατο φροντίζειν, καὶ λέγειν τὰ μὴ δέοντα, καὶ προβουλεύειν. οὕτως οὖν κλέπτης λέγεται τῆς προμηθείας τῶν θεῶν. ὅτι δὲ νάρθηκι ἔβαλε τὸ πῦρ, καὶ αὐτὸ προσφόρως· ἀπὸ γὰρ τῆς οἰκείας κουφότητος τοῦ νοός, ἤρξατο φροντίζειν, καὶ προλέγειν τὰ μὴ δέοντα. ¶Φεῦ φεῦ.] πλησιέστερον γινομένης τῆς τῶν Ὠκεανίδων πληθύος, ὥστε καὶ τὸν τῶν πτερύγων ἦχον αἰσθάνεται, καί φησι, τί δέ ἐστι τὸ κίνημα τῶν ὀρνέων, ὅπερ ἀκούω πλησίον; ὑποσυρίζει γὰρ ὁ αἰθὴρ ἐλαφραῖς ῥιπαῖς πτερύγων. φησὶν οὖν ὁ χορὸς τῶν Ὠκεανίδων πρὸς αὐτόν, μηδαμῶς φοβηθῇς Προμηθεῦ. προσέβη γὰρ ἐν ταύτῃ πλῆθος φίλων ἐν ταχυτάτῃ κινήσει τῶν πτερύγων. ¶Κινάθισμα.] κίνημα πλήθους. πτερύγων.

πτερύγων ῥιπαῖς ὑποσυρίζει.
πᾶν μοι φοβερὸν τὸ προσέρπον.

χο. Μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις,
πτερύγων θοαῖς ἁμίλλαις
προσέβα τόνδε πάγον, πατρῴας
μόγις παρειποῦσα φρένας.
κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι·
κτύπου γὰρ ἀχὼ χάλυβος διῆξεν ἄντρων μυχόν,
ἐκ δ' ἔπληξέ μου τὴν θεμερῶπιν αἰδῶ·
σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.

πρ. Αἶ αἶ αἶ, τῆς πολυτέκνου Τηθύος ἔκγονα,
τοῦ περὶ πᾶσάν θ' εἱλισσομένου
χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες
πατρὸς Ὠκεανοῦ· δέρχθητ', ἐσίδεσθ'
οἵῳ δεσμῷ προσπορπατὸς,

¶Ριπαῖς.] ὁρμαῖς. ¶Μηδὲν φοβηθῇς.] ὁ ῥυθμὸς ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν. ἐπεδήμησε γὰρ τῇ ἀττικῇ Κριτίου ἐρῶν, καὶ ἠρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ. ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τηρεῖ. ἔστι δὲ ταῦτα ὅμοια τῷ, Οὐδ' αὖ ἴασις μαμαθοῦσι οἶκα δ' ἀπελθεῖν. ¶Φιλία γὰρ ἥδε.] αὕτη ἡ φάλαγξ, ἡ συστοιχία, ἀντὶ τοῦ ἡμεῖς. ταῦτα δέ φασιν ἀεροδρομοῦσαι διά τινος μηχανῆς. ἄτοπον γὰρ κάτωθεν διαλέγεσθαι τῷ Προμηθεῖ τῷ ἐφ' ὕψους ὄντι. ἐν ὅσῳ δὲ Ὠκεανὸς προσλαλεῖ, καθίασιν ἐπὶ γῆν. ¶Κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι.] ἐκόμισαν δὲ ἐμὲ ἐνταῦθα αἱ ταχύταται πνοαὶ τῶν ἀνέμων. λοιπὰ γὰρ ἐπαναστελλὼν τῇ πέτρᾳ προσηλούμενος, ὁ κτύπος τοῦ σιδήρου διῆλθεν εἰς τὸν ἐσώτατον τόπον τῶν ἡμετέρων οἰκημάτων. τοῦτο δὲ δηλοῖ ὅτι καὶ μέχρι τοῦ ὠκεανοῦ ὁ κτύπος ἀφίκετο. ¶Θεμερῶπιν] γρ. θερμερῶπιν. τὴν ἐπικειμένην θερμότητα τῷ προσώπῳ, ἤτοι τὴν ἐρυθρότητα. ἔχει γὰρ τὸ ἐρύθημα ἡ παρθένος ἐν τῷ ἑαυτῆς προσώπῳ, ὃ οὐκ ἔστιν ἐν ἀνδρὶ βλέπειν. ἀποσεῖσαι δὲ ἐμὲ καὶ ἀπορρῖψαι πεποίηκε τὴν πολλὴν ἠρεμαίαν αἰδῶ, ἤγουν τὴν καλλίστην, τὴν ἐκ ἀναιδείας ἀμιγῆ ἀμέτοχον γνωσθεῖσαν· καὶ τολμηρότερον ἐνταῦθα παρεῖναι. ἦλθον δὲ καὶ ὥρμησα ἀπέδιλος ὄχῳ πτερωτῷ, ἤγουν τῷ δι' ἀέρος πλοίῳ. διὰ τούτου δὲ δηλοῖ ὡς σπουδαίως παρεγένοντο. Ἄλλως. ὄχῳ πτερωτῷ, ταῖς πτέρυξιν, αἷς ἐποχοῦνται οἱ ἰχθύες ... ¶Αἶ αἶ] φεῦ φεῦ τέκνα τῆς πολυτέκνου Τηθύος, ἤγουν τῆς γῆς, καὶ τοῦ Ὠκεανοῦ τοῦ περικυκλοῦντος πᾶσαν τὴν γῆν. ¶Ἀκοιμήτῳ.] γαληνώδει, πολυκοιμήτῳ, ἠρεμαίῳ. ἵνα τὸν ἀκαταρρέητον δηλώσῃ. τὸ γὰρ α κατ' ἐπίτασιν κεῖται. εἰ γὰρ ἦν ταραχῶδες τὸ τοῦ ὠκεανοῦ ῥεῦμα κυκλοῦντος πᾶσαν τὴν γῆν, ἀνάγκη ἦν καὶ τὴν γῆν κυμαίνεσθαι, ὡς ἐν αὐτῷ ἀναπεπαμένην. ὑδάτων δὲ ἀρεταὶ τέσσαρες, τὸ ψυχρὸν, τὸ λευκὸν, τὸ ἡδὺ, καὶ τὸ ἠρεμαῖον τῆς ῥεύσεως.

τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
φρουρὰν ἄζηλον ὀχήσω.
χο. Λεύσσω Προμηθεῦ· φοβερὰ δ᾽ ἐμοῖσιν ὄσσοις
ὁμίχλη προσῇξε πλήρης
δακρύων, σὸν δέμας εἰσιδούσῃ
πέτραις προσαυαινόμενον
ταῖσδ᾽ ἀδαμαντοδέτοισι λύμαις.
νέοι γὰρ οἰακονόμοι κρατοῦσ᾽ ὀλύμπου·
νεοχμοῖς δὲ νόμοις Ζεὺς ἀθέσμως κρατύνει,
τὰ πρὶν δὲ πελώρια νῦν ἀϊστοῖ.
πρ. Εἰ γάρ μ᾽ ὑπὸ γῆν, νέρθεν τ᾽ ἅδου
τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
τάρταρον ἧκεν, δεσμοῖς ἀλύτοις
ἀγρίως πελάσας, ὡς μήτε θεὸς,
μήτε τις ἄλλος τοῖσδ᾽ ἐπεγήθει.
νῦν δ᾽ αἰθέριον κίνυγμ᾽ ὁ τάλας
ἐχθροῖς ἐπίχαρτα πέπονθα.
χο. Τίς ὧδε τλησικάρδιος

¶ Ἄζηλον.] χαλεπὴν, κακόζηλον φυλακὴν βαστάσω, ὅ ἐστι, φρουρήσω τὴν πέτραν. ¶ Λεύσσω Προμηθεῦ.] βλέπω ὦ Προμηθεῦ ἃ πάσχεις φοβερά. ἤγουν φόβου ἄξια. εἰσῆλθε δὲ τοῖς ἐμοῖς ὀφθαλμοῖς νεφέλη πλήρης δακρύων, εἰσιδούσῃ τὸ σὸν σῶμα πρὸς τῇ πέτρᾳ ξηραινόμενον καὶ κατατηκόμενον, ταῖς τοῦ σιδηροῦ δεσμοῦ βλάβαις. νέοι γὰρ βασιλεῖς κρατοῦσι τοῦ ὀλύμπου. λέγει δὲ τοῦτο διὰ τὸν δία· ἤδη γὰρ ἔρριψε τὸν ἑαυτοῦ πατέρα κρόνον τῆς βασιλείας, καὶ νέοις νόμοις καὶ ἀσυνήθεσι τὰ πάντα διεξάγει ἀδίκως. οἰακονόμοι δὲ λέγονται οἱ κυβερνῆται τῶν νηῶν· ὥσπερ γὰρ ἐκεῖνοι τρέπουσι τὴν ναῦν ἔνθα βούλονται, οὕτω καὶ ὁ βασιλεὺς ποιεῖ ἃ βούλεται. ¶ Ὀμίχλη.] τροπικῶς. ἢ γὰρ ὡσανεί τινος ὁμίχλης ἢ νέφους ἐπιγινομένης, δάκρυα καταχέουσιν οἱ ἄνθρωποι. ¶ Ἀδαμαντοδέτοισι] σιδηροδέτοις. ¶ Πελώρια.] ἐτυμολογεῖται ἀπὸ τοῦ πέλω, τὸ πλησιάζω, καὶ ὤρα φροντίς. Ἄλλως. πελώρια λέγει τοὺς τιτᾶνας. πρὶν γὰρ, ὡς λέγουσί τινες, οἱ τιτᾶνες ἐβασίλευον· ἐλθὼν δὲ ὁ ζεὺς, καὶ καταβαλὼν τούτους, ἐβασίλευσε. πελώρια οὖν λέγει καὶ τιτᾶνας, καὶ νόμους αὐτῶν. ¶ Εἰ γάρ μ᾽ ὑπὸ γῆν.] εἴθε, φησὶν, οὕτως ἀπηνῶς ὑπολαβών με ὁ ζεὺς τοιούτοις ἀλύτοις δεσμοῖς, ἔπεμψεν ἂν ὑπὸ τὴν γῆν κάτωθεν τοῦ τοὺς νεκροὺς δεχομένου ἅδου. λέγει δὲ εἰς τὸν ἀκατανόητον καὶ ἀμέτρητον τάρταρον· ἐπεὶ καὶ ἐν τῷ ἅδῃ θεοί εἰσιν, ὁ πλούτων, ἡ περσεφόνη, καὶ ἄλλοι. ¶ Αἰθέριον κίνυγμα.] ὥσπερ εἴδωλον κρέμαμαι ὑπὸ τὸν ἀέρα, ἐπίχαρτα πεπονθὼς τοῖς ἐχθροῖς.

θεῶν, ὅτῳ τάδ' ἐπιχαρῆ.
τίς οὐ ξυνασχαλᾷ κακοῖς
τεοῖσι, δίχα γε Διός; ὁ δ' ἐπικότως ἀεὶ
θέμενος ἄγναμπτον νόον,
δάμναται οὐρανίαν γένναν·
οὐδὲ λήξει πρὶν ἂν ἢ κορέσῃ κέαρ,
ἢ παλάμᾳ τινὶ τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.
Πρ. Ἦ μὴν ἔτ' ἐμοῦ, καίπερ κρατεραῖς
ἐν γυιοπέδαις αἰκιζομένου,
χρείαν ἕξει μακάρων πρύτανις,
δεῖξαι τὸ νέον βούλευμ' ὑφ' ὅτου
σκῆπτρον τιμάς τ' ἀποσυλᾶται.
καίτοι μ' οὐ μελιγλώσσοις πειθοῦς
ἐπαοιδαῖσι θέλξει, στερεάς τ'
οὔποτ' ἀπειλὰς πτήξας, τόδ' ἐγὼ
καταμηνύσω, πρὶν ἂν ἐξ ἀγρίων
δεσμῶν χαλάσῃ, ποινάς τε μοι τίνειν

¶Δίχα γε Διὸς] πλὴν Διός. ¶Οὐρανίαν γένναν] τὴν τιτανικὴν τὴν ἐξ οὐρανοῦ. ¶Παλάμᾳ] μηχανῇ. ἢ αὐτὸν καθέλῃ τις τῆς βασιλείας. ¶Ἦ μὴν ἔτ' ἐμοῦ] ἐμοῦ χρείαν ἕξει ὁ πρύτανις, ὁ διοικητὴς καὶ ἡγεμὼν τῶν θεῶν ὁ Ζεύς, καίτοι αἰκιζόμενός με, ἤγουν δεσμῶν, ἰσχυραῖς γυιοπέδαις καὶ δεσμοῖς τῶν μελῶν. ἢ, αἰκιζομένου ἐμοῦ παρ' ἐκείνου· ἕξει δὲ χρείαν ἐμοῦ, δεῖξαι αὐτῷ τὸν νεωστὶ ἀποσυλήσοντα τὴν ἐξουσίαν αὐτοῦ· καὶ εἰπεῖν αὐτῷ βούλευμα, ὑφ' οὗ τὴν ἀρχὴν μέλλει ἀφαιρεθῆναι. λέγει δὲ τὸν ἔρωτα τῆς Θέτιδος ὃν ἔσχεν ὁ Ζεύς. ἐπεὶ γὰρ ἐραστὴς αὐτῆς, ἐδίωκεν αὐτὴν ἐν τῷ καυκάσῳ ὄρει, ὅπως συγγένηται αὐτῇ. ἐκωλύθη δὲ ὑπὸ Προμηθέως, εἰπόντος αὐτῷ, ὁ μέλλων γεννηθῆναι ἐξ αὐτῆς, ἔσται κρείττων κατὰ πολὺ τοῦ ἰδίου πατρός. φοβηθεὶς οὖν ὁ Ζεὺς περὶ τῆς βασιλείας, ἐπέσχετο τῆς πρὸς Θέτιδα συνουσίας. φησὶν οὖν ὁ Προμηθεύς, ὅτι ἕξει ποτὲ χρείαν ἐμοῦ ὁ πρῶτος τῶν θεῶν, δεῖξαι αὐτῷ τὸν ἀφ' οὗ ἀφαιρεθήσεται τὴν βασιλικὴν περιουσίαν, τὴν ἐξουσίαν, τὰς τιμάς· οὐδαμῶς δέ με τοῖς μειλιχίοις καὶ γλυκέσι ῥήμασι τῆς οἰκείας πειθοῦς θέλξει, ἤγουν ἀπατήσει· οὔτι μὴν διὰ ἀπειλῶν πτήξει ἐμὲ εἰπεῖν αὐτῷ, πρὶν ἂν λύσῃ με τούτων τῶν ἀγρίων δεσμῶν, βουληθῇ δὲ δοῦναι ἐμοὶ ἀνταπόδοσιν ταύτης τῆς τιμωρίας ἣν ἐτιμωρήσατό με. ¶Νέον βούλευμα] περὶ τοῦ ἔρωτος τῆς Θέτιδος φησί. ¶Ἀποσυλᾶται] ἀποσυληθήσεται. ¶Πρὶν ἂν] τοῦτο τῆς μεγαλοφυΐας Αἰσχύλου καὶ Προμηθέως ἄξιον, τὸ μετὰ τὴν λύσιν ποινὰς αἰτεῖν τὸν Δία.

τῆς δ' αἰκίας ἐθελήσῃ.
χο. Σὺ μὲν θρασύς τε καὶ πικραῖς
δύαισιν οὐδὲν ἐπιχαλᾷς,
ἄγαν δ' ἐλευθεροστομεῖς.
ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος·
δέδια γὰρ ἀμφὶ σαῖς τύχαις,
πᾷ ποτε τῶνδε πόνων χρή σε
τέρμα κέλσαντ' ἐσιδεῖν. ἀκίχητα γὰρ
ἤθεα, καὶ κέαρ ἀπαράμυθον ἔχει Κρόνου παῖς.
πρ. Οἶδ' ὅτι τραχύς τε καὶ παρ' ἑαυτῷ
τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ' ἔμπας, οἴω,
μαλακογνώμων ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ·
τὴν δ' ἀτέραμνον στορέσας ὀργὴν,
εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
σπεύδων σπεύδοντι ποθ' ἥξει.
χο. Πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον,
ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι,

¶ Σὺ μὲν θρασύς τε] σὺ μὲν εὔτολμος καὶ ἀναιδὴς γέγονας, καὶ οὐδαμῶς ἐπικάμπτῃ, ταῖς πικραῖς ταύταις αἰκίαις καταπονούμενος καὶ πιεζόμενος. ἐγὼ δὲ λίαν φοβοῦμαι περὶ ταῖς σαῖς τύχαις, καὶ λογίζομαι ποῖ ποτε παύσονται καὶ ἐλλιμενισθήσονται· ἀπὸ μεταφορᾶς τῶν προσορμιζομένων νηῶν. ἤγουν, τί δεῖ σε τέρμα καὶ τέλος ἰδεῖν τῶνδε τῶν πόνων. ἀκαμπῆ γὰρ καὶ σκληρὰν ψυχὴν ἔχει ὁ Ζεύς. Ἄλλως. ἐγὼ ἀπορῶ, φησὶν, εἰ ὅλως σε ὁ Ζεὺς ἀπολύσει τῶν δεσμῶν· σὺ δὲ καὶ ἀντίποινα λαβεῖν ἀξιοῖς, ὥσπερ ἀγνοῶν τὸν τοῦ Διὸς τρόπον. τὸ δὲ κέλσαντα, ἀντὶ τοῦ παυσάμενον. ¶ Διάτορος φόβος] ὁ διατρῆσαι δυνάμενος καὶ τιτρώσκειν. ¶ Κέαρ ἀπαράμυθον] ὑπὸ μύθων παραγόμενον, καὶ πειθόμενον, παρὰ τὸ ὁ πειθόμενος οὐκ ἐπιεικτόν. ¶ Οἶδ' ὅτι τραχύς τε] οἶδα, φησὶν ὁ Προμηθεὺς, ὅτι ἀμετάβλητός ἐστιν ὁ Ζεύς, καὶ τὸ δόξαν αὐτῷ δίκαιον νομίζει εἶναι· ἀλλ' ὅμως ἔσται πρᾶος, ὅταν τοῦτον τὸν τρόπον ῥαισθῇ καὶ κρατηθῇ, τὴν δὲ σκληρὰν καὶ ἀκατάπαυστον αὐτοῦ ὀργὴν καταπραΰνῃ· καὶ ἥξει εἰς ἐμοὶ εἰς φιλίαν καὶ συντυχίαν ἀναγκαζόμενος μὴ ἀναγκαζομένῳ. ἤ, ποθοῦν μαθεῖν τὰ περὶ ἑαυτοῦ, συνελθεῖν ἐμοὶ ποθοῦντι λυθῆναι τῶν δεσμῶν. ¶ Καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων] πάντα δικαίως οἰόμενος ποιεῖν, αὐτὸς ἑαυτῷ ἀρέσκων, καὶ δίκαιον νομίζων εἶναι ὅπερ ἂν βούληται πράττειν. ¶ Ὅταν ταύτῃ ῥαισθῇ] οὕτω πεφθῇ ἀπὸ τοῦ ἀναγκαίου ὥσπερ ἀπὸ ῥαιστῆρος, ἐκ μεταφορᾶς τῶν σιδηρῶν. ¶ Πάντ' ἐκκάλυψον] ἐκκάλυψον καὶ φανέρωσον καὶ εἰπὲ ἡμῖν πᾶσαν αἰτίαν, καὶ τὸν τρόπον, ἐν ποίῳ πλαίσματι λα-

ζων σε ὁ Ζεὺς αἰκίζεται καὶ τιμωρεῖ οὕτως ἀτίμως καὶ ὁ δυσηρῶς· δίδαξον ἡμᾶς τὸ δε, εἰ μὴ βλάπτῃ καὶ ὥσπερ εἰ αἰσχύνῃ τῷ λόγῳ, καὶ τῷ φανερῶσαι. βουλόμενος τοίνυν ὁ ποιητὴς διδάξαι τὴν ὑπόθεσιν, προσεποιήσατο ἐρωτῆσαι αὐτὸν τὸν Προμηθέα τὰς Ὠκεανίδας. Ἄλλως. Τὴν ὑπόθεσιν βουλόμενος διδάξαι, τὸ πάρεργον τὸ γυναικῶδες ἤθεις προσέλαβεν. ἐπεὶ οὖν γὰρ ὁ Ὠκεανὸς ἠξίωσεν ἐρωτῆσαι, εἰδώς.

οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτῃ λόγῳ.
Πρ. Ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα.
ἐπεὶ τάχισθ᾽ ἤρξαντο δαίμονες χόλου,
στάσις τ᾽ ἐν ἀλλήλοισιν ὠροθύνετο,
οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
σπεύδοντες ὡς Ζεὺς μήποτ᾽ ἄρξειεν θεῶν·
ἐνταῦθ᾽ ἐγὼ τὰ λῷστα βουλεύων, πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν,
ᾤοντ᾽ ἀμοχθὶ πρὸς βίαν τε δεσπόσειν·
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις, Themis eadem & terra.
καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ᾗ κραίνοιτο προὐτεθεσπίκει,
ὡς οὐ κατ᾽ ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν

¶ Ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶ τάδε] ἄλγους μὲν αἴτια ὑπάρχουσί μοι ἐν τῷ λέγειν ταῦτα, λύπη δὲ πάλιν ἐστὶ σιγᾶν ἵνα τὰς οἰκείας λύπας, καὶ τοὺς ἑαυτοῦ πόνους. εἰ γάρ τις ἐκκαλύπτει πρός τινα τὴν ἑαυτοῦ θλίψιν, δέχεται παρηγορίαν τινὰ, παραμυθούμενος παρ᾽ ἐκείνου. πανταχόθεν δέ μοι δυστυχῆσαι ἐπῆλθε· καὶ λεγόμενα ταῦτα, λυπηρά εἰσι καὶ σιωπώμενα, ἀλγεινά. ¶ Ἐπεὶ τάχισθ᾽ ἤρξαντο] ἐπεὶ, φησὶν, ἔρις καὶ στάσις τοῖς θεοῖς ἐγένετο, τοῖς μὲν ἐθέλουσιν ἐκβαλεῖν τῆς βασιλείας τὸν Κρόνον, τοῖς δὲ μὴ, ἐγὼ συνεβούλευον τούτοις τὰ ἀγαθὰ, ἀλλὰ πείθειν οὐκ εἶχον. ἀπὸ τούτων δὲ προλέγει τινὰς εὐεργεσίας γενομένας τῷ Διὶ παρ᾽ αὐτοῦ, ἵνα ἀχάριστον καὶ ἀγνώμονα αὐτὸν δείξῃ. ¶ Ἐμοὶ δὲ μήτηρ] ἐμοὶ, φησὶν ὁ Προμηθεὺς, ἡ μήτηρ προεῖπε τὰ μέλλοντα γενέσθαι. τὸ δὲ, οὐχ ἅπαξ μόνον Θέμις, ἀλλὰ καὶ Γαῖα, οὕτω νοητέον, εἰ καὶ ἡ ἐμὴ μήτηρ, καὶ Θέμις καὶ Γαῖα λέγεται, οὐ καινόν· καὶ γὰρ ἄλλην μορφὴν ἔχουσιν οἱ θεοὶ, πολλοῖς δὲ ἐν ὀνόμασι καταμερίζονται. Ἄλλως. ἐμοὶ δὲ προεῖπε τὸ μέλλον ὥσπερ γενέσθαι, ἡ μήτηρ, οὐ μόνον Θέμις λεγομένη, ἀλλ᾽ ἐπιπολλῶς κατ᾽ ἀντικὴν συνώ-

θεῶν, ἀλλὰ καὶ Γῆ, καὶ τοῦτο ἐλλειπτικῶς. ἡ Γαῖα προσῆν. μορφὴ γὰρ πολλῶν ὀνομάτων κατὰ τὰ λέγεται δὲ καὶ ζείδωρος, καὶ βωτιάνειρα. Ἄλλως. τὸ θεῖον φύσει μὲν, ἕν ἐστιν, ὀνόμασι δὲ πολυμερές. οὐ οὕτως, ἐμοὶ δὲ ἡ Θέμις, ὡς μήτηρ, μέλλει τὰ προσόντα καὶ πλεονάσαι. τὸ δέ, πολλῶν ὀνομάτων μορφὴ, λέγει ὅτι τὴν μητέρα αὐτοῦ καὶ Γῆν καὶ Θέμιν ὀνόμασι.

χρή, ἢ δόλῳ τοὺς ὑπερέχοντας κρατεῖν.
τοιαῦτ᾽ ἐμοῦ λόγοισιν ἐξηγουμένου,
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ᾽ εἶναι, προσλαβόντι μητέρα,
ἑκόνθ᾽ ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
ἐμαῖς δὲ βουλαῖς, Ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον,
αὐτοῖσι συμμάχοισι. τοιάδ᾽ ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος,
κακαῖσι ποιναῖς ταῖσδέ μ᾽ ἐξημείψατο.
ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
ὃ δ᾽ οὖν ἐρωτᾶτ᾽ αἰτίαν καθ᾽ ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
καθέζετ᾽, εὐθὺς δαίμοσιν νέμει γέρα
ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο
ἀρχήν· βροτῶν δὲ τῶν ταλαιπώρων λόγον

¶Ἐμαῖς δὲ βουλαῖς] διὰ τῶν ἐμῶν βουλῶν, φησί, καλύπτει καὶ κατέχει ὁ κατώτατος τόπος τοῦ ᾅδου ὁ σκοτεινότατος τὸν παλαιγενῆ Κρόνον, σὺν τοῖς Τιτᾶσιν. ¶Ἔνεστι γάρ πως] τοῦτο φυσικῶς πρόσεστι τοῖς τυραννοῦσι, τὸ ἀπιστεῖν τοῖς τῶν οἰκείων φίλων, καὶ τιμωρεῖν ἐκείνους ὡς ὑπόπτους. τὸ δὲ τῆς τυραννίδος ὄνομα, τοῖς μὲν παλαιοτάτοις ἀγνοοῦν ἦν, ὕστερον δὲ ὁ ποιητὴς εὗρεν αὐτό. πρὸ αὐτοῦ δὲ καὶ ὁ Ἀρχίλοχος, λέγων, μεγάλης δ᾽ οὐκ ἐρῶ τυραννίδος. ¶Ὃ δ᾽ οὖν ἐρωτᾶτ᾽ αἰτ.] ὅπερ δὲ ἐρωτᾶτέ με, ἤγουν δι᾽ ἣν αἰτίαν κολάζει με ὁ Ζεύς, λέξω. Ἄλλως. κατ᾽ ἐρώτησιν ἑρμηνευτέον, ἐρωτᾶτέ με (πρὸς τὰς Ὠκεανίδας φησί) καθ᾽ ἣν αἰτίαν, δι᾽ ἣν τοῦτο οὕτως ὁ Ζεὺς τιμωρεῖ με; τοῦτο ἐρῶ ὑμῖν. ¶Ὅπως τάχιστα] ἐπειδὴ τάχιστα ἐνιδρύνθη τῷ τοῦ πατρὸς αὐτοῦ θρόνῳ, ἤγουν ἐδέξατο ὁ Ζεὺς τῆς τοῦ πατρὸς αὐτοῦ Κρόνου ἐξουσίας, τηνικαῦτα μερίζει καὶ διανέμει γέρα τοῖς θεοῖς. ἤγουν ἐξουσίας, τιμάς, δυνάμεις, ἄλλῳ ἄλλας, καὶ ἄλλῳ ἄλλας. καὶ διεστοιχίζετο, ἤγουν ἠσφαλίζετο, ἑδραίου τὰ τῆς ἑαυτοῦ βασιλείας, καὶ τὰς τάξεις ἔνεμε τῆς ἀρχῆς. τὸ ὅπως οὖν ἀντὶ τοῦ ἐπειδή. ¶Βροτῶν δὲ

τῶν ταλαιπώρων] μισοπονήρως καὶ φιλανθρώπως ταλαιπώρων προσέθηκε. τῶν δὲ ταλαιπώρων ἀνθρώπων οὐδένα εἶχε λόγον, ἀλλ' ἤθελε τὸ πᾶν γένος αὐτῶν, τὸ τότε ὄν, ἀφανίσαι, καὶ ἄλλο γεννῆσαι καὶ πλάσαι νέον. καὶ τούτοις τοῖς βουλεύμασι καὶ λόγοις τοῦ Διὸς οὐκ ἄλλος οὐδεὶς ἀντέπιπτε καὶ ἠναντιοῦτο. ἐγὼ δὲ καὶ τολμηρῶς ἤγουν τολμηρός, ἐλυτρωσάμην καὶ ἔσωσα τοὺς ἀνθρώπους τοῦ μὴ φθαρέντας αὐτοὺς εἰς τὸν ᾅδην παραγενέσθαι. διὰ τοῦτο καταπιέζομαι καὶ δαμάζομαι τοιαύταις βλάβαις, ἀλγειναῖς μὲν οὔσαις τοῖς πάσχουσι ταύτας, [illegible] δὲ ἀξίαις τοῖς βλέπουσι. καὶ τοὺς βροτοὺς οἰκτισάμενος, αὐτὸς οὐκ ἔτι οὐκ ἠξιώθην, ἀλλ' ἀπηνῶς ἐρρύθμισμαι, ἤγουν ἐσταύρωμαι καὶ ἐκτέταμαι. τὸ δὲ μέσον τὸ ῥυθμίζειν ἐστίν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν χορδῶν.

οὐκ ἔσχεν οὐδέν', ἀλλ' αἰστώσας γένος
τὸ πᾶν, ἔχρηζεν ἄλλο φιτῦσαι νέον·
καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ·
ἐγὼ δὲ τόλμης ἐξελυσάμην βροτοὺς
τὸ μὴ διαρραισθέντας εἰς ᾅδου μολεῖν.
τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλ' ἀνηλεῶς
ὧδ' ἐρρύθμισμαι Ζηνὶ δυσκλεὴς θέα.
χο. Σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος
ὅστις, Προμηθεῦ, σοῖσιν οὐ ξυνασχαλᾷ
μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρηζον, εἰσιδοῦσά τ' ἀλγύνθην κέαρ.
πρ. Καὶ μὴν φίλοις ἐλεεινὸς εἰσορᾶν ἐγώ.
χο. Μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;

¶ Ἐγὼ δὲ] τινὲς αἰτιατικῶς, ἐγὼ δ' ἐτόλμησα, καὶ τὸ ἑξῆς μετ' ἤθους. διωρίσθω καὶ τολμηρῶς ἐστίν, ὡς ἡμέας ἡμῶν. ¶ Τῷ τοι] διωρισμ. ἀντωνυμία ἐστὶν ἐν συμπαθείᾳ κειμένη ἡ τοι. ¶ Σιδηρόφρων τε] ὁ τῶν Ὠκεανίδων γυναικῶν χορὸς ἰδὼν τὸν Προμηθέα κακῶς καὶ ἀθλίως πάσχοντα, φησὶ πρὸς αὐτόν, ἐστὶν ἄγαν σκληρόψυχος καὶ ἀμείλικτος ὅστις οὐ συνάχθεται τοῖς σοῖς κακοῖς. ἐγὼ γὰρ οὔτε εἰσιδεῖν ἤθελον ταῦτα, εἰσιδοῦσά τε λελύπημαι τὴν ψυχήν. ¶ Μή πού τι προὔβης] ἐπεὶ προηγήσατο ὁ Προμηθεύς, καὶ εἶπεν ὅτι ἀντέλεγον τῷ Διΐ, καὶ οὐκ εἴασα τοὺς ἀνθρώπους πάλιν διαφθαρῆναι, διὰ τοῦτό με ἐτιμωρήσατο ὁ Ζεὺς οὕτως· ἐρωτᾷ πάλιν αὐτὸν ὁ χορός, μὴ γὰρ ἕτερόν τι ἥμαρτες ἁμάρτημα; ὁ δὲ φησίν, ἐποίησα τοὺς ἀνθρώπους μὴ πρὸ ὀφθαλμῶν ἔχειν τὸν θάνατον, κατοικίσας ἐν αὐτοῖς ἐλπίδας κούφας. ἤγουν ἐν αὐτοῖς ἐποίησα τὸ νομίζειν καὶ ἐλπίζειν μὴ σήμερον ἢ αὔριον θανεῖν, ἢ τόνδε τὸν καιρόν, καὶ οὕτω δι' ὅλου βίου κουφίζει.

πρ. Θνητούς τ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
χο. Τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
πρ. Τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
χο. Μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
πρ. Πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
χο. Καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
πρ. Ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
χο. Τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν
αἰκίζεταί τε, κοὐδαμῇ χαλᾷ κακῶν;
οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
πρ. Οὐκ ἄλλο γ' οὐδὲν, πλὴν ὅταν κείνῳ δοκῇ.
χο. Δέξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες, οὔτ' ἐμοὶ λέγειν
καθ' ἡδονὴν, σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλων δ' ἔκλυσιν ζήτει τινά.
πρ. Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα
ἔχει, παραινεῖν νουθετεῖν τε τοὺς κακῶς
πράσσοντας. ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην.
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνητοῖς δ' ἀρήγων, αὐτὸς ηὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με

¶Θνητούς τ' ἔπαυσα] πρότερον, φησὶν, οἱ ἄνθρωποι πρὸ ὀφθαλμῶν ἔχοντες τὸν θάνατον, οὐκ ἐξήρχοντο εἰς τὸ ἐργάζεσθαι, ἢ ναυτίλλεσθαι, ἢ ἄλλο τι ποιεῖν, φοβούμενοι τὸν θάνατον, μὴ ἐπέλθῃ αὐτοῖς. ἐγὼ δὲ αὐτὸν ποιήσας ἀπρόοπτον, καὶ ἐλπίδας αὐτοῖς ἐνθεὶς τοῦ ζῆν, καὶ μὴ γινώσκειν πότε μέλλει αὐτοῖς ἐπελθεῖν ὁ θάνατος, αὐτοὺς παρώξυνα. ¶Πρὸς τοῖσδε] καὶ ὅτι ἐγὼ, φησὶν, ἀνθρώποις παρέσχον καὶ ἔδωκα τὸ πῦρ. εἶτα ἐρεῖ ὁ χορὸς ὅτι καὶ νῦν ἔχουσιν οἱ ἄνθρωποι τὸ φλόγας ἐκπέμπον πῦρ. ὁ δὲ φησὶν, ἀφ' οὗ πολλὰς ἐκμαθήσονται τέχνας. ¶Φλογωπὸν] δύο εἰσὶν ὀνόματα τοῦ πυρὸς, τὸ στοιχειακὸν, καὶ τὸ διακονικόν. καὶ στοιχειακὸν μὲν πῦρ, αὐτὸ τὸ στοιχεῖον ὁ αἰθὴρ, διακονικὸν δὲ, αὐτὸ τὸ πρὸς ὑπηρεσίαν ἡμετέραν χρησιμεῦον· ὅπερ φλογωπὸν ὁ Αἰσχύλος φησὶ, τουτέστι λαμπρὸν, διὰ τὸ ὑποπίπτειν τῇ ὁράσει, καὶ λάμπειν. τὸ γὰρ αἰθέριον οὐχ ὑποπίπτει τῇ ὁράσει. ¶Χαλᾷ κακῶν] συνήθης αὐτῷ ἡ χαλᾷ φωνή. ¶Ἀλλὰ ταῦτα μὲν] Ὅμηρος, Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν. ¶Ταῦθ' ἅπαντα] προφρασάμενος. ¶Οὐ μήν τι ποιναῖς] ὅτι μὲν, φησὶν, ἥμαρτον, οἶδα καὶ αὐ-

τὸς, οὐ μὴν δὲ ὑπελάμβανον τοιαύταις τιμωρίαις τιμωρηθήσεσθαί με, καὶ κατισχανεῖσθαι, ἤγουν κρατεῖσθαι καὶ δεσμεῖσθαι, ἐν πέτραις πεδαρσίοις, καὶ ὑπαιρομέναις τῆς γῆς, ἤτοι ὑψηλαῖς, ἐπιτυχόντα τοῦ πάγου καὶ τόπου τούτου τοῦ μὴ κατοίκους ἔχοντος.

κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ᾽ ἐρήμου τοῦδ᾽ ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ ᾽δύρεσθ᾽ ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ᾽, ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πείθεσθέ μοι πείθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταῦτά τοι πλανωμένη
πρὸς ἄλλοτ᾽ ἄλλον πημονὴ προσιζάνει.
Χο. Οὐκ ἀκούσαις ἐπεθώυξας
τοῦτο Προμηθεῦ,
καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ᾽, αἰθέρα θ᾽ ἁγνὸν
πόρον οἰωνῶν, ὀκρυοέσσῃ
χθονὶ τῇδε πελῶ· τοὺς σοὺς δὲ πόνους
χρῄζω διὰ παντὸς ἀκοῦσαι.
Ὠκ. Ἥκω δολιχῆς τέρμα κελεύθου

¶Μὴ ᾽δύρεσθ᾽ ἄχη] μὴ ὀδύρεσθε τὰ παρόντα κακά· πρὸς τὴν γῆν δὲ βᾶσαι καὶ πορευθεῖσαι (ἀέριαι γὰρ ἐφέροντο) ἀκούσατε ἅπαν τὸ ἐμόν. φησὶ δὲ, πρὸς τὴν γῆν βᾶσαι, ὅτι βούλεται στῆσαι τὸν χορὸν, ὅπως τὸ στάσιμον ᾄσῃ. γράφεται δὲ καὶ βλάβας, ἀντὶ τοῦ τύχας. ¶Ταῦτά τοι πλανωμένη] ἡ περὶ τὰ αὐτὰ πλανωμένη πημονὴ, ἄλλοτ᾽ ἐπ᾽ ἄλλοις προσιζάνει. Ἄλλως· οὐκ ὅτι ἐπιμένει μοι ἡ θλίψις περὶ ἓν ἱσταμένη. οὐ γὰρ ἐφ᾽ ἑνὶ κακῷ ἀδικοῦμαι, ἀλλ᾽ ἐπὶ διαφόροις ἀσχάλλω, καὶ ἅπαντα ὑμῖν ἀφηγήσασθαι βούλομαι. ἄλλως. τὸ ταῦτα ἀντὶ τοῦ αὕτη ἡ βλάβη, οὐκ ἐπ᾽ ἐμοὶ μόνῳ ἐγένετο, ἀλλὰ περιερχομένη (τοῦτο γάρ ἐστι τὸ πλανωμένη) ἄλλοτε πρὸς ἄλλον καὶ ἄλλον ἀπέρχεται. ¶Οὐκ ἀκούσαις ἐπεθώυξας τοῦτο Προμηθεῦ] οὐκ ἀκούσαις καὶ μὴ βουλομέναις ἡμῖν τοῦτο εἶπας, ὦ Προμηθεῦ, δηλονότι τὸ, ἔλθετε καὶ ἀκούσατε, ἵνα μάθητε ἅπαν τὸ κατ᾽ ἐμέ· ἀλλὰ θέλομεν τοῦτο καὶ ἡμεῖς. ¶Καὶ νῦν ἐλαφρῷ ποδὶ] ἡ μεταφορὰ ἀπὸ τῶν κινητῶν. νῦν, φησὶν ὁ χορὸς, ἐπεὶ καλεῖς πρὸς σαυτὸν ἡμᾶς, ἐν ταχυτῆτι ποδὸς, τῇ ἀερίᾳ πλόῃ, τὸν κραιπνόσυτον, τὸν ταχέως κινούμενον θρόνον τὸν ἁγνὸν πόρον τῶν οἰωνῶν (ἤγουν τὸν αἰθέρα, ἐν ᾧ τὴν πορείαν ποιοῦνται τὰ ὄρνεα) λιποῦσα, προσπελάζω ταύτῃ τῇ τραχείᾳ γῇ (λέγει δὲ τοῦτο διὰ τὸν Καύκασον. οὐ γὰρ πᾶσα γῆ τραχεῖα) τοὺς σοὺς δὲ πόνους θέλω ἀκοῦσαι. ¶Ἥκω δολιχῆς] ὁ Ὠκεανός φησι πρὸς τὸν Προμηθέα, ἥκω πρός σε, διαμειψάμενος καὶ διελθὼν τὸ τέρμα καὶ τὸ τέλος

τῆς δολιχῆς καὶ μακρᾶς ὁδοῦ. χαίρειν δὲ δίδωσι τῇ χειρὶ καθίκεσθαι τῆς μηχανῆς Ὠκεανὸς ἦλθεν. ὑπερβολῇ δὲ ἐχρήσατο ὁ ποιητής, ὅπου γε Ὅμηρος οὐκ εἰσήγαγεν Ὠκεανὸν εἰς τὸν σύλλογον τῶν θεῶν.

Διαμειψάμενος πρὸς σὲ Προμηθεῦ,
Τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
γνώμῃ στομίων ἄτερ εὐθύνων·
Ταῖς σαῖς δὲ τύχαις, ἴσθι, ξυναλγῶ.
Τό, τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
ἐσαναγκάζει, χωρίς τε γένους,
οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν
νείμαιμ', ἢ σοί.
Γνώσῃ δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
σήμαιν' ὅ,τι χρή σοι συμπράττειν·
οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι.
ΠΡ. Ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν

¶Τὸν πτερυγωκῆ οἰωνὸν τόνδε] ἤτοι τοῦτον τὸν ἐν ταῖς πτέρυξι ταχύτατον οἰωνὸν τὸν γρύπα, διευθύνων καὶ ἄγων γνώμῃ καὶ θελήσει οἰκείᾳ χωρὶς χαλινοῦ. ἤτοι αὐθαίρετον, οὐ βίᾳ, χωρὶς χαλινοῦ. ἐπὶ γρυπὸς γὰρ τετρασκελοῦς ὀχεῖται ὁ Ὠκεανός. ¶Ταῖς σαῖς δὲ τύχαις] ταῖς σαῖς, φησί, κακοπαθείαις, γίνωσκε, ἀνιῶμαι. ἡ γὰρ συγγένειά με ἀναγκάζει λυπεῖσθαι· καὶ χωρὶς τοῦ εἶναί σε συγγενῆ μοι, οὐκ ἔστιν ἀριθμῆσαι ᾧ ἂν πλείονα παρέχοιμι φιλίαν ἢ σοί. ὑπερβολῇ δὲ ἐχρήσατο, ὡς εἶπον, ὁ ποιητής· ὁ γὰρ Ὅμηρος οὐκ εἰσήγαγεν Ὠκεανὸν εἰς σύλλογον τῶν θεῶν. ¶Μείζονα μοῖραν] λείπει φιλίας. ¶Γνώσῃ δὲ] γνώσῃ δέ, φησί, τὴν πρὸς ἐμοῦ διάθεσιν ἀληθῆ, καὶ ὡς οὐ μάτην σοι διὰ λόγου χαρίζομαι· φέρε γὰρ εἰπὲ τί σοι πρέπει συμπράττειν. οὐ γὰρ πρός με λέξεις ὡς ἄλλος τις φίλος ἐστὶ βεβαιότερος παρὰ τὸν Ὠκεανόν. ¶Χαριτογλωσσεῖν] μέχρι γλώσσης χαρίζεσθαί σοι καὶ οὐκ ἔργοις. ¶Ἔα, τί χρῆμα] δυσχεραίνει ὁ Προμηθεὺς εἰπὼν τὸ ἴδιον ἀξίωμα οὐκ ἐτήρησεν ὁ Ὠκεανός. φησὶ δέ, τί τοῦτο τὸ πρᾶγμα; καὶ σὺ ἥκεις ἰδεῖν τοὺς ἐμοὺς πόνους τοὺς ἐκαρτέρησας, καταλείψας τὸ ἐπώνυμόν τι ῥεῦμα τὸ ὀνομαζόμενον ὠκεανόν, καὶ τὰ αὐτόκτιστα ἄντρα, τὰ αὐτοκατασκεύαστα, καὶ πετρηρεφῆ, τὰ πέτραις ἐστεγασμένα, ἦλθες εἰς τὴν γῆν τὴν σιδηρομήτορα, τὴν γεννῶσαν τὸν σίδηρον. λέγει δὲ τὴν Σκυθίαν. οἱ γὰρ Χάλυβες, Σκυθικὸν ἔθνος, καὶ πολὺς ἐν Σκυθίᾳ σίδηρος. ἢ παρεγένου, φησί, θεωρήσων τὰς ἐμὰς δυστυχίας, καὶ συλλυπούμενος τοῖς ἐμοῖς κακοῖς ἰδεῖν τὸ θέαμα, ἤτοι παράδοξον τέρας, καὶ ἐμὲ τὸν φίλον τοῦ Διός, τὸν τὴν τυραννίδα καὶ τὴν βασιλείαν οἰκονομήσαντα, καὶ συνεργήσαντα εἰς ταύτην, ποίαις βλάβαις ὑπ' αὐτοῦ τοῦ Διὸς δαμάζομαι.

ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
ἐμὰς ἀφῖξαι, καὶ ξυνασχαλῶν κακοῖς;
δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι.
ὠκ. Ὁρῶ Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
γίνωσκε σαυτόν, καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
Εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν χόλον
παρόντα μόχθων, παιδιὰν εἶναι δοκεῖν. ludu et iocu, ut Terentius in Eunucho loquitur.
ἀλλ' ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες,
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίνεται.

¶Ὁρῶ Προμηθεῦ] σκόπησον τὰ τῶν ῥητόρων καλὰ παρὰ ποιηταῖς ἀρχηθέντα τοῖς βαρέσι. εἰπόντος τοῦ Προμηθέως πρὸς τὸν Ὠκεανόν, ἴδε οἷα πάσχω· φησὶν ὁ Ὠκεανὸς πρὸς αὐτόν, ὁρῶ οἷα πάσχεις, τὸ παραινέσαι ἐθέλω τὰ ἀγαθά, καίπερ φρονίμῳ ὄντι, γνῶθι σαυτὸν καὶ νόησον ὅτι ἥττων εἶ τοῦ Διὸς καὶ ἄλλαξον τοὺς τρόπους, τὸ κλῖναι ἄγαγε νέους· ἐπεὶ καὶ τύραννος ἐν θεοῖς νέος. εἰ δὲ οὕτω τραχεῖς καὶ σκληροὺς τὸ ἀναιδεῖς λόγους, τεθηγμένους, ἤγουν δυναμένους λυπῆσαι, ῥίψεις, ἀντὶ τοῦ, ἐκπέμψεις τοῦ στόματός σου· τάχα ἂν καὶ μακράν σου καθήμενος ὁ Ζεὺς ἀκούσει· ὥστε τὴν νῦν παροῦσαν ὀργὴν αὐτοῦ, παίγνιον εἶναι δοκιμάσαι, ἄλλα δὲ χαλεπώτερα πάθῃς. ¶Ποικίλῳ] συνετῷ. ¶Γίνωσκε σαυτόν] γνῶθι σαυτόν. ὡς ὁ ποιητής, Φράζεο Τυδείδη καὶ χάζεο. ¶Ἀρχαῖ' ἴσως] ἀρχαῖα λέγει τὰ μωρά, διότι οἱ ἀρχαῖοι τοιοῦτοι ἦσαν, ἁπλούστατοι καὶ εὐήθεις. ὅθεν οἱ γέροντες οἱ ἀρχαῖοι τοιοῦτοί εἰσι. ¶Τοιαῦτα μέντοι τῆς ἄγαν] γνωμικῶς φησι, τῆς μεγαλορρημονούσης γλώσσης ὦ Προμηθεῦ τὰ ἐπιτίμια τοιαῦτα πάσχεις νῦν, αὐτῆς ἀντιλέγων πρὸς τὸν Δία. σὺ δὲ καὶ τοιαῦτα πάσχων, οὐκ εἶ ταπεινός, οὐδ' ὑποπτήσσεις· σὺν οἷς δὲ πάσχεις κακοῖς, θέλεις λαβεῖν καὶ ἕτερα.

ἀλλ' ἐὰν μοι πισθῇς, οὐ βλάψεις σεαυτόν, ἢ οὐ πρὸς κέντρα τὸν πόδα ἐκτενεῖς· ὁρῶν ὅτι κυριεύων πάντων, χαλεπὸς καὶ ὀργίλος θεὸς ὁ Ζεύς, ὅτι μόνος ἄρχει τῶν ἄλλων πάντων, οὐδ' ἔστιν ὑπεύθυνος, ὑπεξουσιαζόμενος παρά τινος. ὁ γὰρ ὑπεύθυνος δύναταί τις τιμωρεῖσθαι. καὶ νῦν μὲν ἐγὼ ἀπέρχομαι πρὸς αὐτόν, καὶ πειράσομαι ἐὰν ἰσχύσω, τοῦτον ἀπολῦσαί σε τῶν δεσμῶν. σὺ δὲ μὴ μεγαλορρημόνει, μηδ' ὑπέρογκα καὶ αὐθάδη λάλει. ἤ, φρόνιμος ὤν, οὐκ οἶδας ὅτι βλάπτεταί τις ἐκ γλώσσης ἀκολάστου καὶ φλυαροῦ;

σὺ δ' οὐδέπω ταπεινός, οὐδ' εἴκεις κακοῖς,
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
οὔκουν, ἔμοιγε χρώμενος διδασκάλῳ,
πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
καὶ νῦν ἐγὼ μὲν εἶμι, καὶ πειράσομαι,
ἐὰν δύνωμαι, τῶνδέ σ' ἐκλῦσαι πόνων.
σὺ δ' ἡσύχαζε, μηδ' ἄγαν λαβροστόμει.
ἢ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;
πρ. Ζηλῶ σ' ὁθούνεκ' ἐκτὸς αἰτίας κυρεῖς,
πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
καὶ νῦν ἔασον, μηδέ σοι μελησάτω.
πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
πάπταινε δ' αὐτὸς μή τι πημανθῇς ὁδῷ.
ὠκ. Πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς,
ἢ σαυτόν· ἔργῳ κ' οὐ λόγῳ τεκμαίρομαι.

Ne aduersus stimulũ calces.

¶ Σὺ δ' οὐδέπω] λείπει, θέλεις εἶναι. ¶ Πρὸς κέντρα κῶλον] πρὸς κέντρα κῶλον ἐκτείνει ὁ βοῦς· λακτίζει γὰρ κεντούμενος ὑπὸ κέντρου. ὥστε λακτίζει πρὸς κέντρον, καὶ τὸ κῶλον αἱμάσσει. ὁ γὰρ πρὸς κέντρα λακτίζων, τοὺς ἰδίους πόδας αἱμάσσει. φησὶν οὖν, ἐὰν μοι μὴ πισθῇς, βλάψεις σεαυτόν. ¶ Ζηλῶ σ' ὁθούνεκα] θαυμάζω πῶς οὐδὲν πέπονθας ὑπὸ Διός, συναλγῶν μοι. Ἄλλως. ζηλῶ σε, φησίν, ὅτι καὶ τὰ περὶ σεαυτοῦ ποιήσας, κακόμεσαι χάριν ἐξ ἐμοῦ. καὶ νῦν δ' ἐν ἔασον σε προσκρούειν Διὶ ὑπὲρ ἐμοῦ. προγινώσκων δὲ ὅπου τι σε τὸν Δία, ἀπείργει αὐτόν. Ἄλλως. θαυμάζω πῶς οὐδὲν ὑπ' αὐτοῦ δεινὸν πέπονθας, ἐμοὶ συναλγῆς. καὶ νῦν ἄφες τὸ προσελθεῖν τῷ Διί, δυσωπήσων αὐτὸν ὑπὲρ ἐμοῦ, ἵνα ἀπολύσῃ με τῶν δεσμῶν. πάντως γὰρ οὐ καταπείσεις αὐτόν· σκληρὸς γὰρ ἐστὶ καὶ οὐκ εὔκαμπτος. σὺ δὲ ἐπιτήρει καὶ περίβλεπε μή τι ἐν τῇ ὁδῷ βλαβήσῃ. ¶ Πολλῷ γ' ἀμείνων] φησὶν ὁ Ὠκεανὸς πρὸς αὐτόν, ὅτι κατὰ πολὺ ἐγένηθης κρείττων καὶ βελτίων εἰς τὸ φρονίμους ποιεῖν καὶ σωφρονίζειν ἑτέρους παρὰ σεαυτόν· ὅτι δὲ ἐξ ἔργων αὐτῶν τοῦ ἀληθοῦς καὶ

ἐκ τοῦ λόγου. ἐμὲ δὲ προθυμούμενον ἀπελθεῖν πρὸς τὸν Δία, μηδαμῶς κωλύσῃς. θαῤῥῶ γὰρ ταύτην τὴν δωρεὰν, ἤγουν τὸ ἀπολῦσαί σε τῶν δεσμῶν, ἐμοὶ δώσειν αὐτόν.

ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
αὐχῶ γὰρ αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων.
πρ. Τὰ μέν σ' ἐπαινῶ, κοὐδαμῇ λήξω ποτέ·
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
μηδὲν πόνει· μάτην γὰρ, οὐδὲν ὠφελῶν
ἐμοὶ, πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
ἀλλ' ἡσύχαζε, σαυτὸν ἐκποδὼν ἔχων·
ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν. — contra id quod vulgo dicitur, eos qui in malis sunt, gaudere aliorum miseriis.
ὠκ. Οὐ δῆτ', ἐπεί με καὶ κασιγνήτου τύχαι
τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους — Atlas Oceani frater.
ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς
ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
ἄντρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας,

¶ Τὰ μέν σ' ἐπαινῶ] εἰς ταῦτα μέν σε ἐπαινῶ, ὅτι πᾶσαν προθυμίαν καὶ σπουδὴν ἐνδεικνύεις ὑπὲρ ἐμοῦ, καὶ οὐδὲ παύσομαί ποτε τοῦ ἐπαινεῖν· ἀλλὰ μηδὲν πόνει ὑπὲρ ἐμοῦ. εἴτι γὰρ ἂν καὶ πράξῃς, πρὸς ὠφέλειαν ἐμὴν σπουδὴν, μάτην ποιήσεις· προγινώσκει γὰρ ὅτι οὐ πείσεις τὸν Δία. ¶ Ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ] ἐγὼ, φησὶ, καὶ ἐὰν δυστυχῶ, καὶ τοιαύτας βλάβας πάσχω, ἀλλ' οὐχὶ διὰ τοῦτο, ἵνα καὶ ἄλλοι τὰ ὅμοια ἐμοὶ πάσχωσι θέλω. ἢ, καὶ ἄλλους ἐπιτυχεῖν τῆς ὁμοίας βλάβης. Ἄλλως. προμηθικῶς· οὐ γὰρ κατὰ τὸν ἀνθρώπινον λογισμὸν πολλοὺς αὐτῷ συνατυχεῖν βούλεται ὁ Προμηθεύς. ¶ Οὐ δῆτ', ἐπεί με καὶ] Ἰαπετὸς ὁ τοῦ Κρόνου ἀδελφὸς ἐκ θυγατρὸς τοῦ Ὠκεανοῦ Κλυμένης λεγομένης ἔσχεν Ἄτλαντα καὶ Μενοίτιον καὶ Προμηθέα· καὶ τὸν μὲν Προμηθέα προσήλωσεν ὁ Ζεὺς εἰς τὸ καυκάσιον ὄρος, ἐπίβουλον αὐτοῦ καὶ ἐχθρὸν φανέντα, ὡς καὶ τοὺς λοιποὺς ἀδελφούς· τὸν δὲ Ἄτλαντα ἐποίησεν ἐπ' ὤμων βαστάζειν τὸν οὐρανόν· τὸν δὲ Μενοίτιον ἐκεραύνωσε. φησὶν οὖν ὁ Ὠκεανὸς πρὸς τὸν Προμηθέα, δαμάζουσί με καὶ ἀνιῶσιν αἱ δυστυχίαι τοῦ ἀδελφοῦ τοῦ Ἄτλαντος, ὅστις πρὸς τοὺς δυτικοὺς τόπους ἵσταται ἐν ὤμοις βαστάζων τὰς οὐρανοῦ καὶ γῆς κίονας, βάρος δυσμεταχείριστον καὶ οὐ ῥᾳδίως βασταζόμενον. ¶ Τὸν γηγενῆ] μυθεύεται ὅτι Τιτᾶνες, τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ὄντες, ἀντῆραν πόλεμον τῷ Διῒ, καὶ ἀντέστησαν αὐτῷ· ἐπεὶ δὲ δέκα ἔτη ἐμάχοντο, καὶ λύσις τοῦ πολέμου οὐκ ἦν, ἀλλ' ἴσος ἦν τοῖς θεοῖς καὶ τοῖς Τιτᾶσιν ὁ πόλεμος, ὁ Ζεὺς συνεργοὺς πρὸς τὴν μάχην λαβὼν τοὺς τρεῖς μονοφθάλμους Κύκλωπας, τὸν Βρόν-

Γύνη
ρ.
πὼ

την, τὸν Στερόπην, καὶ τὸν Ἄργην· καὶ τοὺς τρεῖς ἑκατοντάχειρας, τὸν Κοῖον, τὸν Βριάρεων, καὶ τὸν Γύγην· οἵτινες ἦσαν παῖδες τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ἐχρημάτιζον. τοὺς κύκλωπας, ἤνεγκεν, τὸ πρὸς τὴν μάχην παρέτρεψε· τὸν πόλεμον συναράξας μετὰ Κρόνου τοὺς Τιτᾶνας κατεπολέμησε, καὶ τῇ γῇ παρέδωκε, καὶ κατεταρτάρωσε. μετὰ ταῦτα ἡ Γῆ αὖθις μιγεῖσα τῷ Ταρτάρῳ, τὸν ἑκατοντακέφαλον Τυφῶνα ἐγέννησεν, ἀπὸ τῶν θηρείων ἀγρίων ἔχοντα κεφαλάς, καὶ πέρας δεινὸν τὸ παμμεγὲς χρηματίζοντα, καὶ ἐξ ὀφθαλμῶν σέλας καταπληκτικὸν ἀστράπτοντα. οὗτος πάλιν ἐπῆρεν μάχην τῷ Διὶ ζητῶν ψ. κεραυνωθεὶς δὲ καὶ αὐτὸς ἐν Σικελίᾳ περὶ τὴν Αἴτνην, τῷ Ταρτάρῳ ἐκρύβη. ἐξ οὗ μυθολογοῦνται πάντας τοὺς ἀνέμους σφοδροὺς κινεῖσθαι, χωρὶς Ζεφύρου καὶ Βορρᾶ· θεογενεῖς γὰρ οὗτοι. ἰστέον δὲ ὅτι ἐν Κιλικίᾳ μὲν ἐγεννήθη ὁ Τυφώς, ἐκολάσθη δὲ ἐν Σικελίᾳ. καὶ Ἡσίοδος, Τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον.

ἑκατοντακάρηνον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀντέστη θεοῖς, — πᾶσ'
σμερδναῖσι γαμφηλαῖσι συρίζων φόνον· — p. ita enim scrip. Homerus et alij
ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ·
ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος·

¶Ἑκατοντακάρηνον] φησὶν οὖν ὁ Ὠκεανός, ᾤκτειρα δὲ τὸν Τυφῶνα τὸν οἰκήτορα τῶν Κιλικίων σπηλαίων, τὸν ἑκατὸν κεφαλὰς ἔχοντα, τὸν ὁρμητικὸν πρὸς πόλεμον· ὃς πᾶσι τοῖς θεοῖς ἀντέστη, καταπληκτικαῖς σιαγόσιν ἠχῶν φόνον (γράφεται καὶ φόβον) ἐξ ὀφθαλμῶν δὲ ἤστραπτε σέλας καταπληκτικόν. ἐπῆλθε τὸ τοῦ Διὸς βέλος ὁ κεραυνός, καὶ ἔπαυσεν αὐτὸν τῶν κενοδόξων καὶ μεγάλων κομπασμάτων. εἰς αὐτὰς γὰρ τὰς φρένας πληγεὶς ὑπὸ τοῦ κεραυνοῦ κατεκάη· τὸ νῦν κεῖται πλησίον τοῦ στενωποῦ πορθμοῦ τοῦ μεταξὺ Σικελίας καὶ Ἰταλίας, δέμας ἀχρεῖον, καὶ παρήορον, ἤγουν ἔκλυτον, ἢ ἐκλελυμένον καὶ ἐκτεταμένον. γράφεται δὲ καὶ παράωρον, ἀντὶ τοῦ παντελῶς ἀφρόντιστον καὶ μηδεμιᾶς φροντίδος ἄξιον. σημείωσαι δὲ ὅτι τὸ δέμας ἐπὶ τοῦ ἀψύχου λαμβάνει νῦν ὁ ποιητής. ¶Σμερδναῖσι] ἤγουν ἐκπληκτικαῖς, παρὰ τὸ μερίζειν, καὶ δονεῖν τὸ τὰ ἑκάστου· τὸ γὰρ καταπληκτικόν, ποιεῖ τὸν δειλὸν μερίζεσθαι εἰς φόβους, καὶ διττὰς ἐννοίας. οὐ μὴν ζητητέος ὁ τοιοῦτος, ἀλλ' ὁ ποιητὴς φύσει τοῖς περισσοῖς ἐξαιρούμενος, οὐ λεπτολογεῖται τὰ πράγματα. ¶Ἄγρυπνον βέλος] τὸ πῦρ τὸ ποιοῦν τοὺς ἀνθρώπους ἀγρυπνεῖν, καὶ ἀσχολεῖσθαι περὶ τὸ ἐργάζεσθαι. λέγουσι γὰρ ὅτι ἐν τῇ αἴθρῃ ἡμέρας ἐνθρώσκει καπνός, νυκτὸς δὲ φλόξ. Ἄλλως. ἄγρυπνον βέλος, ἄπαυστον, ἄσβεστον. ¶Ἐφεψαλώθη] κατεκάη. ψεφαλὸς λέγεται ὁ μικρὸς σπινθήρ, ἀπὸ τοῦ φλογὶ ὧν ἅψασθαι. ¶Κἀξεβροντήθη] ἤτοι ἐξεδινήθη, καὶ ἀφῆκε τὴν δύναμιν ἣν εἶχεν· καὶ οἱ ἐμβρόντητοι. οἱ γὰρ βροντῆς ἤχους ἀκούοντες ἐκπλήττονται.

καὶ νῦν ἀχρεῖον καὶ παράορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζαισιν αἰτναίαις ὕπο· — in favillam et cinerē redactus.
κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις — Ignis fluvius per
τῆς καλλικάρπου Σικελίας λευρὰς γύας· — Siciliam. vide quae notavi in libro de
τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον — mundo ad Alexandrū.
θερμῆς ἀπλήστου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
προ. Σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
χρῄζεις, σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
ἔστ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.
ὠκ. Οὔκουν Προμηθεῦ τοῦτο γινώσκεις, ὅτι — Cicero in Tusculanis.
ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;
προ. Ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ,
καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.

¶Μυδροκτυπεῖ] χαλκεύει. μύδρος καλεῖται ὁ πεπυρακτωμένος σίδηρος, παρὰ τὸ μὴ, καὶ τὸ ὕδωρ. ὁ γὰρ πεπυρακτωμένος σίδηρος οὐδ' ὅλως ὑγροῦ τινος μετέχει, ἀλλὰ καὶ μᾶλλον ξηροῦ. ¶Ἔνθεν ἐκραγήσονταί ποτε] κατὰ τὴν σικελίαν ὄρος ἐστὶ τὸ καλούμενον αἴτνη, ἐξ οὗ πῦρ πολὺ ἀναδίδοται ἐκρέον ποταμηδόν. ἐκ τούτου οὖν, φησί, ποτὲ ἐκχυθήσονται ποταμοὶ πυρός, καταφθείροντες πᾶσαν γῆν τῆς καλλικάρπου σικελίας. ζάλην δὲ πυρίπνοον λέγει τὴν ἀνάδοσιν καὶ τὴν ἀνακάχλασιν τοῦ αἰτναίου πυρός. θερμὴν δὲ αὐτὴν καλεῖ, διὰ τὸ ἐκεῖσε καυθῆναι τὸν Τυφῶνα. ἄπληστον δέ, διότι τὸ πῦρ ὕλης δραξάμενον, οὐ κορέννυται, ἀλλὰ μᾶλλον ἐπὶ πλεῖον καταφλέγει τὰ προστυχόντα, καὶ οὐχ ἵσταται. Ἄλλως. ἔνθεν ὁ Καλλίμαχος πυρίδρομον φησί. ποταμοὺς δὲ πυρὸς τοὺς κατὰ σικελίαν ῥύακας φησί, περὶ ὧν ἠκούομεν πάλαι. καὶ κατὰ τοὺς Ἱέρωνος χρόνους κατὰ τὸ μέσον ῥυέντες, πολλὰ διέφθειραν χωρία, ὅθεν τό, τὸ θεῖον καὶ τὰ πυρεῖα. γῆ γάρ ἐστι περιεχομένη ἔχουσα πῦρ, ὅ ἐστι κατὰ σύστασιν τῆς γῆς. ἀὴρ δέ ἐστι πῦρ τὸ κατὰ κρᾶσιν τοῦ ὕδατος, ὃ ποταμοὺς τοῦ πυρὸς ὁ Πίνδαρος καὶ ὁ Αἰσχύλος φασί. ¶Ὀργῆς νοσούσης] Λόγος γὰρ ἀνθρώποισιν ἰᾶται νόσους. Ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια. ¶Ἐν καιρῷ] νῦν δὲ ἔτι ἐν ἀκμῇ ἐστιν ὁ τοῦ Διὸς χόλος, καὶ οὐ πείθεται, εἰ μὴ ἀνειμένος γένηται ἡ ὀργή, καὶ οἱονεὶ μαλακισθῇ. τοῦτο καὶ Ἱπποκράτης, Πέπονα φαρμακεύειν, μὴ ὠμά. ¶Σφριγῶντα] ἀκμάζοντα καὶ αὐξαίνοντα.

ὠκ. Ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν, τίνα
ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.
πρ. Μόχθον περισσὸν, κουφόνουν τ' εὐηθίαν.
ὠκ. Ἔα με τῇδε τῇ νόσῳ νοσεῖν, ἐπεὶ
κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν.
πρ. Ἐμὸν δοκήσει τ' ἀμπλάκημ' εἶναι τόδε.
ὠκ. Σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
πρ. Μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.
ὠκ. Ἦ τῷ νέον κρατοῦντι παγκρατεῖς ἕδρας;
πρ. Τούτου φυλάσσου μήποτ' ἀχθεσθῇ κέαρ.
ὠκ. Ἡ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος.
πρ. Στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν.
ὠκ. Ὁρμωμένῳ μοι τόνδ' ἐθώυξας λόγον.
λευρὸν γὰρ οἶμον αἰθέρος ψαύει πτεροῖς
τετρασκελὴς οἰωνός· ἄσμενος δέ τ' ἂν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.
χο. Στένω σε τᾶς οὐλομένας τύχας Προμηθεῦ,
δακρυσίστακτον δ' ἀπ' ὄσσων

¶Ἐν τῷ προθυμεῖσθαι] γρ. καὶ προμηθεῖσθαι. ἤγουν ἐν τῷ προνοεῖσθαί σου καὶ πειρᾶσθαι τὸν δία πεῖσαι. ¶Ἔα με] ἄφες, φησίν, ἐμὲ προκινδυνεύειν ὑπὲρ σοῦ, καὶ δοκεῖν τοῖς πολλοῖς ἄφρονα εἶναι, εὖ φρονοῦντά σοι. ¶Στέλλου, κομίζου] πορεύου εἰς τὸν οἶκόν σου, καὶ φύλαττε τὸν παρόντα νοῦν, τὸ μὴ λυπεῖν τὸν δία. ¶Ὁρμωμένῳ μοι] ἅπτοιτο τὸν πάντων ἡμέραν ἔχοντα, χρονίζειν ἐπὶ τῆς κινήσεως, οἷον καί πως ἥλιον εἰσαγαγεῖν, ἐπὶ πολὺ τὸν κόσμον ἀνήλιον εἴασε. δεῖ οὖν μεμετρημένως τὰ τοιαῦτα ποιεῖσθαι. τοῦτο δέ, φησὶν ὁ Ὠκεανὸς πρὸς τὸν Προμηθέα, ὅτι οὐκ ἀκαίρως μοι εἶπας, ἄπελθε. καὶ γὰρ ὁ τετρασκελὴς οἰωνὸς ὁ γρὺψ ᾧ ἐποχοῦμαι, διακόπτει τὴν ὁμαλὴν ὁδὸν τοῦ αἰθέρος ἐν τοῖς οἰκείοις πτεροῖς. ἤτοι ἄρχεται πέτεσθαι. ¶Ψαύει πτεροῖς] γρ. καὶ ψαίρει. καταχρηστικῶς δὲ καὶ ἐν τούτῳ ἡ λέξις αὕτη. ¶Στένω σε] τὸ στάσιμον ᾄδει ὁ χορὸς τῶν Ὠκεανίδων ἐπὶ τῆς γῆς καταληλυθώς, καί φησι, στενάζω, καὶ κλαίω σε ἕνεκα τῆς ὀλεθρίας τύχης, ἀπὸ δὲ τῶν ὀφθαλμῶν δακρυσίστακτον στάζουσα ῥεῦμα, τὴν ἐμὴν παρειὰν ἔβρεξα ὑγραῖς πηγαῖς, ἤτοι δάκρυσιν. ἀμέγαρτα γὰρ καὶ ἀφθόνητα κακά, ἃ οὐδεὶς ζηλώσει, δείκνυσιν ἡμῖν ὁ Ζεὺς τοῖς πρόσθεν θεοῖς, ἰδίοις νόμοις ἰσχυροποιῶν τὴν ὑπερήφανον ἀρχήν· ἢ τὴν βίαν, ὥσπερ Πίνδαρος αἰχματὰν κεραυνὸν τὸν βίαιον λέγει. ἅπασα δὲ χώρα λέλακε, καὶ στενάζει, τὴν μεγάλην τε καὶ ἀρχαιφανοῦς σχήματος οὖσαν τιμὴν τὴν σὴν καὶ τῶν ξυνομαιμόνων, ἤτοι τῶν ἀδελφῶν σου, τοῦ Ἄτλαντος καὶ τοῦ Μενοιτίου. ὧν τὸν μὲν Ἄτλαντα ἐποίησε βαστάζειν τὸν οὐρανόν,

τὸν δ' ἐκεραύνωσεν· ὁ δὲ δεσμεῖ ἐνταῦθα εἰς τὸ καυκάσιον ὄρος· οὗτοι δὲ παῖδες ἦσαν τοῦ Ἰαπετοῦ, ὃς ἦν ἀδελφὸς τοῦ κρόνου τοῦ πατρὸς τοῦ διός.

ῥαδινῶν λειβομένα ῥέος, παρειὰν
νοτίοις ἔτεγξα παγαῖς· ἀμέγαρτα γὰρ
τάδε Ζεὺς ἰδίοις νόμοις κρατύνων,
ὑπερήφανον τοῖς πάρος θεοῖς δείκνυσιν
αἰχμάν· πρόπασα δ' ἤδη στονόεν
λέλακε χώρα, μεγαλοσχήμονά τ' ἀρ-
χαιοπρεπῆ στένουσι τὴν σὴν ξυνο-
μαιμόνων τε τιμήν, ὁπόσοι τ' ἔποικον
ἁγνᾶς ἀσίας ἕδος νέμονται,
μεγαλοστόνοισι σοῖς πήμασι
συγκάμνουσι θνητοί·
κολχίδος τε γᾶς ἔνοικοι παρθένοι,
μάχας ἄτρεστοι, καὶ σκύθης ὅμιλος,
οἳ γᾶς ἔσχατον τόπον ἀμφὶ μαιῶτιν
ἔχουσι λίμναν· ἀραβίας τ' ἄρειον ἔθνος,
ὑψίκρημνόν θ' οἳ πόλισμα καυκάσου
πέλας νέμονται, δάιος στρατός,
ὀξυπρῴροισι βρέμων ἐν αἰχμαῖς.
μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις
δαμέντ' ἀκαμαντοδέτοις
τιτᾶνα λύμαις εἰσιδόμαν θεὸν
Ἄτλανθ', ὃς αἰὲν ὑπείροχον σθένος

¶Ῥαδινῶν] εὐκινήτων. ¶Ῥέος] ῥεῦμα, παρὰ τὸ ῥέω ῥέος, ὡς κλέπτω κλέπος. Οἴχεται τὸ κλέπος αὐτὸς ἔχων. ¶Αἰχμαν] τὴν βίαν. καὶ Πίνδαρος αἰχματὰν κεραυνὸν τὸν βίαιον. ¶Μεγαλοσχήμονα] μεγάλου σχήματος οὖσαν. ¶Ὁπόσοι τ' ἔποικον] ὅσοι τῶν ἀνθρώπων κατοικοῦσι τὸ ἔδαφος καὶ τὸν χῶρον τῆς καθαρᾶς ἀσίας, συγκάμνουσιν ἡμῖν, καὶ συναγωνιῶνται ταῖς σαῖς βλάβαις· παρθένοι τε αἱ ἐγκάτοικοι τῆς κολχίδος, ἤγουν αἱ ἀμαζόνες, αἱ ἄτρεστοι καὶ ἄφοβοι ἐν ταῖς μάχαις, ἀνιῶνται τοῖς σοῖς κακοῖς. ¶Ἁγνᾶς ἀσίας] ἁγνὴν λέγει τὴν ἀσίαν διὰ τὸ περιφερεστέραν εἶναι πασῶν, καὶ διὰ τὸ μεγάλας πόλεις καὶ πλουσίας ἔχειν. ¶Ἀραβίας] πῶς τὴν Ἀραβίαν καυκάσῳ συνῴκισεν; ὁ Στράβων φησίν, οἳ πρωτολοῦνται μεταξὺ μαιώτιδος καὶ καυκασίας. ¶Ἄρειον] τὸ ἄριστον. ¶Ὀξυπρῴροισι] ὀξυαιχμοῖς.

κραταιὸν οὐράνιόν τε πόλον
νώτοις ὑποβαστάζει, βοᾷ δὲ πόντιος κλύδων
ξυμπίτνων, στένει βυθὸς,
κελαινὸς δ' ἄϊδος ὑποβρέμει μυχὸς
γᾶς, παγαί θ' ἁγνορρύτων ποταμῶν
στένουσιν ἄλγος οἰκτρόν.
Προ. Μή τι χλιδῇ δοκεῖτε μηδ' αὐθαδίᾳ
σιγᾶν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
ὁρῶν ἐμαυτὸν ὧδε προσηλούμενον.
καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
τίς ἄλλος, ἢ 'γὼ, παντελῶς διώρισεν;
ἀλλ' αὐτὰ σιγῶ· καὶ γὰρ εἰδυίαισιν ἂν
ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
ἀκούσαθ', ὥς σφας νηπίους ὄντας τὸ πρὶν,
ἔννους ἔθηκα, καὶ φρενῶν ἐπηβόλους.
(λέξω δὲ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος)
οἳ πρῶτα μὲν, βλέποντες ἔβλεπον μάτην,
κλύοντες οὐκ ἤκουον· ἀλλ' ὀνειράτων
ἀλίγκιοι μορφαῖσι, τὸν μακρὸν χρόνον

¶ Ἁγνορρύτων] καθαρὸν ῥεῦμα ἐχόντων. ¶ Μή τι χλιδῇ] σιωπῶσι παρὰ ποιηταῖς τὰ πρόσωπα, ἢ δι' αὐθαδίαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ Σοφοκλέους· ἢ διὰ τὴν συμφορὰν, ὡς ἡ Νιόβη παρ' Αἰσχύλῳ· ἢ διὰ περίσκεψιν, ὡς ὁ Ζεὺς παρὰ τῷ ποιητῇ, πρὸς τὴν τῆς Θέτιδος αἴτησιν. τοῦτο δέ φησιν ὁ Προμηθεὺς πρὸς τὸν χορὸν, μή με δοκεῖτε σιγᾶν ἢ ἐν ὑπερηφανίᾳ, ἢ ἐν αὐθαδίᾳ, ὅτι ἐκ κενοδοξίας, μὴ συνομιλοῦντα ὑμῖν, καὶ καταλέγοντα τὰ ἐμά· ἐν συννοίᾳ γὰρ κόπτομαι τὴν ψυχὴν, βλέπων ἐμαυτὸν οὕτως ὑβριζόμενον. ὅθεν καὶ οἱ ἀρκάδες πρόσελοι ἢ προσέληνοι· ὑβρισταὶ γάρ. ¶ Καίτοι] τίς, φησὶ, διώρισε τιμὰς ἄλλος τοῖς νέοις τούτοις θεοῖς; τοῦτο δὲ λέγει, πρὸς τὸν δία τὸν λόγον ἀποτεινόμενος, διὰ τὸ συμβουλεῦσαι αὐτῷ ᾧ δεῖ κατὰ τῶν Τιτάνων. ἢ ὅτι εἰ καὶ ὁ Ζεὺς ἐπένειμεν ἑκάστῳ θεῷ τιμὴν, ἀλλὰ σχεδὸν οὐ Διὸς, ἀλλὰ Προμηθέως τὸ κατόρθωμα. ἐκεῖ γὰρ τὸ προσῆκον ἀξίωμα διετάξατο ἑκάστῳ. ἀλλὰ ταῦτα μὲν σιωπῶ, φησίν· ἐν γινωσκούσαις γὰρ ὑμῖν λέγω· λέξω δὲ τὰς ἀνθρώπων βλάβας, ἃς εἶχον πρὶν, διὰ τὸ μηδὲν τῶν συμφερόντων εἰδέναι, ἀλλὰ ἅπαντες πρῶτα μὲν, βλέποντες οὐκ ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον. διό τι οὖν καὶ φρόνησιν οὐκ εἶχον. Νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει.

ἔφυρον εἰκῆ πάντα, κοὔτε πλινθυφεῖς
δόμους προσείλους ἦσαν, οὐ ξυλουργίαν·
κατώρυχες δ' ἔναιον, ὥστ' ἀείσυροι
μύρμηκες, ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ,
οὔτ' ἀνθεμώδους ἦρος, οὔτε καρπίμου
θέρους βέβαιον· ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
ἔπρασσον, ἔστε δή σφιν ἀντολὰς ἐγὼ
ἄστρων ἔδειξα, τάς τε δυσκρίτους δύσεις.
καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξεῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
μνήμην θ' ἁπάντων μουσομήτορ' ἐργάτιν.
κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
ζεύγλαισι δουλεύοντα σώμασίν θ', ὅπως
θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένωνθ'· ὑφ' ἅρματ' ἤγαγον φιληνίους
ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
λινόπτερ' εὗρε ναυτίλων ὀχήματα. :
τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας

¶Ἔφυρον] ἐκ μεταφορᾶς τῆς γυναικός, ὅταν μέλλῃ ζυμῶσαι, μιγνυούσης ἄλευρον, ὕδωρ, ἅλας, καὶ ποιούσης τὸν ἄρτον. ἐκεῖνοι γὰρ ἔμισγον τὰ πάντα. ¶Προσείλους] πρὸς ἥλιον ὁρῶντας. καὶ Εὔπολις, Αὐλὴ πρόσειλος. ¶Ὥστ' ἀείσυροι μυρ.] οἱ ἀεὶ συρόμενοι καὶ ἕρποντες. ἢ ἀήσυροι, ἤγουν οἱ κοῦφοι καὶ οἱονεὶ πτερωτοί. ¶Οὔτε χείματος τέκμαρ] οὐ διεγίνωσκον διὰ τῶν ἄστρων τοὺς καιρούς. ¶Δυσκρίτους] δυσκαταλήπτους· δυσγνώστους, ἐπεὶ ὅτε ὡραίαν ὅταν δύνῃ, χειμῶνα ποιεῖ. ταύτην δὲ εὕρεσιν καὶ Παλαμήδει προσῆψαν. ¶Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων] καὶ δὴ καὶ μηχανήματα ἐξεῦρον αὐτοῖς, καὶ γραμμάτων συνθέσεις ἐδίδαξα. γράφεται καὶ νοσφισμάτων. καὶ γάρ τις μεῖζον γινώσκων τῶν πραγμάτων αὐτῶν, οὔποτε τοῦ εἰκότος ἐκπίπτει. ¶Μνήμην θ' ἁπάντων] ἐγώ, φησί, καὶ μνήμην ἁπάντων λόγων μητέρα τοὺς ἀνθρώπους ἐδίδαξα, καὶ ἔζευξα ἐν ζυγοῖς κνώδαλα, καὶ βόας δουλεύοντας καὶ ἐν ζεύγλαις τε ἐν σώμασι· τε ὑφ' ἅρματα ἤγαγον τοὺς ἵππους, ὅπερ ἐστὶ καλλώπισμα τῆς ὑπερπλούτου χλιδῆς. καὶ τὰ ἐν θαλάσσῃ δὲ πλανώμενα ἅρματα τῶν ναυτίλων (ἤγουν τὰς ναῦς) τὰ λινόπτερα, τὰ ἔχοντα τὰ ἄρμενα ὡς πτερά, οὐδεὶς ἄλλος ἐφεῦρε χωρὶς ἐμοῦ. ¶Ὑπερπλούτου χλιδῆς] τὸ γὰρ ἐποχεῖσθαι ἵπποις, πλουσίων ἐστί.

βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ᾽, ὅτῳ
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.
Χο. Πέπονθας ἀεικὲς πῆμ᾽, ἀποσφαλεὶς φρενῶν
πλανᾷ· κακὸς δ᾽ ἰατρὸς ὥς τις, ἐς νόσον
πεσὼν ἀθυμεῖς, καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
Πρ. Τὰ λοιπά μου κλύουσα, θαυμάσῃ πλέον
οἵας τέχνας τε καὶ δόλους ἐμησάμην.
τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ᾽ οὐδὲν, οὐδὲ βρώσιμον,
οὐ χριστὸν, οὐδὲ πιστὸν, ἀλλὰ φαρμάκων
χρείᾳ κατεσκέλλοντο, πρὶν ἐγώ σφίσιν
ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα,

¶Πέπονθας ἀεικὲς πῆμα] ἔπαθες βλάβος ἀπρεπὲς, μὴ καλῶς φρονῶν, ἀλλ᾽ ἀφρόνως ἀντιλέγων τῷ Διῒ, καὶ ἀνθιστάμενος αὐτῷ. ἢ, ἔπαθες βλάβην ἀπρεπῆ. τὸ δὲ πλανᾷ, δηλοῖ, ὅτι ἀποσφαλεὶς τῶν φρενῶν οὐκ οἶδας εἰσενεγκεῖν φροντίδος μηχάνημα, δι᾽ οὗ ἂν ἀπαλλαγῇς· ὥσπερ δέ τις ἄπειρος ἰατρὸς, εἰς νόσον πεσὼν ἀθυμεῖς, καὶ οὐκ ἔχεις εὑρεῖν ποίοις μηχανήμασι σεαυτὸν θεραπεύσεις. Ἄλλως. τοῦτο διὰ τὸ φιλονεικῆσαι Διΐ. μεσολαβοῦσι δὲ αἱ τοῦ χοροῦ τὴν ἔκθεσιν τῶν κατορθωμάτων, διαναπαύουσαι τὸν ὑποκριτὴν Αἰσχύλου. ¶Τὰ λοιπά μου κλύουσα] τὰ ἄλλα μου σοφίσματα ἀκούουσα, πλέον θαυμάσεις οἵας τέχνας καὶ μηχανὰς ἐβουλευσάμην. τὸ μὲν μέγιστον, εἴ τις ἀρρωστήσειεν, οὐκ ἦν οὐδὲν βοήθημα θεραπείας οὔτε διὰ βρώσεως προσφερόμενον, οὔτε δι᾽ ἐπιχρίσεως ἔξωθεν, οὔτε διὰ πόσεως (τοῦτο δὲ δηλοῖ τὸ πιστὸν, ἀπὸ τοῦ πίω πίσω ῥήματος) ἀλλὰ πάντες διεφθείροντο τῇ ἐνδείᾳ τῶν φαρμάκων· πρὶν ἢ ἐγὼ ἔδειξα αὐτοῖς κεράσματα καὶ θεραπείας θεραπευούσας τὰς νόσους. ¶Κατεσκέλλοντο] κατεσκελετεύοντο, κατεφθείροντο. ¶Ἐστοίχισα] διεκόσμησα καὶ διεταξάμην, καὶ ἔκρινα τίνας τῶν ὀνείρων δεῖ ἐξελθεῖν, καὶ τίνας μή· μαντείας τε δυσκόλους εἰς κατάληψιν καὶ γνῶσιν ἐγνώρισα αὐτοῖς, ἤγουν τοῖς ἀνθρώποις, τὰ κατὰ τὴν ὁδὸν γινόμενα σημεῖα καὶ τεκμήρια. καὶ ἀκριβῶς ἐδίδαξα καὶ ἑρμήνευσα τὴν πτῆσιν τῶν οἰωνῶν τῶν ἐπικαμπεῖς ὄνυχας ἐχόντων· οἵτινές τε δεξιοὶ, καὶ οἵτινες εὐώνυμοι, καὶ τὴν διαγωγὴν ἥντινα ἔχουσιν ἕκαστοι· καὶ τίνες πρὸς ἀλλήλους εἰσὶν ἔχθραι, καὶ φιλίαι, μίση, καὶ συνελεύσεις. τὸ γὰρ συνδιάγειν ὁμοῦ τοὺς οἰωνοὺς, καὶ τὸ ἔχθραν ἔχειν πρὸς ἀλλήλους, ἢ καὶ φιλίαν, σημαντικὰ μαντειῶν, καὶ ἀδήλων τεκμήρια παρὰ τοῖς μάντεσι πέφυκεν. ἰστέον δὲ ὅτι πολλὰ καὶ διάφορα εἴδη μαντειῶν καθεστήκασιν, ἐνταῦθα δὲ περὶ τούτων μόνων διαλαμβάνει, περὶ τοῦ ὀνειροκριτικοῦ, τοῦ οἰωνιστικοῦ, τοῦ ἐνοπτικοῦ, καὶ τοῦ θυ-

πικοῦ. Ἄλλως. ἐστοίχισα, κατὰ στοῖχον ἔδειξα. πολλὰ γὰρ εἴδη μαντικῆς· εἰκαστικόν, ἐπιτευκτικόν, ἀστρονομικόν.

κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρισ' αὐτοῖς, ἐνοδίους τε συμβόλους,
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρισ', οἵτινές τε δεξιοὶ φύσιν,
εὐώνυμοί τε, καὶ δίαιταν ἥντινα
ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχοντ' ἂν εἴη δαίμοσι πρὸς ἡδονήν,
χολῆς, λοβοῦ τε ποικίλην εὐμορφίαν,
κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν
ὀσφὺν πυρώσας, δυστέκμαρτον εἰς τέχνην
ὥδωσα θνητούς· καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς
κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,
χαλκόν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς
φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;

¶Δυσκρίτους] δυσνοήτους. ¶Ενοδίους] τοὺς ἐξ ὑπαντήσεως. ¶Συνεδρίαι] ὁμόνοιαι. ¶Σπλάγχνων τε λειότητα] ἡ διὰ σπλάγχνων σκέψις. ¶Δαίμοσι πρὸς ἡδονὴν] ἀπρόσδεκτα θεοῖς. ¶Κνίσῃ τε κῶλα συγκαλυπτὰ] τὰ τῶν μηρῶν ὀστᾶ συγκεκαλυμμένα κνίσῃ. ἤ, τὰ μηρία πῶς δεῖ συγκαλύπτειν κνίσῃ, τῇ ἄνωθεν ἐπιτεθειμένῃ αὐτῶν λίπει· καὶ τὴν μακρὰν ὀσφύν, γαστέρα, κοιλίαν, πυρώσας, καὶ εἰς πῦρ ἐμβαλών, ὡδήγησα τοὺς ἀνθρώπους εἰς τέχνην δυσκόλως τεκμαρτήν. ἤτοι τὴν θυματικὴν μαντείαν. ἀκίνητος γὰρ οὖσα καὶ σπέρματα ἔχουσα ἡ γαστήρ, θύεται θεοῖς, ἀφ' οὗ καὶ κλόνις ὀνομάζεται διὰ τὸ ἀεικίνητον. καὶ τὰ φλογωπὰ σήματα, ἤτοι τὰς διὰ πυρὸς μαντείας τυφλὰς οὔσας πρίν, καὶ οὐ φαινομένας, διὰ τὸ μὴ γινώσκεσθαι, βλέψαι ἐποίησα, καὶ εἰς τὸ ἐμφανὲς ἤγαγον καὶ πᾶσιν ὑπέδειξα. ¶Ωδωσα θνητοὺς] εἰς γνῶσιν καὶ ὁδὸν ἤγαγον. ¶Επάργεμα] τυφλά, ἀπὸ τοῦ ἀργὸν τὸ λευκόν. λεύκωμα νόσος γίνεται περὶ τὸν ὀφθαλμόν, ὅσπερ ἀβλεψίαν ποιεῖ. διὰ τοῦτο γοῦν τὰ σκοτεινά φησιν ἐπάργεμα, κατὰ ἀντίφρασιν· ἀργὸν γὰρ λέγεται τὸ λευκόν. Ἄλλως. ἐπάργεμα κυρίως τὰ λευκωματωθέντα, παρὰ τὸ ἀργόν. ¶Τοιαῦτα μὲν δὴ ταῦτα] ταῦτα μέν, φησίν, ὅσα εἶπον, οὕτως ἔχουσιν. τίς δὲ εἴποι ἄλλον τινὰ πρὸ ἐμοῦ ἐξευρεῖν

τὰ τοῖς ἀνθρώποις ὠφέλιμα κεκρυμμένα ὑποκάτω τῆς γῆς, χρυσὸν, ἄργυρον, χαλκὸν, σίδηρον, καὶ ἄλλα τινά; οὐδεὶς εἴποι, τοῦτο σαφῶς γινώσκω· ἐὰν μὴ μάτην φλυαρῇ. ἐν ὀλίγῳ δὲ λόγῳ συλλήβδην μάθε ὅτι πάσας τέχνας ἐγὼ ἐφεῦρον.

οὐδεὶς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.
βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
χο. Μὴ νῦν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
λυθέντα, μηδὲν μεῖον ἰσχύσειν Διός.
πρ. Οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς,
δύαις τε καμφθεὶς, ὧδε δεσμὰ φυγγάνω·
τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.
χο. Τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
πρ. Μοῖραι τρίμορφοι, μνήμονές τ' ἐριννύες.
χο. Τούτων ἄρ' ὁ Ζεύς ἐστιν ἀσθενέστερος.
πρ. Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
χο. Τί γὰρ πέπρωται Ζηνὶ, πλὴν ἀεὶ κρατεῖν;
πρ. Τοῦτ' οὐκ ἂν οὖν πύθοιο, μηδὲ λιπάρει.
χο. Ἤπου τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.
πρ. Ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς

¶Μὴ νῦν βροτοὺς μὲν ὠφέλει] μὴ νῦν, φησὶ, τοὺς ἀνθρώπους ὠφέλει πέρα τοῦ προσήκοντος καὶ τοῦ δέοντος, σαυτοῦ δὲ ἀφροντίστει κακῶς πράττοντος. ὡς λίαν ἐγὼ ἐλπίζω τοῖς λόγοις οἷς λέγεις (τοῦτο γὰρ δηλοῖ τὸ εὔελπίς εἰμι τῶνδε, ἤγουν τούτων ὧν λέγεις) ὡς καὶ λυθήσῃ τῶν δεσμῶν, καὶ πλέον τοῦ Διὸς ἰσχύσεις. ¶Οὐ ταῦτα ταύτῃ] οὐ ταῦτα οὕτως πέπρωται, ἵνα ἡ τελεσφόρος μοῖρα τὸ τέλος τὰ κατ' ἐμὲ κρανῇ καὶ πληρώσῃ. ὅ ἐστιν, οὔπω μοι λυθῆναι μεμοίραται. ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται· ὅπερ ἐμφαίνει Αἰσχύλος. ¶Τίς οὖν ἀνάγκης] τίς τῆς ἀνάγκης κρατεῖ καὶ διαπράζει; ¶Τούτων ἄρ' ὁ] εἰ θέλοι παρὰ μοίρας λῦσαι, οὐ δύναται ὁ Ζεὺς τοῦτο ποιῆσαι. ¶Οὔκουν ἂν] προαναφωνεῖ τὸν ἔρωτα τῆς Θέτιδος. ¶Τί γὰρ πέπρωται] τί οὖν ὑπόκειται τῷ Διὶ οὐδὲν ἄλλο, ἢ τὸ ἀεὶ ἄρχειν. φησὶν οὖν ὁ Προμηθεὺς, ὡς εἴτε κρατήσειεν ἀεὶ, εἴτε μὴ, οὐδαμόθεν μάθης ἂν ἐξ ἐμοῦ· μηδὲ παρακάλει με ὑπὲρ τούτου, ἐκφωνεῖν λεληθότα τὸν τῆς Θέτιδος ἔρωτα. ¶Ξυναμπέχεις] ἐν ἑαυτῷ κρύπτεις. ¶Ἄλλου λόγου] τῷ ἑξῆς δράματι φυλάττεις τοὺς λόγους.

καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγώ,
δεσμοὺς ἀϊκεῖς καὶ δύας ἐκφυγγάνω.
Χο. Μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμᾷ γνώμᾳ κράτος
ἀντίπαλον Ζεύς, μηδ' ἐλινύσαιμι
θεοὺς ὁσίαις θοίναις ποτινισομένα
βουφόνοις, παρ' Ὠκεανοῖο πατρὸς
ἄσβεστον πόρον, μηδ' ἀλίτοιμι λόγοις.
ἀλλά μοι τόδε μένοι, καὶ μήποτ' ἐκτακείη.
ἡδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον
ἐλπίσι, φαναῖς θυμὸν ἀλδαίνουσαν
ἐν εὐφροσύναις. Φρίσσω δέ σε δερκομένα
μυρίοις μόχθοις διακναιόμενον.
Ζῆνα γὰρ οὐ τρομέων, ἰδίᾳ γνώμῃ σέβῃ
θνατοὺς ἄγαν Προμηθεῦ. Φέρ' ὅπως ἄχαρις
χάρις, ὦ φίλος, εἰπὲ ποῦ τις ἀλκά,
τίς ἐφαμερίων ἄρηξις· οὐδ' ἐδέρχθης
ὀλιγοδρανίαν ἄκικυν, ἰσόνειρον,

¶Μηδάμ' ὁ πάντα νέμων] ὁ πάντα κρατῶν, φησί, καὶ διοικῶν Ζεὺς μηδέ ποτε ἀντίπαλον κράτος, οἱονεὶ ἐχθρόν, ποιήσοιτο τῇ ἐμῇ γνώμῃ, ἤγουν, μηδέ ποτε ἐναντίος μοι γένοιτο. μηδὲ βραδύναιμι προσελθεῖν πρὸς θεοὺς ἱεραῖς θοίναις, ἢ θυσίαις βουφόνοις, ταῖς μεγάλους ποιούσαις φόνους, καὶ σφαγὰς τῶν ἱερείων. ἤτοι, μηδέποτε παυσαίμην τοῦ τιμᾶν τοὺς θεούς, καὶ θυσίας τούτοις προσφέρειν, παρὰ τὸν τοῦ Ὠκεανοῦ πόρον, μηδὲ διὰ λόγων εἰς αὐτούς ποτε τοὺς θεοὺς ἁμαρτήσαιμι. ἀλλά μοι τόδε, τοῦτ' ἔστι τὸ τιμᾶν αὐτούς, εἴη διὰ παντός, καὶ μήποτ' ἐκτακείη, τοῦτ' ἔστι, μηδέποτε πληρωθείη. ἐκ μεταφορᾶς τοῦ κηροῦ. τὸ γὰρ τήκεσθαι, ἐπὶ τοῦ κηροῦ καὶ τῆς χιόνος κυρίως λέγεται. ¶Ἡδύ τι θαρσαλέαις τὸν] εὐφραντὸν τὸ ἐλπίσι θαρραλέαις τὸν μακρὸν τείνειν βίον, ἐν εὐφροσύναις φανεραῖς τρέφουσαν τὴν ψυχὴν ἡμῶν. Ἄλλως. καλὸν τὸ ἀπὸ ἀγαθοῦ συνειδότος ἀγαθὸν ἐλπίζειν πείσεσθαι ὑπὸ τῶν θεῶν. ¶Φρίσσω δέ σε] δειλιῶ καὶ τρέμω, βλέπουσά σε διακοπτόμενον μυρίοις πόνοις. τὸν Δία γὰρ οὐ φοβούμενος, ἐν ἰδίᾳ γνώμῃ καὶ αὐθαιρέτως ἄγαν ὑπερβολικῶς σέβῃ καὶ τιμᾷς τοὺς ἀνθρώπους, ἄγαν φιλάνθρωπος εἶ. ¶Φέρ' ὅπως ἄχαρις] φέρε σκόπησον ὅτι ἡ χάρις ἣν ἐχαρίσω τοῖς ἀνθρώποις, ἄχαρις ἦν, καὶ ἀμείψασθαί σε μὴ δυναμένη. πῶς γὰρ θεῷ βοηθήσει ἄνθρωπος; ¶Οὐδ' ἐδέρχθης] οὐδὲ προσεσκόπησας ἀσθενέσι χαριζόμενος. ¶Ἰσόνειρον] ὅτι σκιαῖς ὀνείρων οἱ ἄνθρωποι παρεμφερεῖς, κατὰ τὸν Πίνδαρον.

ἀπὸ φωτῶν ἀλαὸν γένος ἐμπεποδισμένον·
οὔποτε τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι
βουλαί. ἔμαθον τάδε, σὰς προσιδοῦσ' ὀλοὰς
τύχας Προμηθεῦ. τὸ διαμφίδιον δέ μοι μέλος
προσέπτα τόδ', ἐκεῖνό θ' ὅ,τ' ἀμφὶ λουτρά
τε καὶ λέχος σὸν ὑμεναίουν ἰότητι γάμων,
ὅτε τὰν ὁμοπάτριον ἕδνοις ἄγαγες Ἡσιόναν
πιθὼν δάμαρτα κοινόλεκτρον.
Ἰω. Τίς γῆ, τί γένος, τίνα φῶ λεύσσειν
τόνδε χαλινοῖς ἐν πετρίνοισι *
χειμαζόμενον; τίνος ἀμπλακίης ποιναῖς ὀλέκῃ;
σήμηνον ὅποι γῆς ἡ μογερὰ πεπλάνημαι.

¶Ἀλαὸν γένος] ἀπρονόητον τοῦ μέλλοντος. ¶Οὔποτε τὰν Διὸς] ὑψηλῶς καὶ τραγικῶς τὸ τῆς εἱμαρμένης ὄνομα, Διὸς ἁρμονίαν εἶπε, ἀντὶ τοῦ τὴν εἱμαρμένην. φησὶ δὲ ὅτι οὔποτε αἱ τῶν ἀνθρώπων βουλαὶ διαφεύγουσι τὴν μοῖραν, ἀλλ' ὃ αἱ μοῖραι βούλονται, τοῦτο καὶ ποιοῦσιν. ἔμαθον ταῦτα οὕτως, καὶ τὰς σὰς ὀλεθρίας ἰδοῦσα τύχας, ὦ Προμηθεῦ. ¶Τὸ διαμφίδιον δέ μοι μέλος] τοῦτό φησιν, ὅτι ἐπῆλθέ μοι καὶ ἐπηλθέ μοι τὸ διαφορὸν μέλος, τοῦτο ὃ νῦν θρηνῶ ἐπὶ τοῖς σοῖς πάθεσι, καὶ ἐκεῖνο ὅπερ ᾖδον περὶ τὸν καιρὸν τοῦ σοῦ γάμου, ὅτε τὴν Ἡσιόνην πρὸς γάμον ἤγαγες. οὐ γὰρ μόνον κατὰ σέ μοι ἡ ἡδονὴ ἐκείνη κατέστησεν, ἀλλ' ἔχει ἐν ταυτῷ καὶ τὸ λυπηρόν. τοῦτ' ἔστιν, ὁμοῦ προσεπῆλθέ μοι καὶ ἡ ἡδονὴ καὶ ἡ θλῖψις διά σε. Ἄλλως. τὸ διαμφίδιον, διὰ παντὸς κεχωρισμένον, ἐναντίον τοῖς νῦν. τότε γὰρ γαμοῦντί σοι τὸν ὑμέναιον ᾔδομεν, νῦν δὲ δυστυχοῦντί σοι θρηνοῦμεν. ¶Ἰότητι γάμων] πορείᾳ, ἤγουν ἐν συνόδῳ γάμων, περὶ τὸ ἰέναι πρὸς συνουσίαν. ¶Πιθὼν δάμαρτα] ἕδνοις πιθὼν τὴν ἰσοθέαν σοι δάμαρτα κοινόλεκτρον. ἢ τὴν κοινόλεκτρον τοῦ Ὠκεανοῦ Τηθὺν πείσας. ¶Τίς γῆ, τί γένος] τὸ τῆς Ἰοῦς ἐπεισόδιον μονῳδεῖ μέν, ἔχει δὲ πρὸς ὑποκείμενον συνάψαι, ὅτι μαντεύεται αὐτῇ Προμηθεὺς τὰ μέλλοντα γενέσθαι. ὥσπερ ἀπ' αὐτῆς ἔσται τρισκαιδέκατος κατὰ γενεάν, ὃς αὐτὸν ὕστερον τῷ χρόνῳ ποτὲ ἐπαμυνεῖ. ἄλλως τε αὐτὴ ὑπὸ Διὸς φησὶν ἀδικεῖσθαι, καὶ διὰ τοῦτο παραμυθεῖται τὸν Προμηθέα. λέγει δὲ περὶ τοῦ Ἡρακλέους. οὗτος γὰρ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν. φασὶ δὲ ὅτι ἡ Ἰὼ ἡ τοῦ Ἰνάχου θυγάτηρ ἐρασθεῖσα παρὰ Διός, ἐπεὶ τοῦτο ἔγνω ἡ Ἥρα καὶ ἔμελλε καταλαμβάνεσθαι παρ' αὐτῆς, μετεβλήθη παρὰ τοῦ Διὸς εἰς βοῦν, ἵνα μὴ γνωσθῇ τίς εἴη. ἡ Ἥρα δὲ προσελθοῦσα τῷ Διΐ, ἐζήτησε ταύτην, καὶ ἔλαβε δῶρον παρ' αὐτοῦ· καὶ ἔδωκεν Ἄργῳ τῷ πανόπτῃ φυλάττειν αὐτήν. ὁ δὲ Ζεὺς πάλιν ἐρασθεὶς αὐτῆς ἔπεμψε τὸν Ἑρμῆν, ἀφελέσθαι ταύτην τοῦ Ἄργου καὶ διακομίσαι πρὸς αὐτόν· καὶ ἐπεὶ ἄλλως λαθεῖν Ἄργον τὸν πανόπτην οὐκ ἦν, διὰ βολῆς λιθίας τοῦτον ἀνῄρηκεν. οὗ τὸ φάσμα ἡ Ἥρα τῇ Ἰοῖ, καὶ μετὰ τὸν αὐτοῦ θάνατον, παρέδωκεν ἐπὶ τῷ μάλιστα ἐκφοβεῖν αὐτήν. ἡ δὲ πολλὰ πλανηθεῖσα καὶ εἰς διαφόρους τόπους, τὸ τελευταῖον ἀπῆρε καὶ πρὸς τὸν Καύκασον, εὑροῦσα τὸν Προμηθέα. ¶Πετρίνοισι] τοῖς ὀρεινοῖς.

ἆ ἆ, ἔα ἔα·
χρίει τίς αὖ με τὰν τάλαιναν οἶστρος,
εἴδωλον Ἄργου γηγενοῦς, ἄλευ ὦ δᾶ,
φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν.
ὁ δὲ πορεύεται δόλιον ὄμμ᾽ ἔχων,
ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει.
ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν
κυνηγετεῖ, πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν
ψάμμον, ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ
ἀχέτας ὑπνοδόταν νόμον. ἰὼ ἰώ, ποῖ ποῖ,
πῶ πῶ πῶ· πῆ μ᾽ ἄγουσι τηλέπλαγκτοι πλάναι.
τί ποτέ μ᾽ ὦ Κρόνιε παῖ, τί ποτε,
τί ποτε ταῖσδ᾽ ἐνέζευξας εὑρὼν
ἁμαρτοῦσαν, ἐν πημοναῖσιν; ἒ ἕ.
οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
παράκοπον ὧδε τείρεις;
πυρί φλέξον, ἢ χθονὶ κάλυψον, ἢ

¶Χρίει τίς] κεντεῖ, κεντᾷ με τὶς τὴν ἀθλίαν οἶστρος. τοῦτο δὲ ἐστὶ παρεδηλῶν καὶ δηλοῦσαν τὸ χρίει τὶς αὖ με. αὐτὴ γὰρ ἐμμανὴς οὖσα ὑπὸ τοῦ οἴστρου, φαντάζεται. ¶Εἴδωλον Ἄργου] τινὲς οὕτω φασίν, ἀλεῦ ἀντὶ τοῦ ἀναχώρει, καὶ ἔκκλινε. τοῦτο γὰρ δηλοῖ τὸ ἄλευε. τὸ δὲ ὦ δᾶ, ἀντὶ τοῦ ὦ γῆ, δωρικῶς. οἱ γὰρ δωριεῖς τὴν γῆν δᾶν φασί, καὶ τὸν γνόφον δνόφον. ἄλλοι δὲ γράφουσιν ἀλευάδα, πατρωνυμικὸν ἀπὸ τῆς ἀλεύας ἀθείας. ἤτοι φοβοῦμαι τὸ εἴδωλον Ἄργου τοῦ Ἀλευάδα καὶ τοῦ υἱοῦ τοῦ Ἀλεύα. ὁ γὰρ Ἀλεύας, πατὴρ ἦν τοῦ πανόπτου. ἤ, ὃν δεῖ φυλάξασθαι καὶ ἐκκλῖναι. φαντάζεται γὰρ αὐτὸν καὶ μετὰ θάνατον φοβουμένη. ¶Τὸν μυριωπὸν] πολυόφθαλμον. πολλοὺς γὰρ ὀφθαλμοὺς εἶχεν ὁ Ἄργος, ὡς μυθεύεται· ὅθεν καὶ πανόπτης ἐλέγετο. βούταν δὲ αὐτὸν καλεῖ ἤτοι βουκόλον, διὰ τὸ αὐτῆς τῆς Ἰοῦς ἐπιστατεῖν μεταβληθείσης εἰς βοῦν. ¶Ὃν οὐδὲ κατθανόντα] ὅντινα τὸν Ἄργον οὐδὲ θανόντα ᾅδης κατέχει, ἀλλ᾽ ἐκ τῶν νεκρῶν ἀνερχόμενος, ἐμὲ τὴν ἀθλίαν ὄπισθεν καταδιώκει, καὶ ποιεῖ πλανᾶσθαι νῆστιν. ¶Ὑπὸ δὲ κηρόπλαστος] ἀλλ᾽ ἵνα ἐμοί, διὰ τὸ νυστάζειν. ¶Ὀτοβεῖ] ἠχεῖ. ¶Δόναξ] ἡ σύριγξ. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα αὐτὸν εἰσάγει. εἰπὼν δὲ αὐτὸν βούταν, ἐνέμεινε τῇ βοτῇ· αὐλοῦσι γὰρ ἑπόμενοι τοῖς ποιμνίοις οἱ βουκόλοι. ¶Ὑπνοδόταν νόμον] ἔπειτα, φησί, καὶ ἡ σύριγξ ἠχεῖ. τοῦτο γὰρ δηλοῖ τὸ δόναξ. τὸ δὲ ἀχέτας, ἀντὶ τοῦ πολυήχητος. ὅς πρὸς ἐπιτήδειον ἐστὶν αὐλικὸς τοῖς ποιμέσι διὰ τὴν τῶν ποιμνίων εἰσαγωγήν. ¶Εὑρὼν ἁμαρτοῦσαν] παρὰ τὸ Ὡς εἴπῃ κακὸν ῥέζουσαν ἐνωπῇ. οὐ δι᾽ ἀκοῆς τι μαθὼν φαῦλον περὶ ἐμοῦ. ¶Παράκοπον] παρακεκομμένην μέρος τοῦ νοῦ.

ποντίοις δάκεσι δὸς βοράν, μηδέ μοι
φθονήσῃς εὐγμάτων ἄναξ.
ἄδδην με πολύπλαγκτοι πλάναι
γεγυμνάκασιν, οὐδ' ἔχω μαθεῖν ὅπῃ
πημονὰς ἀλύξω.
Χο. Κλύεις φθέγμα τᾶς βούκερω παρθένου;
Πρ. Πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης
τῆς Ἰναχείας; ἣ Διὸς θάλπει κέαρ
ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται.
Ἰώ. Πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις,
εἰπέ μοι τᾷ μογερᾷ τίς ὤν, τίς ἄρα μ' ὦ τάλας
τὰν ταλαίπωρον ὧδ' ἔτυμα προσθροεῖς·
θεόσυτον δὲ νόσον ὠνόμασας,
ἃ μαραίνει με χρίουσα
κέντροισι φοιταλέοισιν, ἒ ἔ·
σκιρτημάτων δὲ νήστισιν αἰκίαις
λαβρόσυτος ἦλθον,
ἐπικότοισι μήδεσι δαμεῖσα.
δυσδαιμόνων δὲ τίνες οἳ, ἒ ἔ, οἷ' ἐγὼ, μογοῦσιν;
ἀλλά μοι τορῶς τέκμηρον,
ὅ,τι μ' ἐπαμμένει παθεῖν,

¶Τῆς Ἰναχείας] διὰ τὸ τὸν πατέρα αὐτῆς ὀνομάσαι, ἀνέφηνεν ἑαυτὸν μάντιν. ὡς καὶ παρ' Ὁμήρῳ ὁ Τειρεσίας, Νόστον δίζηαι μελιηδέα φαίδιμ' Ἀχιλλεῦ. ¶Εἰπέ μοι τᾷ μογερᾷ] εἰπέ μοι τῇ ἀθλίᾳ, τίς ὢν σὺ οὕτως ἀληθῶς προσφωνεῖς καὶ ὀνομάζεις ἐμέ, πόθεν ἐκ θεοῦ τι τῆς ἥρας ἐπελθοῦσάν μοι νόσον εἴρηκας; λέγει δὲ τὸν τῆς πλάνης οἶστρον. ἥτις μαραίνει καὶ καίει με κέντροις καὶ βέλεσι φοιταλέοις, τοῖς ποιοῦσιν ἐμὲ ἀπανταχοῦ πορεύεσθαι πλανωμένην. ¶Σκιρτημάτων δὲ νήστισιν αἰκίαις] ἐν μάστιξι δὲ σκιρτημάτων, τῶν ἀπὸ τοῦ οἴστρου κινήσεων καὶ πλανῶν, νήστισιν ἤγουν ποιούσαις ἐμὲ ἄσιτον, παρεγενόμην λαβρόσυτος καὶ ταχεῖα καὶ ἄγαν ὁρμητική, δαμασθεῖσα μήδεσι καὶ βουλεύμασι τῆς ἥρας ἐπικότοις καὶ ὀργίλοις, καὶ μανικοῖς. γράφεται δὲ καὶ νήστισιν διὰ τοῦ τ, ἤγουν ποιούσαις ἐμὲ πλανᾶσθαι τῇδε κἀκεῖσε, ἀπὸ τοῦ νη στερητικοῦ μορίου, καὶ τοῦ στῶ. ¶Δυσδαιμόνων] τίνες ὅλως τῶν δυσδαιμόνων τοιαῦτα μογοῦσιν οἷα ἐγώ;

τί * μὴ χρὴ τί φάρμακον νόσου,
δεῖξον, εἴπερ οἶσθα, θρόει,
φράζε τᾷ δυσπλάνῳ παρθένῳ.
πρ. Λέξω τορῶς σοι πᾶν, ὅ,τι χρῄζεις μαθεῖν,
(οὐκ ἐμπλέκων αἰνίγματ᾽, ἀλλ᾽ ἁπλῷ λόγῳ,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα)
πυρὸς βροτοῖς δοτῆρ᾽ ὁρᾷς Προμηθέα.
ἰώ. Ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
πρ. Ἄρμοι πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.
ἰώ. Οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;
πρ. Λέγ᾽ ἥντιν᾽ αἰτῇ· πᾶν γὰρ ἐκπύθοιό μου.
ἰώ. Σήμηνον ὅστις ἐν φάραγγί σ᾽ ὤχμασε.
πρ. Βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.
ἰώ. Ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;
πρ. Τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον.
ἰώ. Καὶ πρός γε τούτοις, τέρμα τῆς ἐμῆς πλάνης
δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.
πρ. Τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.

¶Λέξω τορῶς σοι] φανερῶς καὶ διαδήλως ἐρῶ σοι, οὐκ ἐμπλέκων λόγους ψευδεῖς τῷ πιθανῷ ὥς τι τοιοῦτος δοκεῖν ἀληθεύειν. ¶Οὐκ ἐμπλέκων αἰνίγματα] οἱ γὰρ παλαιοὶ τὰ ποιήματα αὐτῶν πρότερον μὲν αἰνίγμασι γεγράφασιν, ὕστερον δὲ καθόλου φανεροῖς ἐχρῶντο τοῖς λόγοις. ¶Ὦ κοινὸν ὠφέλημα] ὦ κοινὴ ὠφέλεια γεγονὼς ὅλου τοῦ γένους τῶν ἀνθρώπων, ἄθλιε Προμηθεῦ, ὑπὲρ ποίου ἁμαρτήματος ἀνταποδίδωσι ταύτην τὴν τιμωρίαν; τίνος ἕνεκα τιμωρῇ; ¶Ἄρμοι πέπαυμαι] νεωστί, ἀπὸ μεταφορᾶς τῶν ἁρμάτων τῶν συντιθεμένων καὶ ἁρμοζομένων νέον. ¶Οὔκουν πόροις ἂν] τί οὐ παρέχεις ἐμοί, φησί, ταύτην τὴν δωρεάν, ἤτοι τὸ ἀναδεῖξαί μοι τίς ὁ δεσμεύσας σε ἐν τῷ Καυκάσῳ; τὸ δὲ δωρεάν, ἐπὶ συμφορᾶς λαμβάνεται), καὶ ἐπὶ κακοῦ. ὡς καὶ Ἀρχίλοχος, Κρύπτωμεν ἀνιηρὰ Ποσειδάωνος ἄνακτος δῶρα. ¶Ὤχμασε] ἐποίησεν ἀναβαστάχθῆναι. ὀχμὸν λέγεται τὸ μέσον ἐχόμενον, ἢ παρὰ τὸ ἔχειν ὄχμα, καὶ ὄχμα κατὰ συγκοπήν. ¶Βούλευμα μὲν τὸ Δῖον] φησὶν ὅτι τὸ Δῖον βούλευμα, ἤτοι ἡ βουλὴ μὲν τοῦ Διός, τῶν δεσμῶν ἐπιβουλεύσατό μοι, ἡ χεὶρ δὲ τοῦ Ἡφαίστου ὑπουργήσασα αὐτῷ καὶ πρὸς τὴν ἐμὴν δέσιν, προσπασσαλεῦσαι ὁμοῦ μοῖραν θανατηφόρον καὶ κῆρα. ¶Τοσοῦτον ἀρκῶ] διὰ τὸ μὴ ταυτολογῆσαι. ¶Τὸ μὴ μαθεῖν] Ἐπικούρειον ἐστὶ δόγμα, ἀναιρεῖν τὴν μαντικήν. εἱμαρμένης γάρ, φησί, πάντα κρατούσης, πρὸ καιροῦ λελύπηκας, εἰπὼν τὴν συμφοράν, τὸ χρηστὸν δὲ τῆς ἐλπίδος ἐξέλυσας. λέγουσι δὲ καὶ ὅτι ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται).

ἰώ. Μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.
πρ. Ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.
ἰώ. Τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;
πρ. Φθόνος μὲν οὐδεὶς, σὰς δ' ὀκνῶ θράξαι φρένας.
ἰώ. Μή μου προκήδου, μᾶσσον ὡς ἐμοὶ γλυκύ.
πρ. Ἐπεὶ προθυμῇ, χρὴ λέγειν· ἄκουε δή.
χο. Μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε.
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.
πρ. Σὸν ἔργον Ἰοῖ ταῖσδ' ὑπουργῆσαι χάριν,
ἄλλωστε πάντως καὶ κασιγνήταις πατρός.
ὡς ἀποκλαῦσαι κἀποδύρεσθαι τύχας
ἐνταῦθ', ὅπη μέλλει τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
ἰώ. Οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρὴ,
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε,

¶Θράξαι] ταράξαι. ¶Γλυκύ] τὸ ἀκούειν. ¶Μήπω γε] ὁ χορὸς λέγει, μήπω εἴπῃς τὰ τῆς Ἰοῦς, ἀλλὰ δὸς κἀμοὶ μοῖραν ἡδονῆς ἔχειν, τοῦ ἀκοῦσαι τῶν ταύτης παθῶν. ἀπ' αὐτῆς δὲ πρότερον λεγούσης τὰς πολυφθόρους ἑαυτῆς τύχας, μάθωμεν καὶ ἀκούσωμεν τὴν αὐτῆς νόσον· τὰ ἐπίλοιπα δὲ τῶν ἄθλων καὶ τῶν πόνων, ὧν μέλλεις ἔτι παθεῖν, διδαχθήτω παρὰ σοῦ. τοῦτο δὲ λέγει, ἅμα καὶ σαφηνίζων τῷ ἀκροατῇ τὰ πράγματα διὰ τῆς τῆς Ἰοῦς, καὶ Προμηθέα παραμυθούμενος, ὅπως ἐν τῷ μεταξὺ τὰ τῆς Ἰοῦς ῥηθείη, εἶτα πάλιν τὰ παρ' αὐτοῦ, καὶ ἡ ἐξαλλαγὴ τῆς τάξεως νεαροποιήσῃ τοὺς ἀκούοντας. ¶Καὶ κασιγνήταις πατρὸς] εἰκότως φησὶ τὸν Ἴναχον ποταμὸν ἀδελφὸν εἶναι τῶν Ὠκεανίδων, ἐπειδή φασι τὸν Ὠκεανὸν πατέρα εἶναι πάσης ὑγρᾶς οὐσίας. ¶Ὡς ἀποκλαῦσαι] τοῦτο τοιοῦτό ἐστιν, ὅπη πᾶς ὃς μέλλει οἴσεσθαι δάκρυ, καὶ οἰκτειρηθῆναι παρὰ τῶν ἀκουόντων, ἀξίαν τριβὴν καὶ ἐπιμονὴν τῆς διηγήσεως ἔχει ἐκεῖ. ἡ σύνταξις, ἐνταῦθα ὅπου μέλλει τις οἰκτειρηθῆναι παρὰ τῶν ἀκουόντων, ἤγουν, ὅπου εἰσὶν ἀκροαταὶ συμπαθεῖς, ἀξίαν καὶ πρέπουσαν χρείαν ἔχει ἀποκλαῦσαι τε θρηνῆσαι τὰς οἰκείας τύχας. ¶Οὐκ οἶδ' ὅπως] ἡ Ἰώ φησι πρὸς τὸν χορὸν, οὐκ οἶδα πῶς ἀπειθήσω ὑμῖν θέλουσι μαθεῖν τὰ περὶ ἐμοῦ. ἐν λόγῳ δὲ ἀληθεῖ μαθήσεσθε ἅπαν ὅπερ θέλετε. καίτοι καὶ εἰς δάκρυα ἐμβαίνομαι, διηγουμένη τὴν ἐκ θεῶν ἐπελθοῦσάν μοι ζάλην, καὶ τὸν κλύδωνα τῶν συμφορῶν, καὶ τὴν ἀγρίωσιν τῆς ἐμῆς μορφῆς, ὅθεν μοι ἐπῆλθεν. εἶτα ἀφηγεῖται τὴν πᾶσαν ὑπόθεσιν, καὶ λέγει, ἀεὶ ὄψεις νυκτιπλαναὶ, ὄνειροι ἀναστρεφόμενοι εἰς τοὺς ἐμοὺς οἴκους, ἔλεγον ἐν λόγοις ὁμαλέσι πρὸς

ἐμὲ, ὦ μεγάλως εὐτυχὴς κόρη, τί παρθένος μένεις ἐπὶ πολὺ, δυναμένου σοι ὄντος γάμου μεγίστου τυχεῖν; ὁ γὰρ ζεὺς κατακαίεται βέλει τοῦ τοῦ ἔρωτος, καὶ θέλει συμβοηθῆσαι αὐτῷ καὶ τὴν ἀφροδίτην. σὺ δὲ μὴ ἀπορρίψῃς τὴν τοῦ διὸς συνουσίαν, ἀλλ' ἔξελθε πρὸς τὸ λέρνην ἵνα ὁ ζεὺς παυθῇ τοῦ ἔρωτος.

πεύσεσθε· καίτοι καὶ λέγουσ' ὀδύρομαι
θεόσσυτον χειμῶνα, καὶ διαφθορὰν
μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
αἰεὶ γὰρ ὄψεις ἔννυχοι πωλεύμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς, παρηγόρουν
λείοισι μύθοις· ὦ μέγ' εὔδαιμον κόρη,
τί παρθενεύῃ δαρὸν, ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται, καὶ συναίρεσθαι κύπριν
θέλει· σὺ δ' ὦ παῖ μὴ πολακτίσῃς λέχος
τὸ Ζηνὸς, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρὸς,
ὡς ἂν τὸ δῖον ὄμμα λωφήσῃ πόθου.
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
ξυνειχόμην δύστηνος, ἔστε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφοιτ' ὀνείρατα.
ὁ δ' ἔς τε Πυθὼ κἀπὶ Δωδώνην πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ

¶Λέγουσ' ὀδύρομαι] καὶ αἰσχύνομαι. ¶Ὦ μέγ' εὔδαιμον] λείπει, τάδε λέγουσαι. ¶Συναίρεσθαι κύπριν] συνκασάσαι. ¶Μὴ πολακτίσῃς] ὡς ἀπὸ τῶν ἀλόγων ζώων. ¶Ἀλλ' ἔξελθε πρὸς] παρὰ τὸ, ἀλλ' ἴομεν πλυνέουσαι. ¶Τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι] τοιούτοις ὀνείροις συνειχόμην ἡ ἀθλία κατὰ πᾶσαν νύκτα, ἕως οὗ ὑπέμεινα ταῦτα ἀναγγεῖλαι τε εἰπεῖν τῷ πατρί μου. ὁ δὲ πατήρ μου εἰς τὴν πυθὼ καὶ εἰς τὴν γῆν τῆς δωδώνης, εἰς τὰ τοῦ ἀπόλλωνος μαντεῖα ἔπεμπε πολλοὺς θεοπρόπους ἢ θεωροὺς μηνυτὰς τῶν μαντείων, ἵνα μάθῃ τί ποιήσει καὶ ἐρεῖ. καὶ ἦλθον οἱ ἀποσταλέντες παρ' ἐκείνου, ἀναγγέλλοντες μαντείας ποικίλας τε αἰνιγματώδεις τε ἀσαφεῖς. τοῦτο γὰρ δηλοῖ τὸ αἰσήμους, ἀντὶ τοῦ ἀφανεροὺς. τὸ δὲ, δυσκρίτως εἰρημένους, ἀντὶ τοῦ αἰνιγματωδῶς καὶ λοξῶς λεχθέντας. ὕστερον δὲ ἦλθε τῷ Ἰνάχῳ μαντεία φανερὰ, λέγουσα καὶ παραινοῦσα ἐκβάλλειν ἐμὲ τοῦ τε οἴκου πόρρω καὶ τῆς πατρίδος, ἀπόλυτον πλανᾶσθαι ἕως ἐσχάτου τῆς γῆς. ἐὰν δὲ οὐ θέλῃ, εἰς αὐτὸν τὸν πυρὸς ὄψιν ἔχοντα κεραυνὸν τοῦ διὸς ἐπελθεῖν, ὃς πᾶν τὸ γένος αὐτοῦ ἀφανίσει. Ἄλλως. ἀναχρησμός· ὕπω γὰρ ἦν τὸ μαντεῖον.

δρῶντ᾽ ἢ λέγοντα, δαίμοσι πράττοι φίλα.
ἧκον δ᾽ ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς, ἀσήμως δυσκρίτως τ᾽ εἰρημένους.
τέλος δ᾽ ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη,
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ,
ἄφετον ἀλᾶσθαι γῆς ἐπ᾽ ἐσχάτοις ὅροις·
κ᾽ εἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνὸν, ὃς πᾶν ἐξαϊστώσοι γένος.
τοιοῖσδε πεισθεὶς λοξίου μαντεύμασιν,
ἐξήλασέν με κἀπέκλεισε δωμάτων
ἄκουσαν ἄκων· ἀλλ᾽ ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεράστις δ᾽, ὡς ὁρᾶτ᾽, ὀξυστόμῳ
μύωπι χρισθεῖσ᾽, ἐμμανεῖ σκιρτήματι
ᾖσσον πρὸς εὔποτόν τε Κερχείας ῥέος,
Λέρνης ἄκρων τε· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ᾽ αὐτὸν αἰφνίδιος μόρος
τοῦ ζῆν ἀπεστέρησεν. οἰστρόπληξ δ᾽ ἐγὼ
μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.

¶Τοιοῖσδε πεισθεὶς] τοιαύταις μαντείαις τοῦ Ἀπόλλωνος πεισθεὶς ὁ πατήρ μου Ἴναχος ἐξεδίωξέ με ἀπὸ τῶν οἴκων ἄκουσαν ἄκων, μήτε ἐκεῖνος θέλων, μήτε ἐθέλουσα· ἀλλ᾽ ἐβίαζεν αὐτὸν κατ᾽ ἀνάγκην ταῦτα ποιεῖν ὁ τοῦ Διὸς χαλινὸς, τὸ βούλημα τοῦ Διός. τηνικαῦτα δὲ μετάμειψις καὶ ἀλλοίωσις γέγονε τῆς ἐμῆς μορφῆς· μετεβλήθην γὰρ εἰς βοῦν, καὶ αἱ φρένες διεστραμμέναι ἦσαν ἐμοί. οὐ γὰρ εἶχον ἀνθρωπίνως. ¶Κεράστις] ἤτοι κέρατα ἔχουσα, βοῦς κερασφόρος γενομένη, ὡς βλέπετε, πρωσθεῖσα μύωπι ὀξυστόμῳ, τῷ οἴστρῳ ὀξέως δάκνοντι, μανικῷ σκιρτήματι ᾖσσον, ἀντὶ τοῦ ἤϊσσον, ὥρμων καὶ ἐκινούμην, πρός τε τὸν ῥοῦν τῆς Κερχνῆς, ἥτις κρήνη ἐστὶν Ἄργους, καὶ πρὸς τὴν Λέρνην τὴν πηγήν. ¶Ἄκρατος] ὁ μηδὲν ἡμερότητος ἐν ἑαυτῷ φέρων, ἀλλ᾽ ἄκρατος ὢν τὴν ὀργὴν, ἤτοι ἀκατάπειστος, μὴ κρατούμενος. ¶Οἰστρόπληξ] οἰστρόπληξ, ὁ ὑπὸ οἴστρου πληττόμενος· καὶ βουπλὴξ, ὁ τὸν βοῦν πλήσσων.

᾽κλύοις τὰ προχθέντ᾽, εἰ δ᾽ ἔχεις εἰπεῖν ὅ, τι
λοιπὸν πόνων, σήμαινε· μηδέ μ᾽ οἰκτίσας
ξύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.
χο. Ἔα, ἔα· ἄπεχε, φεῦ·
οὔποτ᾽ οὔποτ᾽ ηὐχόμην ξένους μολεῖσθαι λόγους
ἐς ἀκοὰν ἐμάν, οὐδ᾽ ὧδε δυσθέατα
καὶ δύσοιστα πήματα, λύματα, δείματ᾽ ἀμφήκει
κέντρῳ ψύχειν ψυχὰν ἐμάν·
ἰὼ ἰώ, μοῖρα, μοῖρα,
πέφρικ᾽ εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.
πρ. Πρό γε στενάζεις, καὶ φόβου πλέα τις εἶ·
ἐπίσχες ἔστ᾽ ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.
χο. Λέγ᾽, ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκὺ
τὸ λοιπὸν ἄλγος προυξεπίστασθαι τορῶς.
πρ. Τὴν πρίν γε χρείαν ἠνύσασθ᾽ ἐμοῦ πάρα
κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ᾽ ἐχρῄζετε
τὸν ἀμφ᾽ ἑαυτῆς ἆθλον ἐξηγουμένης·
τὰ λοιπὰ νῦν ἀκούσαθ᾽, οἷα χρὴ πάθη
τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
σὺ δ᾽ Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους
θυμῷ βάλ᾽, ὡς ἂν τέρματ᾽ ἐκμάθῃς ὁδοῦ.
πρῶτον μὲν ἐνθένδ᾽ ἡλίου πρὸς ἀντολὰς

¶Κλύοις τὰ προχθέντα] ἤκουσας ἃ πέπονθα. εἰ δὲ ἔχοις τι εἰπεῖν τὸ ἐπίλοιπον τῶν ἐμῶν πόνων, λέγε μοι· μὴ δὲ οἰκτίσας, ξυνθάλπε λόγοις ψευδέσι. οἱονεί, μήμα αἰδούμενος, μὴ δ᾽ ἐλεῶν, παρηγόρει λόγοις. πρὸς τό, Μηδέ τι μ᾽ αἰδόμενος μειλίσσεο, μηδ᾽ ἐλεαίρων, ἀλλ᾽ εὖ μοι κατάλεξον. ¶Συνθέτους λόγους] τοὺς ψευδεῖς. ¶Ἄπεχε] σιώπα. ¶Πρό γε στενάζεις] ἤτοι πρὶν μάθῃς καὶ τὰ λοιπά, δυσφορεῖς καὶ περίφοβος εἶ· καρτέρησον ἕως οὗ καὶ τὰ λοιπὰ μάθῃς. ἡ δέ φησι, λέγε· τοῖς γὰρ κακῶς πάσχουσιν εὔφραντον τὸ προγινώσκειν καὶ εἴ τι ἄλγος λυπηρὸν μέλλουσι παθεῖν. ¶Τὴν πρίν γε χρείαν] ὑμεῖς μὲν οὗ ἐχρῄζετε, ἐπόχρετε, καὶ ἤδη τὸ παρ᾽ ἐμοῦ ζητούμενον ἠνύσατε. τοῦτο δὲ ἦν τὸ μαθεῖν τὰ τῆς Ἰοῦς καὶ ὅσα πέπονθεν, ἐξ αὐτῆς, καὶ μὴ παρ᾽ ἄλλου τινός. ¶Ἰνάχειον σπέρμα] ἀποστρέφει τὸν λόγον πρὸς αὐτήν. ¶Πρῶτον μὲν] ἀποφέρεται συνήθως εἰς τὸ διαγράφειν ὄρη, ποταμούς, καὶ τὰ τοιαῦτα, γνωστά, ἄγνωστα.

στρέψασα σαυτὴν, στεῖχ' ἀνηρότους γύας·
σκύθας δ' ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας
πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,
ἑκηβόλοις τόξοισιν ἐξηρτημένοι·
οἷς μὴ πελάζειν· ἀλλ' ἁλιστόνοις γύποδας
χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
οἰκοῦσι χάλυβες, οὓς φυλάξασθαί σε χρή.
ἀνήμεροι γὰρ, οὐδὲ πρόσπλαστοι ξένοις.
ἥξεις δ' ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
ὃν μὴ περάσῃς· οὐ γὰρ εὔβατος περᾶν,
πρὶν ἂν πρὸς αὐτὸν καύκασον μόλῃς, ὀρῶν
ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
κροτάφων ἀπ' αὐτῶν. ἀστρογείτονας δὲ χρὴ
κορυφὰς ὑπερβάλλουσαν, ἐς μεσημβρινὴν
βῆναι κέλευθον, ἔνθ' ἀμαζόνων στρατὸν

¶ Οἳ πλεκτὰς στέγας] ὅπερ οἱ σκύθαι ναίουσι καὶ κατοικοῦσι πλεκτὰς στέγας, πεδάρσιοι δηλονότι, ἤτοι ἀπὸ τῆς γῆς ἐπαιρόμενοι καὶ ὑψούμενοι. καὶ γὰρ ἐπάνω ἁμαξῶν (τοῦτο γὰρ δηλοῖ τὸ ἐπ' εὐκύκλοις ὄχοις) τὰς σκηνὰς ἑαυτῶν οἱ σκύθαι ποιοῦνται. ¶ Ἐξηρτημένοι] τοῖς ὤμοις δηλονότι. ¶ Οἷς μὴ πελάζειν] εἰς σκύθαις μὴ πλησίαζε, διότι ἀναιρεταὶ τῶν ξένων εἰσίν· ἀλλὰ χρίμπτουσα καὶ προσεγγίζουσα ταῖς ῥαχίαις, καὶ ταῖς θαλασσίαις πέτραις. ¶ Ἁλιστόνοις] ταῖς ὑπὸ τῆς ἁλὸς στεναζούσαις καὶ ἠχούσαις. Ἄλλως. ὑπὸ ἁλὸς στεναζομέναις. μὴ διὰ ὀρεινῶν, φησὶ, τόπων πορεύου, ἀλλὰ διὰ αἰγιαλῶν. ¶ Γύποδας] γύποδες ὄνομα ἔθνους. ἕτεροι δὲ ἀντὶ τοῦ γύποδας τὸ γῦ ποιοῦσι γε, ἤτοι τὸν τόνον καταβιβάζοντες, λέγουσιν οὕτως, ἁλιστόνοις γε πόδας χρίμπτουσα ῥαχίαισιν, ἤτοι προσπελάζουσα τοὺς πόδας ταῖς ῥαχίαις πέτραις. ἄλλοι δὲ γυμνόποδας, κατὰ γυμνοὺς πόδας, ἐξεδέξαντο, κατὰ συγκοπήν. ¶ Λαιᾶς δὲ χερὸς] ἐν τοῖς ἀριστεροῖς δὲ, φησὶ, κατοικοῦσιν οἱ τὸν σίδηρον ἐργαζόμενοι χάλυβες. ¶ Πρόσπλαστοι] προσπελαστοί. ἀδικοῦνται γὰρ οἱ ἐκεῖσε ἀφικνούμενοι. ¶ Ἥξεις δ' ὑβριστὴν] ὑβριστὴν ποταμὸν τὸν ἀράξην φησίν. ἀράξης δὲ λέγεται, παρὰ τὸ ἀράσσειν καὶ ἠχεῖν τὰ κύματα αὐτοῦ. ὧν γὰρ ὄνομα τούτῳ καὶ πρᾶξις συνᾴδουσά ἐστι. ἤτοι τοῦτο δηλοῖ τὸ οὐ ψευδώνυμον. ἤτοι οὐ μάτην λέγεται ἀράξης. ὃν μὴ περάσῃς· δύσκολος γὰρ καὶ οὐκ εὔβατός ἐστι. ¶ Πρὶν ἂν πρὸς αὐτὸν καύκασον] ἤτοι πρὸς τὸ ἕτερον μέρος τοῦ καυκάσου. ὁ γὰρ Προμηθεὺς ἐν τούτῳ μέρει καὶ ἀκρωρείᾳ τοῦ καυκάσου ἐσταυρώθη· ὁ δὲ καύκασος ὄρος ἀπέραντον. ¶ Ἔνθ' ἀμαζόνων] ὡς τὸ πρότερον τῶν ἀμαζόνων ἐν σκυθίᾳ οἰκουσῶν. ὅπου εὑρήσεις τὸ [illegible] ἤτοι τοὺς ἄνδρας μισοῦντα στρατὸν τῶν ἀμαζόνων, αἵτινες κατοικήσουσι ποτὲ τὴν θεμίσκυραν περὶ τὸν θερμώδοντα ποτα

μὸν, πόλιν, ὅπου ἐστὶν ἡ τραχεῖα τῆς θαλάττης γνάθος. ὀξεῖα σιαγὼν, διὰ τὸ τοὺς εἰς αὐτὴν πλέοντας καταναλίσκειν. γνάθος οὖν ἐστι, διότι Σαλμυδησσία θάλασσα τοιοῦτον σχῆμα ἔχει οἷον καὶ ἡ ὀδόντων γνάθος. τὸ δὲ ἐχθρόξενος καὶ μητρυιὰ νεῶν, τροπικῶς εἴρηκεν, ἐκ μεταφορᾶς τῶν μητρυιῶν τῶν κακῶς καὶ ἀπεχθῶς διακειμένων πρὸς τοὺς προγόνους αὐτῶν. οἱ γὰρ ἐκεῖσε διαπλέοντες καταποντίζονται. Ἄλλως. τὸ σχῆμα ἀναχρονισμός· τὸ γὰρ πολλοῖς χρόνοις πρότερον γενόμενον, ὡς γενησόμενον λέγει. λέγονται δὲ ἀμαζόνες ἢ ὅτι μαζοῖς καὶ ἄρτοις οὐκ ἐχρῶντο, ἢ ὅτι ἔκαιον τοὺς μαζοὺς, ἢ ὅτι οὐ δι' ὅλως εἶχον μαζοὺς, ἢ ὅτι μαζὸν οὐκ ἐθήλαζον, ἀλλὰ φορβάδων γάλα ἤσθιον, ὅσαι νεογνοί.

ἥξεις στυγάνορ', αἳ Θεμίσκυράν ποτε
κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
τραχεῖα πόντου Σαλμυδησσία γνάθος
ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν·
αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν' ἐκπερᾶν μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον,
ἤπειρον ἥξεις ἀσιάδ'. ἆρ' ὑμῖν δοκεῖ
ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς
βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
χρῄζων μιγῆναι, ταῖσδ' ἐπέρριψεν πλάνας.
πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων
μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους
εἶναι δόκει σοι μηδέπω 'ν προοιμίοις·

¶ Σαλμυδησσία γνάθος] ὡς τὸ πολέμου στόμα, διὰ τὸ πᾶν τὸ εἰς αὐτὴν ἐμπῖπτον καταναλίσκειν. ¶ Αὗταί σ' ὁδηγήσουσι] Αἱ ἀμαζόνες ὡς γυναῖκες γυναῖκας ὁδηγήσουσι. ¶ Πύλαις] εἰσόδοις. ¶ Κιμμερικὸν] τοὺς κιμμερίους οἱ πολλοὶ ἔθνος φασὶν ἀπ' ἀρχῆς περὶ τὸν ταῦρον τὸν σκυθικὸν καὶ τὴν μαιῶτιν λίμνην· οἳ ἀφανεῖς εἰσιν, ἥλιον οὐχ ὁρῶντες, ἐν σκότῳ δὲ διάγουσιν ὡς ἐν γῇ νυκτί. Ἄλλως. τὸν κιμμερικὸν βόσπορόν φησιν, ὅς ἐστιν ἀναπλήρωμα τῆς μαιώτιδος λίμνης. ¶ Σοὶ μηδέπω 'ν προοιμίοις] δῆλον ἐστὶ τοῦτο· ὃ εἶπον, ἀληθῆ λίαν νόμιζε. καὶ γὰρ οἱ σοφοὶ ἐν τοῖς λόγοις τῶν προοιμίων αὐτῶν, ἔλεγον ψευδῆ τινα· περὶ δὲ τῶν πραγμάτων γυμνῶς ἔλεγον, γυμνῇ τῇ ἀληθείᾳ ἐν τούτοις ἐχρῶντο. ἢ ὅτι οὐδὲ χώραν ταῦτα ἔχουσι προοιμίου· ἃ γὰρ εἶπον, μικρά ἐστι πρὸς τὰ δεινά. Ἄλλως. ὅσα ἤκουσας, ὡς προοίμιον ἀκούειν σε χρή. ἢ, μηδ' ὅλον τὸ προοίμιον δεῖ αὐτῶν πεπληρῶσθαι.

ἰώ. Ἰώ μοι μοι· ἒ ἒ ἒ ἔ.
πρ. Σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ· τί που
δράσεις ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;
χο. Ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;
πρ. Δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.
ἰώ. Τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,
ὅπως πέδῳ σκήψασα, τῶν πάντων πόνων
ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν,
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.
πρ. Ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή·
νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον
μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.
ἰώ. Ἦ γάρ ποτ' ἔστιν ἐκπεσεῖν ἀρχῆς Δία;
ἥδοιμ' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν·
πῶς δ' οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;

¶ Ἰώ μοι μοι] ἐπὶ τοῖς ῥηθησομένοις δυσχεραίνει ἡ Ἰώ. ¶ Σὺ δ' αὖ κέκραγας] ἀποκλαίεται ὁ Προμηθεὺς, βλέπων αὐτὴν κακῶς πάσχουσαν παρὰ τοῦ Διός. ¶ Κἀναμυχθίζῃ] ποιᾶς φωνῆς καὶ στεναγμοῦ εἶδος. ¶ Ἦ γάρ τι λοιπὸν] ὁ χορὸς ἀκούσας τοῦ Προμηθέως εἰπόντος πρὸς τὴν Ἰώ, σὺ δὲ κλαίεις ἐπὶ τούτοις οἷς ἤκουσας, τί ποιήσεις λοιπὸν ἐὰν μάθῃς καὶ ἃ μέλλεις ἔτι παθεῖν· φησὶ πρὸς αὐτὸν κατ' ἐρώτησιν, ἄρα λέξεις τι ἐπίλοιπον τῶν βλαβῶν ταύτῃ αὐτῇ τι, ἤγουν τι λυπηρὸν ἐρεῖς αὐτῇ; ὁ δὲ Προμηθεὺς ἀποκριθεὶς λέγει, δυσχείμερόν γε τὸ πέλαγος τῆς ἀτηρᾶς καὶ βλαβερᾶς δύης καὶ κακοπαθείας εἴποιμι ἄν, ἤτοι πλῆθος τῶν ἐσομένων αὐτῇ κακῶν. τὸ δὲ δυσχείμερον, πρὸς τὴν τῶν κακῶν αὐτῆς ποιότητα ἔφη. ¶ Τί δῆτ' ἐμοὶ ζῆν κέρδος] ἀκούσασα ἡ Ἰὼ τοῦ Προμηθέως εἰπόντος ἔτι καὶ ἄλλα πολλὰ κακὰ μέλλειν παθεῖν αὐτὴν, φησὶ, τία μοι ὠφέλεια τοῦ ζῆν, ἀλλ' οὐ ταχέως ἔρριψα ἐμαυτὴν ἀπὸ ταύτης τῆς τραχείας πέτρας καὶ ὑψηλῆς (ὅπου ἦν ἐσταυρωμένος ὁ Προμηθεὺς) ὡς ἂν εἰς τὴν γῆν καταπεσοῦσα καὶ φονευθεῖσα ἀπηλλάγην τῶν πολλῶν πόνων; ¶ Ἦ δυσπετῶς] ὁ Προμηθεὺς ἰδὼν τὴν Ἰὼ λυπουμένην δι' ἃ πάσχει κακά, φησὶ πρὸς αὐτὴν, δυσχερῶς ἂν τὰς ἐμὰς κακοπαθείας ἔφερες. τὸ γὰρ φέροις, ἀντὶ τοῦ ἔφερες· ἔστι δὲ ἀττικὸν, τὸ τοὺς ἀκλίνους ἐνεστῶτας ἀντὶ τῶν παρῳχημένων λαμβάνεσθαι. ἐμοὶ δὲ οὐκ ἔστι πεπρωμένον ἀποθανεῖν, οἷα θεῷ. ἔστι γὰρ τὸ θανεῖν, ἦν ἄν μοι ἡ ἀπαλλαγὴ τῶν ἀλγεινῶν· νῦν δὲ οὐκ ἔχω τὸ τέλος προκείμενον τῶν ἐμῶν κακοπαθειῶν, πρὶν ἂν ὁ Ζεὺς ἐκβληθῇ τῆς βασιλείας.

πρ. Ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα.
ἰώ. Πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;
πρ. Αὐτὸς πρὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.
ἰώ. Ποίῳ τρόπῳ σήμηνον, εἰ μή τις βλάβη.
πρ. Γαμεῖ γάμον τοιοῦτον, ᾧ ποτ' ἀσχαλᾷ.
ἰώ. Θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.
πρ. Τί δ' ὅντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τάδε.
ἰώ. Ἢ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;
πρ. Ἢ τέξεταί γε παῖδα φέρτερον πατρός.
ἰώ. Οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης;
πρ. Οὐ δῆτα, πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθῶ.
ἰώ. Τίς οὖν ὁ λύσων σ' ἐστὶν ἄκοντος Διός;
πρ. Τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεών.
ἰώ. Πῶς εἶπας; ἦ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν;
πρ. Τρίτος γε γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς.
ἰώ. Ἥδ' οὐκ ἔτ' εὐξύμβλητος ἡ χρησμῳδία.
πρ. Καὶ μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους.
ἰώ. Μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει.
πρ. Δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι.
ἰώ. Ποίοιν προδείξον, αἵρεσίν τ' ἐμοὶ δίδου.
πρ. Δίδωμ'· ἑλοῦ γὰρ ἢ πόνων τὰ λοιπά σοι

¶Ὡς τοίνυν ὄντων] ἤτοι ὡς βεβαίων καὶ ἀληθινῶν τούτων, πάρεστι μαθεῖν. ¶Κενοφρόνων] οὐκ εἰδὼς γὰρ λήψεται Θέτιν, ἥτις τέξεται τὸν ἐκβαλοῦντα αὐτὸν τῆς ἀρχῆς. ¶Εἰ μή τις βλάβη] σοί τε λέγοντι καὶ ἐμοί. ¶Θέορτον, ἢ βρότειον] ζηλοτυποῦσα ἐρωτᾷ ἡ Ἰὼ τὸν Προμηθέα, εἰ ὁ γάμος ὃν μέλλει γαμῆσαι ὁ Ζεύς, ἔσται ἤτοι θεᾶς τινος, ἢ ἀνθρώπου. εἰπέ μοι, εἰ ἔστι δυνατὸν ῥηθῆναι τοῦτο. ὁ δέ φησι πρὸς αὐτήν, τί δ' ὅντινα; ἀντὶ τοῦ, διατί ἐρωτᾷς ὅντινα καὶ ποῖον γάμον γαμήσει ὁ Ζεύς; οὐ γὰρ πρέπει λέγεσθαι τοῦτο. εἶτα πάλιν ἐρωτᾷ ἡ Ἰώ, ἆρα διὰ τῆς γυναικὸς αὐτοῦ ἐκβληθήσεται τῆς βασιλείας; ὁ δὲ Προμηθεὺς ἀξυμφανῶς φησιν, ἥτις τέξεται παῖδα κρείττονα τοῦ πατρὸς αὐτοῦ· ἐκεῖνος καταβιβάσει τῆς βασιλείας αὐτόν. θέορτον, ἀπὸ τοῦ θεοῦ κινηθέντα, ἐκ τοῦ ὄρω τὸ διεγείρω, καὶ τοῦ θεός. ¶Οὐδ' ἔστιν αὐτῷ] τουτέστι τίς ἀποδίωξις τῆς τοιαύτης τύχης, ἤτοι τοῦ μὴ συνελθεῖν τοιούτῳ γάμῳ. τίς οὖν ἐστιν ὅστις μέλλει λῦσαί σε ἀπὸ τῶν δεσμῶν, μὴ βουλομένου τοῦ Διὸς καὶ θέλοντος. ¶Εὐξύμβλητος] νοητή.

φράσω σαφῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.
Χο. Τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ' ἐμοὶ χάριν
θέσθαι θέλησον, μηδ' ἀτιμάσῃς λόγους·
καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.
Πρ. Ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.
σοὶ πρῶτον Ἰοῖ πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον,
πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς
πόντου περῶσα φλοῖσβον, ἔστ' ἂν ἐξίκῃ
πρὸς γοργόνεια πεδία Κισθήνης, ἵνα
αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι,

¶Τούτων σὺ τὴν μὲν τῇδε] ἀκούσας ὁ χορὸς τοῦ Προμηθέως εἰπόντος πρὸς τὴν Ἰώ, δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι, φησὶν ἐνταῦθα πρὸς αὐτόν, τὴν μὲν μίαν χάριν θέλησον πληρῶσαι τῇ Ἰοῖ, ἤτοι τὸ εἰπεῖν αὐτῇ τὴν λοιπὴν πλάνην ἣν ἔτι μέλλει πλανηθῆναι· ἐμοὶ δὲ τὴν ἑτέραν, ἤτοι τὸ ἀναδιδάξαι με τίς ὁ μέλλων λῦσαί σε· τοῦτο γὰρ θέλω μαθεῖν. εἶτα κοινῶς πρός τε τὸν χορὸν καὶ τὴν Ἰὼ φησὶν ὁ Προμηθεύς, ἐπεὶ θέλετε καὶ προθυμεῖσθε μαθεῖν, οὐκ ἀντιστῶ ὑμῖν εἰς τὸ εἰπεῖν καὶ σαφηνίσαι πᾶν ὅσον θέλετε μαθεῖν. καὶ πρῶτόν σοι ὦ Ἰοῖ ἐρῶ τὴν πολύστροφον πλάνην, ἥντινα ἐγγράφου σὺ ἐν ταῖς δέλτοις καὶ τοῖς βιβλίοις τῆς διανοίας σου. ¶Μνήμοσι] ταῖς μνημονευτικαῖς. ὅτι δὲ καὶ Πίνδαρός φησι, Ποθὶ φρενὸς ἁμᾶς γέγραπται. τὴν ἀκριβῆ κατάληψιν αἰνιττόμενος. ¶Ῥεῖθρον ἠπείρων ὅρον] τὸν ταναΐν ποταμόν, κατὰ τό, Εὐρώπην δ' ἀσίης ταναΐς διὰ μέσσον ὁρίζει. ¶Φλογωπάς, ἡλιοστιβεῖς] ἤγουν πρὸς τὴν ἀνατολήν, ἔνθα βαδίζει ὁ ἥλιος. ¶Πρὸς γοργόνεια πεδία] ἥτις Κισθήνη πόλις ἐστί, περὶ τὰ μέρη δὲ αὐτῆς κατοικοῦσιν αἱ Φορκίδες καὶ αἱ Γοργόνες οὕτω καλούμεναι, θυγατέρες Φόρκυνος υἱοῦ Πόντου καὶ τῆς Γῆς. καὶ αἱ μὲν Φορκίδες ἦσαν τρεῖς, ἡ Ἐνυώ, ἡ Πεφρηδώ, καὶ ἡ Δεινώ· καὶ εἶχον εἶδος κύκνων· ἦσαν δὲ καὶ μονόδοντες· εἶχον δὲ καὶ αἱ τρεῖς ὀφθαλμὸν ἕνα, καὶ ἑτέρα παρ' ἑτέρας λαμβάνουσα τὸν ὀφθαλμόν, ὅτε ἤθελεν, ἔβλεπεν. αἱ Γοργόνες ἦσαν, Ἀθενώ, ἡ Εὐρυάλεια, καὶ ἡ Μέδουσα· εἶχον δὲ καὶ αὗται ἕνα ὀφθαλμόν, ὥσπερ αἱ Φορκίδες. ἦσαν δὲ πτερωταί, καὶ τρίχας δράκοντος ἔχουσαι· ἃς εἴ τις εἶδεν ἄνθρωπος, αὐθὺς ἐτελεύτα. εἶχον δὲ καὶ συῶν μεγάλων ὀδόντας, χεῖρας χαλκᾶς, καὶ πτέρυγας αἷς ἐπέτοντο. Κισθήνη δὲ πόλις λιβύης, ἢ αἰθιοπίας. φησὶ δὲ ἐν τοῖς ἑξῆς, τοιοῦτον μέντοι λόγῳ τοῦτο ἄξιον φυλάξασθαι, δηλῶν δὲ μάθε δυσχερῆ καὶ κακίστην ὄψιν, φυλάξαι δὲ μήπως ἀπέλθῃς ἔνθα εἰσὶν οἱ ἀκραγεῖς κύνες. ἤγουν οἱ γρῦπες, οἱ ἀεὶ κράζοντες λίαν, ἢ οὐ κράζοντες. περὶ ὧν Ἡσίοδος πρῶτος ἐτερατεύσατο. φυλάξαι καὶ τὸν μουνῶπα στρατόν, ἤτοι τὸν μονόφθαλμον, τὸν

ἀριμασπῶν τὸν ἐν τοῖς ἵπποις βαίνοντα, ἤτοι τὸν πολεμικόν. οἵτινες οἰκοῦσι περὶ τὸ νᾶμα τοῦ πόρου καὶ τοῦ ῥεύματος τοῦ πλούτωνος. πλούτων δὲ ἐστὶ ποταμὸς αἰθιοπίας. οὕτως δὲ λέγεται ἀπὸ τοῦ πολλοὺς ἐκεῖσε καταρρέειν τὸν χρυσόν. τούτοις σὺ μὴ πέλαζε· εἰς μακρὰν δὲ γῆν ἐλθῇς.

τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
ἀκτῖσιν, οὔθ' ἡ νύκτερος μήνη ποτέ.
πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
δρακοντόμαλλοι γοργόνες βροτοστυγεῖς,
ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς·
τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω.
ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν·
ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
ἥξεις, κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
ναίουσι πηγαῖς, ἔνθα ποταμὸς αἰθίοψ.
τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκῃ
καταβασμόν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
ἵησι σεπτὸν νεῖλος εὔποτον ῥέος.
οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν

¶Κοινὸν ὄμμ' ἐκτημέναι] τοῦτο κατὰ διαδοχὴν εἰς χεῖρα λαμβάνουσαι, ἐφύλασσον. ¶Φρούριον] καταγγελίαν, ἣν ὀφείλεις φυλάξασθαι. ¶Κελαινὸν φῦλον] ἤτοι εἰς τὸ μέλαν γένος. λέγει τοὺς αἰθίοπας, οἵτινες κατοικοῦσι πρὸς ταῖς πηγαῖς τοῦ ἡλίου, ἔνθα ἐστὶ καὶ ὁ ποταμὸς ὁ λεγόμενος αἰθίοψ. καὶ περὶ τὰς ὄχθας καὶ τὰ χείλη τούτου τοῦ αἰθίοπος ποταμοῦ ἕρπε καὶ βάδιζε, ἕως ἂν ἐξέλθῃς τὸν καταβασμόν. ὁ δὲ καταβασμὸς, ὄρος ἐστὶν ὁρίζον καὶ διαχωρίζον λιβύην καὶ αἴγυπτον, ὅπου εἰς τὸν καταβασμὸν τοῦ ὄρους ἐκπέμπει ὁ νεῖλος γλυκὺ ῥεῦμα, τίμιον τοῖς ἐκεῖ οὖσιν, ἀπὸ τῶν ὀρῶν τῶν βυβλίνων. ἡ δὲ βύβλος πόλις ἐστὶν αἰγύπτου. ¶Βυβλίνων ὀρῶν] ἀπὸ τῆς γινομένης παρ' αὐτοῖς βύβλου ἐπλάσαντο βύβλινα ὄρη. ¶Οὗτός σ' ὁδώσει] οὗτος, φησίν, ὁ καταβασμὸς ὁδηγήσει καὶ ἄξει εἰς τὴν γῆν τὴν νειλῶτιν, ἤγουν τὴν αἰγυπτίαν, καὶ τὴν τρίγωνον. καὶ διὰ τοῦτο λέγεται τρίγωνος αὕτη, ὅτι ἐν αἰγύπτῳ ὁ νεῖλος ἐξερχόμενος κατὰ καιρὸν, τὰ τῆς αἰγύπτου πάντα

πεδία καταρδεύῃ. ἔνθα καὶ ἔστιν ἰδεῖν ἔριν πρὸς ἀλλήλους τῶν Αἰγυπτίων, φιλονεικούντων ὡς τὸ μὲν τὴν γῆν πλεῖον, τὸ δὲ ἧττον ἢ ὀλίγον καταρδεύει. ταῦτ᾽ ἄρα καὶ οἱ Αἰγύπτιοι ὅρους ταῖς αὐτῶν γαῖς ἐπιθεῖναι σπουδάζοντες, σχηματογραφοῦντες αὐτὰς ἐνεχάραξαν, τὴν μὲν τρίγωνον, ἑτέραν δὲ τετράγωνον σχηματίζοντες, ἀφ᾽ ὧν καὶ τοῖς φιλοσόφοις τὰ γραμμικὰ σχήματα ἐφευρέθησαν.

Ἰοῖ πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
τῶν δ᾽ εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε·
σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.
Χο. Εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον
ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
λέγ᾽· εἰ δὲ πάντ᾽ εἴρηκας, ἡμῖν αὖ χάριν
δὸς ἥντιν᾽ αἰτούμεσθα, μέμνησαι δέ που.
Πρ. Τὸ πᾶν πορείας ἥδε τέρμ᾽ ἀκήκοεν·
ὅπως δ᾽ ἂν εἰδῇ μὴ μάτην κλύουσά μου,
ἃ πρὶν μολεῖν δεῦρ᾽ ἐκμεμόχθηκε, φράσω,
τεκμήριον τοῦτ᾽ αὐτὸ δοὺς μύθων ἐμῶν.
ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
πρὸς αὐτὸ δ᾽ εἶμι τέρμα σῶν πλανημάτων.
ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα,
τὴν αἰπύνωτόν τ᾽ ἀμφὶ Δωδώνην, ἵνα

¶Κτίσαι] ἀντὶ τοῦ οἰκίσαι. ¶Ψελλόν τι καὶ δυσεύρετον] ἀπὸ μεταφορᾶς τῶν ψελλιζόντων παιδίων, καὶ ἄγνωστον ποιούντων τὸ ἀληθές. πάλιν ἐρώτησον, καὶ διασαφηνισθήσεταί σοι τοῦτο. ¶Εἰ μέν τι τῇδε λοιπὸν] ὁ χορός φησι πρὸς τὸν Προμηθέα, εἰ μέν τι καὶ ἕτερον μέλλεις εἰπεῖν τῇ Ἰοῖ, ἢ οὐκ ἔφθης εἰπεῖν, ἐπεὶ παρέδραμεν τὸν σὸν λογισμόν, πάλιν εἰπὲ αὐτῇ καὶ τοῦτο· εἰ δὲ πάντα εἶπες, πλήρωσον καὶ ἡμῖν τὴν χάριν ἣν ἐζητοῦμεν. μέμνησαι δέ που τίς ἐστιν αὕτη. λέγει δὲ τὸ εἰπεῖν τίς ἐστιν ὁ μέλλων λῦσαι αὐτὸν τοῦ δεσμοῦ. ¶Παρειμένον] ὃ παρῆκας. φιλανθρώπως δὲ αἱ Ὠκεανίδες ἡγοῦνται χάριν ἰδίαν τὸ ἀκοῦσαι περὶ τῆς λύσεως αὐτοῦ. ¶Τὸ πᾶν πορείας ἥδε τέρμ᾽ ἀκήκοεν] ὁ Προμηθεύς πρὸς τὸν χορόν φησιν, ἡ Ἰὼ ἀναπλήρωμα τῆς ἑαυτῆς πλάνης μεμάθηκεν. ἵνα δὲ γνῷ καὶ μάθῃ ὅτι οὐ ψευδῶς ταῦτα εἶπον αὐτῇ, φράσω καὶ διηγήσομαι καὶ ἃ ἐκακοπάθησε πρὸ τοῦ ἐλθεῖν ἐνταῦθα, δοὺς τεκμήριον καὶ σημεῖον τῶν ἐμῶν λόγων ὅτι ἀληθεῖς εἰσιν, ἔστι, τὸ εἰπεῖν τὰ προγεγονότα εἰς αὐτήν. τοὺς μὲν οὖν πολλοὺς λόγους ἐάσω, πρὸς αὐτὸ δὲ τὸ κεφάλαιον τῶν σῶν πλανημάτων πορεύομαι. ¶Ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα] ἐπεὶ γὰρ ἦλθες πρὸς τὴν γῆν τῶν Μολοσσῶν, καὶ περὶ τὴν Δωδώνην τὸ ὄρος. ¶Τὴν αἰπύνωτον] ὑψηλήν, ὅπου μαντεῖά εἰσι. Ἄλλως. τὴν ὑψηλόνωτον, ἢ τὴν τραχεῖαν. παρὰ τὸ αἶπος.

μαντεῖα θῶκός τ' ἐστὶ θεσπρωτοῦ Διός,
τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες·
ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
μέλλουσ' ἔσεσθ', εἰ τῶνδε προσσαίνει σέ τι·
ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
κέλευθον, ᾖξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις.
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
σαφῶς ἐπίστασ', ἰόνιος κληθήσεται,
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσι βροτοῖς.
σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενός,
ὡς δέρκεται, πλέον τι τοῦ πεφασμένου.
τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω,
ἐς ταυτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός,
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα,
ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.

¶Θῶκος] θρόνος τοῦ θεσπρωτοῦ Διός. ¶Προσήγοροι] αἱ προσαγορεύουσαι καὶ μαντευόμεναι δρύες, αἱ ἔμφωνοι (ἄπιστον γὰρ τέρας τὸ τὰς δρῦς ἐκπέμπειν φωνὰς) ὑφ' ὧν μαντειῶν ἐξελήθη σοι φανερῶς καὶ οὐκ αἰνιγματωδῶς, ὅτι μέλλεις γενέσθαι γυνὴ τοῦ Διός. ¶Προσσαίνει] εἰς μνήμην ἔρχεται καὶ εὐφραίνει σε, διὰ τὸ εἶναι ἀληθές. Ἄλλως. προσσαίνει, ὑπομιμνήσκει καὶ εὐφραίνει σε. χαίρει γὰρ ὀνομασθεῖσα γυνὴ τοῦ Διός. ¶Μέγαν κόλπον Ῥέας] ἀφ' οὗ κλυδωνίζῃ ἐν πλανωμένοις δρόμοις. λέγει δὲ τὸν νῦν καλούμενον ἰόνιον. πάλαι γὰρ οὗτος Ῥέας κόλπος ἐλέγετο. καὶ Ἀπολλώνιος κρονίην ἅλα τὸν ἰόνιόν φησιν. οὕτω γὰρ ἐκαλεῖτο. ¶Χρόνον δὲ τὸν μέλλοντα] ἀντὶ τοῦ ὕστερον, ὁ θαλάσσιος οὗτος κόλπος ἰόνιον πέλαγος ὀνομασθήσεται ἀπὸ σοῦ, μνημόνευμα τῆς σῆς πορείας. ¶Τοῦ πεφασμένου] τοῦ φανεροῦ. ἀντὶ τοῦ, καὶ τὰ κρυπτὰ οἶδεν ἡ ἐμὴ φρήν. ¶Ἔστιν πόλις Κάνωβος] ἀναχρονισμός. ἔστι δὲ καὶ σχῆμα διηγηματικὸν τῆς τῶν Αἰγυπτίων χθονός, οὐχὶ πάσης. ¶Προσχώματι] σημειῶσαι ὅτι προσχώματα λέγονται οἱ ἀναχωματισμοὶ καὶ εἰονεὶ ὑπερανεστηκότες τόποι. λέγεται δὲ πρόσχωμα ἐκεῖνο ἔνθα καταρρέει τὸ ὕδωρ, καὶ ἰλὺν πηλὸν ἢ ψάμμον σωρηδὸν ἐπιτίθησιν. Ἄλλως. ἐν ὑψηλῷ γάρ ἐστι προσχώματι, τῷ ὑπὸ τοῦ ποταμοῦ ἐπεσίῳ προσθήματι τοῦ χώματος. ¶Ἔμφρονα] ἀνθρωπόμορφον.

ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων
τέξεις κελαινὸν Ἔπαφον, ὃς καρπώσεται
ὅσην πλατύρροος Νεῖλος ἀρδεύει χθόνα.
πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντόπαις
πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται
θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
ἀνεψιῶν· οἱ δ' ἐπτοημένοι φρένας,
κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
ἥξουσι θηρεύσοντες οὐ θηρασίμους
γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
Πελασγία δὲ δέξεται θηλυκτόνῳ

¶Κελαινὸν] μελανότεροι γάρ εἰσιν οἱ Αἰγύπτιοι. ¶Πέμπτη δ' ἀπ' αὐτοῦ] πέμπτη δέ, φησί, γέννα ἀπὸ τοῦ Ἐπάφου πεντήκοντα παῖδας ἔχουσα, πάλιν μὴ θέλουσα παραγενήσεται εἰς τὸ Ἄργος, φεύγουσα τὸν συγγενικὸν γάμον τῶν ἀνεψιῶν. πέμπτην δὲ γενεὰν λέγει ἀπὸ τοῦ Ἐπάφου, τὰς πεντήκοντα τοῦ Δαναοῦ θυγατέρας. πρώτη γενεά, Ἔπαφος, οὗ Λιβύη. ἧς Βῆλος, οὗ Δαναός. οὗ αἱ πεντήκοντα θυγατέρες, ἃς ὁ ποιητὴς πέμπτην γενεὰν ἀπὸ τοῦ Ἐπάφου ὠνόμασεν. ἱστορεῖται δὲ ἀδελφοὺς εἶναι Αἴγυπτον καὶ Δαναόν, παῖδας δὲ Ἀγχινόης καὶ Βήλου, υἱοῦ Ποσειδῶνος καὶ Λιβύης· ἀφ' ἧς καὶ ἡ χώρα Λιβύη ὠνόμασται. ὁ δὲ Βῆλος τὸν μὲν ἕνα παῖδα αὐτοῦ Δαναὸν ἐν Αἰγύπτῳ κατῴκισεν, τὸν δὲ ἕτερον, ἤγουν τὸν Αἴγυπτον, ἐν Ἀραβίᾳ· ὅστις τοὺς Μελάμποδας χειρωσάμενος, ἀφ' ἑαυτοῦ τὴν χώραν αὐτῶν ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν πεντήκοντα παῖδες, Δαναῷ δὲ θυγατέρες πεντήκοντα. ἐπεὶ δὲ μέσον αὐτῶν φιλονεικία ἐγένετο, ἑκάστου τῆς ἀρχῆς ὅλον ἐφελκοντος πρὸς ἑαυτόν, φοβηθεὶς ὁ Δαναὸς μήπως ἀναιρεθήσεται ὑπὸ τῶν υἱῶν Αἰγύπτου (ἦν γὰρ χρησμὸς αὐτῷ δοθεὶς πάλαι περὶ τούτου) ναῦν κατεσκεύασε τὴν κληθεῖσαν πεντηκόντορον ὡς ἀπὸ τοῦ ἀριθμοῦ ὧν ἐγέννησε θυγατέρων· ἣ τὰς οἰκείας κόρας ἐνθέμενος, εἰς τὸ Ἄργος ἀπῄει, φυγὼν τὸν ἀδελφὸν αὐτοῦ Αἴγυπτον· ὅς, ὡς εἴπομεν ἄνωθεν, εἶχεν υἱοὺς πεντήκοντα, οἳ τὰς τοῦ Δαναοῦ θυγατέρας ἐζήτουν ἐπὶ τῷ συνοικῆσαι αὐταῖς. καὶ τὸ μὲν ἀληθὲς τῆς ἱστορίας οὕτως ἔχει. ὁ δὲ παρὼν ποιητής φησι, διὰ τοῦτο ἐλεύσεται εἰς τὸ Ἄργος ἡ θηλύσπορος γέννα, ἡ πέμπτη ἀπὸ Ἐπάφου, ἤγουν αἱ πεντήκοντα θυγατέρες τοῦ Δαναοῦ, διὰ τὸ μὴ θέλειν συνελθεῖν εἰς γάμον τοῖς ἐξαδέλφοις αὐτῶν. ὕστερον οὖν ὕστερον συνισταμένων τῶν τε Δαναοῦ καὶ τοῦ Αἰγύπτου, ἔδωκεν ὁ Δαναὸς τὰς οἰκείας θυγατέρας εἰς γάμον τοῖς υἱοῖς Αἰγύπτου· ἐπεὶ δὲ ἐφοβεῖτο, κατὰ τὸν χρησμὸν ὅτι ἀναιρεθήσεται ὑπὸ ἑνὸς ἐκείνων, παρήγγειλε ταῖς θυγατράσιν αὐτοῦ ἀνελεῖν νυκτὸς τοὺς νυμφίους. καὶ αἱ μὲν ἄλλαι πᾶσαι οὕτως ἐποίησαν, μία δὲ θελχθεῖσα ὑπὸ τοῦ ἔρωτος, οὐκ ἀνεῖλε τὸν ἑαυτῆς νυμφίον, ἀλλ' εἴασε ζῆν· περὶ ἧς καὶ ὁ ποιητής φησι. ¶Κίρκοι πελειῶν] πελείας τὰς νύμφας, ἤτοι τὰς τοῦ Δαναοῦ θυγατέρας (ἀφροδισιαστικὸν γὰρ τὸ ὄρνεον τοῦτο ἡ περιστερά) κίρκους δέ, ἤτοι ἀετούς, τοὺς νυμφίους, ἤγουν τοὺς υἱοὺς τοῦ Αἰγύπτου, διὰ τὸ ἁρπακτικόν, λέγει. ¶Φθόνον δὲ σωμάτων] αὐτοῖς σώμασι τιμωρηθήσονται θεῶν νεμεσησάντων αὐτοῖς.

ἄρσει δαμέντων, νυκτιφρουρήτῳ θράσει.
γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος.
(τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις)
μίαν δὲ παίδων ἵμερος θέλξει, τὸ μὴ
κτεῖναι ξύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
γνώμην· δυεῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον, ἢ μιαιφόνος.
αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος.
μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς.
σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
τόξοισι κλεινός, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις.
ὅπως δὲ χ' ὥπῃ, ταῦτα δεῖ μακροῦ λόγου
εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα, κερδανεῖς.
Ἰώ. Ἐλελελελελεῦ,
ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς
μανίαι θάλπουσ', οἴστρου δ' ἄρδις
χρίει μ' ἄπυρος·
καρδία δὲ φόβῳ φρένα λακτίζει.

¶Νυκτιφρουρήτῳ] τῷ νυκτὸς ἐπιτηρήσαντι· νυκτὸς γὰρ ἀνεῖλον αὐτούς. ¶Τοιάδ' ἐπ' ἐχθροὺς] ἡ Ἀφροδίτη ἐπιστάτις τῶν ἀφροδισίων ἐστίν· αὕτη γὰρ γάμων ἔφορος, ἐνδείας τὰς συνουσίας ποιοῦσα. νῦν δὲ λέγει ὁ Προμηθεὺς ὅτι αἰτία θανάτου γένοιτο Ἀφροδίτη τοῖς ἐμοῖς ἐχθροῖς, ἤγουν τοῖς τοῦ Αἰγύπτου υἱοῖς. ἐχθροὺς δὲ καλεῖ αὐτούς, ὡς κατηγορημένους ὑπὸ τοῦ Διός. ¶Βασιλικὸν] τὸν Ἄβαντα. ¶Ὅπως δὲ χ' ὥπῃ] ὅπως δὲ ἔχω τύχης καὶ δι' ἣν αἰτίαν λυθήσομαι, μακροῦ καὶ πολλοῦ λόγου ἂν τοῦτο εἴη. ¶Ἐλελελελελεῦ] θρηνῶδες ἐπίφθεγμα. ¶Σφάκελος] σπασμὸς τοῦ ἐγκεφάλου. ¶Οἴστρου δ' ἄρδις] ἡ ἀκμὴ τοῦ πάθους. ¶Ἄπυρος] πολύπυρος, διὰ τὸ σφοδρὸν καὶ πολὺ τοῦ πάθους. ἤ, ἄπυρος, δίκην πυρὸς ἐμπιπρῶσα καὶ κατακαίουσα, καίτοι μὴ ἔχουσα πῦρ. ¶Καρδία δὲ φόβῳ] ἀντὶ τοῦ, παράφρων γίνεται ὑπὸ τοῦ φόβου, ἡ καρδία μου διαπαλτὸς ἐκ τοῦ φόβου λακτίζει, σφύζει καὶ πάλλεται τὴν φρένα μου· περὶ γὰρ τὴν καρδίαν αἱ φρένες εἰσί. ποιεῖς δὲ λακτίζει φρένα, φασὶν ἀντὶ τοῦ ποιεῖ παραφρονεῖν ὑπὸ τοῦ πάθους.

Τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι, λύσσης
πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
θολεροὶ δὲ λόγοι παίουσ' εἰκῆ
στυγνῆς πρὸς κύμασιν ἄτης.
Χο. Ἦ σοφὸς, ἦ σοφὸς ἦν,
ὃς πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε
καὶ γλώσσᾳ διεμυθολόγησεν,
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν, ☜
ἀριστεύει μακρῷ· καὶ μήτε τῶν πλούτῳ ☜
διαθρυπτομένων, μήτε τῶν ☜
γέννᾳ μεγαλυνομένων ὄντα χερνήταν ☜
ἐραστεῦσαι γάμων. ☜
μήποτε μήποτέ μ' ὦ μοῖραι

¶Τροχοδινεῖται] οὐκ εἰμὶ ἐν τῷ καθεστῶτι. ¶Ἔξω δὲ δρόμου] τῆς ὀρθῆς ὁδοῦ. ¶Γλώσσης ἀκρατὴς] ὑπὸ τῆς μανίας οὐ κατέχουσα τὴν γλῶσσαν, ἀλλὰ παίουσα. ¶Θολεροὶ δὲ λόγοι] τεταραγμένοι δὲ λόγοι, ὡς ἔτυχε, προσπαίουσι τῷ τῶν κακῶν κλύδωνι. τοῦτ' ἔστιν, ὑπὸ ὀδύνης πολλὰ μάταια λαλῶ. ¶Ἦ σοφὸς] τὸν Πιττακὸν λέγει, ὅς ποτέ τις βιαζόμενος ὑπὸ δύο γυναικῶν, τῆς μὲν μαστευούσης πλουσίας, τῆς δὲ ἑτέρας, πενεστέρας, καὶ τῷ γένει αὐτῷ ἀξίας, καὶ ἀπορῶν ποίας κληθείη ἀνὴρ, ἠρώτησε ποίᾳ χρήσεται γυναικί· τῶν δὲ εἰπόντων, ἄπιθι πρὸς τοὺς παῖδας τοὺς πλησίον ἡμῶν τοῖς βέμβιξι παίζοντας (ὅ ἐστι ταῖς στρόμβοις) καὶ ἀπ' αὐτῶν μαθήσῃ ποίᾳ ἂν χρήσαιο γυναικί· ἀπελθὼν ἐκεῖνος, ἠκροάσατο τῶν παίδων λεγόντων πρὸς τὴν οἰκείαν στρόμβον, τὴν κατὰ σαυτὸν ἔλαυνε· καὶ αἰσθόμενος τοῦ λόγου τῶν παίδων, τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο γυναικί, τῇ καὶ τῷ γένει αὐτῷ ἀξίᾳ. τοῦτο οὖν ὁ χορὸς ἐνθυμούμενος, λέγει ὅτι σοφὸς ἦν ἐκεῖνος ὁ εἰπὼν τὸ ἐπὶ μακρῷ χρόνῳ καὶ ἀριστεύειν καὶ εὐημερεῖν τοὺς τοῖς ἀξίοις τοῦ γένους αὐτῶν ἐπιγαμβρεύοντας. ἐὰν γὰρ ἡ Ἰὼ συνεμίγη τινὶ ἀνδρὶ ἀξίῳ ὄντι τοῦ γένους αὐτῆς, καὶ πόρρω ἦν τῆς μίξεως τοῦ Διὸς, οὐκ ἂν νῦν ἐπλανᾶτο. ¶Ὡς τὸ κηδεῦσαι] καὶ Πίνδαρος, Χρὴ δὲ καθ' ἑαυτὸν παντὸς ὁρᾶν μέτρον. εὐναὶ δὲ παράτροποι ἐς κακότητα ἀθρόαν ἔβαλον. ¶Καθ' ἑαυτὸν] κατὰ τὰ ἴδια μέτρα. ¶Πλούτῳ διαθρυπτομένων] ὑπερηφανούντων. ¶Χερνήταν] ἐπιτετόν ἐστιν ἐκ τῶν ἀπόρων γυναικῶν, αἳ οἰκείαις χερσὶ νήθουσιν ἔρια, καὶ ἑαυτὰς ἐκ τούτων ἐπωφελοῦν πειράζουσι). Ἄλλως. ἀντὶ τοῦ, διὰ τῶν χειρῶν τὰ φορτία, ἢ ἄλλως ἐργαζόμενον. ¶Μήποτε μήποτέ μ' ὦ μοῖραι] ὁ χορός φησι βλέπων τὴν Ἰὼ κακῶς πάσχουσαν διὰ τὸ ἐρασθῆναι αὐτῆς τὸν Δία, εἴθε ὦ μοῖραι, μὴ ἴδοιτέ με ποτὲ ὑπάρχουσαν εὐνάτειραν καὶ σύγκοιτον τοῦ Διός· ἤτοι μὴ ἐρασθείη μου ὁ Ζεύς ποτε, μηδὲ πλησιάσω τινὶ γαμέτῃ τῶν ἐξ οὐρανοῦ ἤγουν τινὶ θεῷ ἔχοντι γυναῖκα. τοῦτο γάρ ἐστι τὸ γαμέτᾳ. ἤ,

μηδὲ δι᾽ ἔχθρας γενοίμην ὁμευνέτῃ τινὶ τῶν οὐρανίων. φοβοῦμαι γὰρ βλέπουσα τὴν τῆς Ἰοῦς παρθενίαν τὴν ἀστεργάνορα· ἣν οὐ στέργει ὁ γενόμενος αὐτῆς ἀνήρ· ἤ, τὴν ὑπὸ ἀρσένων μὴ στεργομένην τῷ γάμῳ τοῦ Διὸς δαπτομένην, καὶ ἐν ἀλητείαις καὶ πλάναις πόνων δυσπλάγχνοις Ἥρας, ἤτοι ἀφορήτοις, ἃς οὔτις ἐνδείκνυται ἐν τοῖς αὐτοῦ σπλάγχνοις δύναται. μηδὲ ὁ ἔρως τῶν κρειττόνων θεῶν ἐπίδοι με. εἶτα προσθήκῃ πως, ἑρμηνεύων τὸν ἔρως, φησίν, ὅς ἐστιν ὄμμα ἄφυκτον.

λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν·
μηδὲ πλαθείην ἐν γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ᾽ Ἰοῦς γάμῳ δαπτομέναν
δυσπλάγχνοις Ἥρας ἀλατείαισι πόνων.
ἐμοὶ δ᾽ ὅτι μὲν ὁμαλὸς ὁ γάμος
ἄφοβος, οὐ δέδια· μηδὲ κρεισσόνων
θεῶν ἔρως ἄφυκτον ὄμμα προσδέρκοιτό με.
ἀπόλεμος ὅδε γ᾽ ὁ πόλεμος, ἄπορα
πόριμος· οὐδ᾽ ἔχω τίς ἂν γενοίμαν.
τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπα φύγοιμ᾽ ἄν.

Πρ. Ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδης φρενῶν,

¶Γάμῳ δαπτομέναν] ἅμα τῷ γάμῳ. λείπει γὰρ τὸ ἅμα. ¶Ἀπόλεμος] ἀκαταμάχητος, ὃν καὶ πολλὰ μηχανησαμένη, οὐ φεύξομαι. Ἄλλως. ὁ πρὸς κρείττονας πόλεμος, ἀκαταμάχητος. ¶Ἄπορα πόριμος] δέ, ὅτι ὁ πόλεμος ὁ ἐρωτικός, ἐστὶ πόρον διδοὺς καὶ εἰς τὰ ἄπορα, καὶ δεῖ εἰπεῖν, καὶ τοῖς ἀδυνάτοις ἐπιχειρῶν, καὶ πόριμος αὐτοῖς. ¶Ἦ μὴν ἔτι] ὅπερ προείρηκεν Προμηθεὺς ἐν οἷς ἔλεγεν ὅτι ὁ Ζεὺς ἐκβληθήσεται τῆς βασιλείας, εἰς γάμον συνελθὼν τῇ Θέτιδι, τοῦτο καὶ ἐνταῦθα πάλιν φησί. λέγει οὖν ὅτι ὄντως δὴ ὁ Ζεύς, καίπερ αὐθάδης καὶ ὑπερήφανος ὢν καὶ ὑπέροικος, ἔσται ταπεινός. ἑτοιμάζεται γὰρ γάμον γαμεῖν, ὃς αὐτὸν βασιλείας ῥίψει· καὶ τότε πληρωθήσεται ἡ τοῦ Κρόνου κατάρα ἐπ᾽ αὐτῷ τῷ Διί, ἐκπίπτοντος τῶν μακροχρονίων καὶ παλαιῶν θρόνων τῆς βασιλείας. ἀποτροπὴν δὲ καὶ ἐκφυγὴν καὶ προφύλαξιν τῶν ἀπὸ τοῦ εἰρημένου γάμου κακοπαθειῶν μελλουσῶν ἐπελθεῖν αὐτῷ, οὐδεὶς τῶν θεῶν ἰσχύσει ἀποδεῖξαι χωρὶς ἐμοῦ. ἐγὼ ταῦτα γινώσκω, καὶ ποίῳ τρόπῳ γενήσεται. πρὸς ταῦτα οὖν καθήσθω νῦν ἐν τοῖς ὑψηλοῖς καὶ τῆς γῆς ὑπεραιρομένοις τόποις, (ἢ ἐν τῷ ὑψηλῷ Ὀλύμπῳ) πιστὸς καὶ θαρρῶν. ἢ ποσὶς, προείπυσος τε διάδηλος, καὶ ἐπαίρος ἐν βρονταῖς, ἤγουν διὰ τὸ ποιεῖν βροντάς, μεγαλαυχούμενος, καὶ ἐκπέμπων βέλος πυρπνόον. λέγει δὲ τὸν κεραυνόν. οὐδὲν γὰρ ταῦτα αὐτῷ βοηθήσει εἰς τὸ μὴ καταπεσεῖν πτώματα ἀτιμώτατα καὶ ἀφόρητα. τοιοῦτον ἀντίπαλον καὶ ἀντίμαχον νῦν ἐπιτειχίζει αὐτῷ, ὅστις καὶ ὑπὲρ κεραυνὸν καταφλέξει αὐτόν, καὶ τὸν δυνατὸν κτύπον τῆς βροντῆς καὶ τὴν τρίαιναν, αἰχμὴν τοῦ Ποσειδῶνος, δι᾽ ἧς σαλεύει τὴν γῆν, διασκεδάσει καὶ ἀφανίσει καὶ διαλύσει. λέγει δὲ ὃν ἔμελλε γεννῆσαι ὁ Ζεὺς μιγεὶς τῇ Θέτιδι.

ἔσται ταπεινός, οἷον ἐξαρτύεται
γάμον γαμεῖν· ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ' ἄιστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται·
ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.
τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῷ, πλὴν ἐμοῦ, δεῖξαι σαφῶς,
ἐγὼ τάδ' οἶδα, χᾧ τρόπῳ. πρὸς ταῦτα νῦν
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστός, τινάσσων τ' ἐν χεροῖν πυρπνόον βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ' αὐτὸς αὐτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα,
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·
θαλασσίαν τε γῆς τινάκτειραν νόσον
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ,
πταίσας δὲ τῷδε πρὸς κακῷ, μαθήσεται
ὅσον τό, τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

Χο. Σὺ θὴν ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός·

¶ Ὃς δὴ κεραυνοῦ] ταῦτα αἰνιγματωδῶς φησι, καὶ διὰ τοὺς Κύκλωπας τὸν Βρόντην καὶ τὸν Στερόπην, οἱ ἀδελφοὶ ἦσαν τοῦ Κρόνου τοῦ πατρὸς τοῦ Διός. εἶχον δὲ πρὸς ἕνα μόνον ὀφθαλμὸν τοῖς μετώποις. οὓς ὁ Κρόνος μὲν τῷ ταρτάρῳ περιέδησεν, ὡς ἐπιβούλους ὑφορώμενος· ὁ δὲ Ζεὺς τῆς βασιλείας κρατήσας, τὸν μὲν πατέρα Κρόνον εἰς τάρταρον κατάγει, τοὺς δὲ εἰρημένους ἀνάγει, καὶ συνεργοὺς τοῦ κράτους ἔχει· τὸν μὲν, βροντὴν μηχανώμενον αὐτῷ· τὸν δὲ Στερόπην, ἀστραπὴν, εἰς ἐκφόβησιν πάντων τῶν ἄλλων θεῶν. φησὶν οὖν ὁ Προμηθεὺς ὅτι ὁ μέλλων γεννηθῆναι ἀπὸ τοῦ Διὸς συνευναθέντος τῇ Θέτιδι, καὶ ὕστερον ὑπὲρ τὸν Στερόπην καὶ τὸν Βρόντην ἔσται. ἐπεὶ δὲ ᾤετο καὶ τὸν Ποσειδῶνα φοβηθῆναι αὐτῷ τῷ Διῒ, ὡς ἀδελφὸν αὐτοῦ ὄντα, φησὶν ὅτι οὐδὲ ἡ τὴν γῆν σαλεύουσα τρίαινα τοῦ Ποσειδῶνος ἔσται τῷ Διῒ εἰς βοήθειαν. τρίαιναν δὲ λέγουσι κρατεῖν τὸν Ποσειδῶνα, ἢ διὰ τὸ τρίτον στοιχεῖον εἶναι αὐτὸν, ἢ διὰ τὸ εἰς τρία διαιρεῖσθαι τὸ ὕδωρ, εἰς ποτάμιον, εἰς θαλάσσιον, καὶ εἰς λιμναῖον. ¶ Ἐπιγλωσσᾷ] τῇ γλώττῃ κατηγορεῖς, ἐπισωρίζεις κατὰ τοῦ Διὸς ἃ βούλει γενέσθαι αὐτῷ. ἔστι δὲ τὸ, ἐπιγλωσσᾷ Διὸς, κατ' ἐρώτησιν.

πρ. Ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.
χο. Καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινά;
πρ. Καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.
χο. Πῶς οὐχὶ ταρβεῖς, τοιάδ' ἐκρίπτων ἔπη;
πρ. Τί δ' ἂν φοβοίμην, ᾧ θανεῖν οὐ μόρσιμον.
χο. Ἀλλ' ἆθλον ἄν σοι τῦδέ γ' ἀλγίω πόροι.
πρ. Ὢ δ' οὖν ποιείτω, πάντα προσδοκητά μοι.
χο. Οἱ προσκυνοῦντες τὴν ἀδράστειαν, σοφοί.
πρ. Σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί·
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
ὃν τοῦ τυράννου τοῦ νέου διάκονον·
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε.
ἑρ. Σὲ τὸν σοφιστὴν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' εἰς θεοὺς, τὸν ἐφημέροις
πορόντα τιμὰς, ὃν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οἵτινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν τ' ἐκεῖνος ἐκπίπτει κράτους·

¶Ἀλλ' ἆθλον ἄν σοι] ἀλλὰ καὶ εἰ μή ἐστι σοὶ πεπρωμένον ἀποθανεῖν, πόροι, ἤγουν δώσει σοι πόνον, ἀλλ' ἀλγεινότερον καὶ λυπηρότερον τούτου οὗ νῦν πάσχεις. ὥσπερ δὲ τὸ βελτίω καὶ καλλίω, οὕτω καὶ τὸ ἀλγίω αἰτιατικά ἐστιν ἀπὸ τῆς ἀλγίων εὐθείας. ¶Ὢ δ' οὖν ποιείτω] οὕτως ὑπερηφάνως καὶ ἀφόβως. ¶Τὴν ἀδράστειαν] τὴν δίκην. θεὰ γάρ ἐστι τοὺς ὑπερηφάνους τιμωροῦσα. Ἄλλως. παραινεῖ πτοεῖσθαι μήποτέ τις νεμεσήσῃ δικαίως αὐτῷ, ὡς τὸν δία ὑβρίζοντι. Ἄλλως. τὴν ἀδράστειαν, ἤτοι τὴν τύχην, τὴν μὴ ἐῶσαν ἡμᾶς δρᾶν τὸ θελητόν. ¶Σέβου, προσεύχου] σὺ σέβου καὶ θέλγε τὸν δία τὸν ἀεὶ κρατοῦντα (τοῦτο δὲ κατ' εἰρωνείαν φησίν. ἐλπίζει γὰρ ὅσον οὔπω ἀπὸ τῆς βασιλείας ἐκπεσεῖν αὐτόν) ἐμοὶ δὲ μικρὸν καὶ ὀλίγον, ἢ οὐδ' ὅλως φροντίς ἐστι τοῦ διός. τοῦτον τὸν καιρὸν δράτω καὶ πραττέτω ἃ βούλεται, καὶ βασιλευέτω· ἐπὶ πολὺ γὰρ οὐκ ἄρξει καὶ βασιλεύσει τοῖς θεοῖς. ἀλλὰ βλέπω τοῦτον τὸν ἄγγελον τοῦ διός (λέγει δὲ τὸν ἑρμῆν) πάντως τι νέον ἦλθε μηνύσων ἐμοί. ¶Τρόχιν] ἄγγελον, ἀπὸ τοῦ τρέχειν. δηλοῖ δὲ τὸν σπουδαῖον οἰκέτην, τὸν σπουδαίως πράττοντα τὰ προστάγματα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ βραδύνοντα καὶ χρονίζοντα. ¶Τὸν ἐφημέροις] γρ. ἡμέροις. ἤγουν τοῖς ἀνθρώποις. ἢ τοῖς ἡμέροις, πρὸς ἀντιδιαστολὴν τῶν ἀγρίων ζώων.

Καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε· μηδέ μοι διπλᾶς
ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.
Πρ. Σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
Νέον νέοι κρατεῖτε, καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ'· οὐκ ἐκ τῶνδ' ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
Τρίτον δὲ τὸν νῦν τυραννοῦντ' ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
Πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ

¶Καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως] ὁ Ζεὺς ὁ πατὴρ τῶν θεῶν κελεύει σοι εἰπεῖν οὕστινας λέγεις γάμους, καὶ τοὺς ἀνθρώπους παρ' ὧν ἐκεῖνος τῆς βασιλείας ἐκβληθῇ· καὶ ταῦτα μέντοι λέγε μηδ' ὅλως αἰνιγματωδῶς, ἀλλ' αὐτὰ ἐκεῖνα ἕκαστα φανερά. ¶Μηδέ μοι διπλᾶς] μηδὲ ἐμοί, ὦ Προμηθεῦ, προξενήσῃς καὶ δώσῃς διπλᾶς ὁδούς. ἤτοι, μὴ ποιήσῃς ἀπελθεῖν κενόν, καὶ πάλιν πεμφθῆναι πρός σε. βλέπεις γὰρ ὅτι τοῖς τοιούτοις ὁ Ζεὺς οὐ καταπραΰνεται. Ἄλλως. μὴ κάματόν μοι διπλοῦν προξενήσῃς, δεύτερόν με ποιῶν ὑποστρέψαι. τοῦτο δὲ αἰνίττεται διὰ τοῦ λόγου, μὴ βούλου με αὖθις ἀπελθεῖν κενὸν πρὸς τὸν Δία. ἤγουν, ἅπερ εἴπας κατὰ τοῦ Διός, μὴ κρύψῃς, ἵνα μὴ ἐκεῖνος πάλιν με πρός σε πέμψῃ. ¶Ζεὺς τοῖς τοιούτοις] τοῖς μὴ πειθομένοις αὐτῷ, ἢ τοῖς ψευδέσι λόγοις χρωμένοις οὐ κάμπτεται, οὔτε μειλίσσεται, ἀλλ' ἐπὶ πολὺ θυμοῦται καὶ ἀμείλικτος γίνεται τοῖς τοιούτοις. ¶Σεμνόστομός γε] κατ' εἰρωνείαν ὁ Προμηθεύς, μὴ, φησίν, ὁ μῦθος καὶ ὁ λόγος σου, προσήκων ἐστὶ καὶ καλῶς εἰρημένος, καὶ φρονήσεως γέμων, ὡς ῥηθεὶς ὑπὸ ὑπηρέτου τῶν θεῶν; ἢ τὸ σεμνόστομος, ἀντὶ τοῦ κενόδοξος καὶ ἐπηρμένος καὶ γέμων οἰήσεως. ¶Νέον νέοι] νῦν νέοι θεοὶ βασιλεύετε, καὶ νομίζετε ὑμεῖς πένθους ἀεὶ κατοικεῖν τὰς τοῦ ὀλύμπου ἀκρωρείας καὶ μέρη· ἐκ τούτων δὲ τῶν τοῦ ὀλύμπου μερῶν καὶ ἀκρωρειῶν κατιόντα καὶ εἶδον δύο τυράννους ἐκπεσόντας καὶ ἐκβληθέντας τῆς βασιλείας (λέγει δὲ τὸν Ὀφίωνα καὶ τὸν Εὐρυνόμην, καὶ τὸν Κρόνον ὃν ἔρριψεν ὁ Ζεύς) τρίτον δὲ καὶ τὸν νῦν τυραννοῦντα Δία θεάσομαι ἐκπεσόντα, καὶ κακῶς καὶ ἐπονειδίστως, καὶ συντόμως. μὴ δοκῶ σοι φοβεῖσθαι τοὺς νέους θεούς; ἐγὼ πολλοῦ ἐλλείπω τοῦ φοβεῖσθαι αὐτούς. σὺ δὲ τὴν ὁδὸν ἣν ἐβάδισας ἐρχόμενος ἐνταῦθα, πάλιν βάδιζε. οὐδὲν γὰρ ἐρῶ σοι ὧν ἐμὲ ἐρωτᾷς. ¶Τρίτον] ἐβασίλευσε πρῶτον μὲν ὁ Ὀφίων καὶ Εὐρυνόμης, ἔπειτα Κρόνος καὶ Ῥέα. ¶Πέργαμα] ἁπλῶς τὰς τοῦ οὐρανοῦ ἀκρωρείας· κατεχρήσατο δέ. ¶Πολλοῦ γε καὶ] σημείωσαι, πολλοῦ ἐλλείπω, ἀντὶ τοῦ, πολλοῦ γε καὶ δεῖ, ἤ, πολλοῦ γε καὶ δέω.

κέλευθον ἥνπερ ἦλθες, ἐγκόνει πάλιν.
πεύσῃ γὰρ οὐδὲν ὧν ἂν ἱστορῇς ἐμέ.
ἑρ. Τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.
πρ. Τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.
κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ,
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
ἑρ. Χλιδᾶν ἔοικας τοῖς παροῦσι πήμασι.
πρ. Χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις λέγω.
ἑρ. Ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;
πρ. Ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ, κακοῦσί μ' ἐκδίκως.
ἑρ. Κλύω σ' ἐγὼ μεμηνότ' οὐ μικρὰν νόσον.
πρ. Νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
ἑρ. Εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
πρ. Ὤμοι. Ερ. Τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.
πρ. Ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
ἑρ. Καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.

¶Τοιοῖσδε] ἐν ταύταις ταῖς κενοδοξίαις καὶ ὑπερηφανίαις καὶ αἰσχυντίαις, καὶ πρὶν σαυτὸν εἰσήγαγες καὶ ἐνέδησας εἰς τὰς βλάβας ἃς πάσχεις νῦν. ¶Τῆς σῆς λατρείας] τοῦτό φησιν ὁ Προμηθεὺς πρὸς τὸν Ἑρμῆν, σαφῶς γίνωσκε ὅτι οὐκ ἂν ἀλλάξαιμι τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν. ἡγοῦμαι, οὐ προτιμήσομαι τὸ λατρεύειν τῷ Διί, τὸ ὑπηρετεῖν αὐτῷ καὶ εἶναι ἄγγελος αὐτοῦ, ὥσπερ σύ, τοῦ πάσχειν οὕτω κακῶς. τοῦτ' ἔστι, κρεῖσσον ἡγοῦμαι τοῦ λατρεύειν καὶ ἀγγελιαφορεῖν τῷ Διὶ ὡς σύ, τὸ προσηλῶσθαι τῇ πέτρᾳ ταύτῃ, καὶ πάσχειν κακῶς. ¶Χλιδᾶν ἔοικας] τρυφᾶν καὶ χαίρειν τοῖς κακοῖς οἷς πάσχεις. ¶Ὅσοι παθόντες] συνῆλθε γὰρ αὐτοῖς κατὰ τῶν Τιτάνων. ¶Κλύω σ' ἐγὼ] νοῶ σε, φησίν, ἐγώ, μεμηνότα καὶ παραφρονοῦντα, καὶ πάσχοντα νόσον κακήν. ὁ δὲ πρὸς αὐτόν, ἴσως νοσῶ μέν, κατά σε κριτήν, εἰ νόσημά ἐστι καὶ μανία, τὸ μισεῖν τοὺς ἐχθρούς. οὐ φησιν, ὁρῶ, ἀλλά, κλύω. οὐ γὰρ δι' ἔργων ὕβριζεν ὁ Προμηθεὺς τοὺς θεούς, ἀλλὰ διὰ λόγων. ¶Τόδε Ζεὺς] τὸ ὤμοι λέγειν. ¶Ἀλλ' ἐκδιδάσκει] κἀκεῖνος σὺν τῷ χρόνῳ μαθήσεται τὸ στενάζειν. ¶Καὶ μὴν] σὺ δὲ οὐδὲ ὑπὸ τοῦ χρόνου παιδεύῃ.

πρ. Σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.
ἑρ. Ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.
πρ. Καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν.
ἑρ. Ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με.
πρ. Οὐ γὰρ σὺ παῖς τε, καὶ ἔτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ', ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα, ῥιπτέσθω μὲν αἰθαλοῦσα φλὸξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα, καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδὲν τῶνδέ μ', ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
ἑρ. Ὅρα νῦν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.
πρ. Ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
ἑρ. Τόλμησον ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
πρ. Ὀχλεῖς μάτην με, κῦμ' ὅπως, παρηγορῶν.
εἰσελθέτω σε μήποθ', ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς, θηλύνους γενήσομαι,
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν,
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
ἑρ. Λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν.

¶ Σὲ γὰρ] καλῶς λέγεις μὴ φρονεῖν ἐμέ· εἰ γὰρ ἐγὼ ἐφρόνουν, ὑπηρέτῃ σοὶ ὄντι οὐκ ἂν διελέχθην. ¶ Καὶ μὴν ὀφείλων] τοῦτο ἐν εἰρωνείᾳ. ¶ Αἰθαλοῦσα φλὸξ] (γράφεται) αἰθεροῦσα. ¶ Λευκοπτέρῳ] λευκῇ καὶ ταχείᾳ. ¶ Βεβούλευται] τεθεώρηται. ¶ Τοῦ παντὸς δέω] πεῖσαι τοῦτο. ¶ Λέγων ἔοικα] πολλά, φησί, λέγω, καὶ ἔοικα ταῦτα λέγειν μάτην. οὐδὲν γὰρ μαλθάσσῃ καὶ πραΰνῃ καὶ τέγγῃ καὶ ἐνδίδως τῆς ἐνστάσεως, ἀλλ' ὥσπερ νεωστὶ ἀχθεὶς εἰς ζυγὸν πῶλος, δάκνων τὸν χαλινὸν, βιάζῃ σὺ, καὶ ἀνθίστασαι, καὶ πρὸς τοὺς χαλινοὺς ἀντιμάχῃ, καὶ σφοδρῶς καὶ θρασέως ἐν οὐδαμινῷ σοφίσματι, καὶ μὴ δυνάμενος ὠφελῆσαι. ¶ Καὶ μάτην ἐρεῖν] γρ. ἀλλ' ἐρεῖν μάτην.

τέγγῃ γὰρ οὐδὲν οὐδὲ μαλθάσσῃ λιταῖς
ἐμαῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος, βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ.
ἀτὰρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς, ☞
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖζον σθένει. ☞
σκέψαι δ' ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου,
ἄψορρον ἥξεις ἐς φάος· Διὸς δέ τοι
πτηνὸς κύων δαφοινὸς αἰετὸς λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος·
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινήσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,

¶ Οὐδενὸς μεῖζον σθένει] ἴσον ἐστὶ τῷ μηδενί. ¶ Σκέψαι δὲ] σκόπησον ποταπὸς χειμὼν καὶ ζάλη τῶν ἀθλίων, καὶ τῶν κακῶν τρικυμία ἄφυκτος, ἣν οὐ δυνήσῃ ἐκφυγεῖν, ἔπεισι καὶ ἐπέρχεται ἐπί σε. πρῶτα μὲν τὴν ὀκρίδα φάραγγα (τραχεῖαν δὲ λέγει φάραγγα τὸ τραχὺ ὄρος τὸν καύκασον) βροντῇ καὶ κεραυνῷ διασχίσει ὁ Ζεύς, καὶ ἔνδον ταύτης καλύψει τὸ σὸν σῶμα. ἡ πετραία δὲ ἀγκάλη καὶ κοιλότης σε βαστάσει καὶ δέξεται. πολὺ δὲ μῆκος χρόνου πλεονάσας, ἄψορρον καὶ ὀπισθόρμητον ἥξεις ἐς φάος. ¶ Πετραία δ' ἀγκάλη σε] ἤγουν τὸ ἀπόρρηγμα καὶ κοίλωμα τῆς πέτρας. τοῦτο γοῦν φησι, χάσματος γενομένου, μετέωρος ἔσῃ, κρεμάμενος τῶν χειρῶν. ¶ Πτηνὸς κύων] μυθεύεται ὅτι ὁ Ζεὺς εἰς ὄρος τὸν καύκασον προσηλώσας τὸν Προμηθέα μέσον κίονος, ἐποίησεν ἀετὸν κατέρχεσθαι καὶ ἐσθίειν καθ' ἡμέραν τὸ ἧπαρ αὐτοῦ, διὰ πάσης μὲν ἡμέρας βιβρωσκόμενον, νυκτὸς δὲ πάλιν ἀναπληρούμενον, καὶ οὕτως ἀνακαινιζόμενον, ἕως οὗ ὁ Ἡρακλῆς τοξεύσας τὸν ἀετὸν ἀπέκτεινε, τὸν Προμηθέα δὲ τῶν κακῶν ἀπέλυσε. Ἄλλως. τοῦτό φησιν, ὅτι ὁ τοῦ Διὸς κύων ἀετὸς (τοῦ Διὸς γὰρ ὁ ἀετὸς ἀνάκειται), ὡς ζῷον βασιλικὸν, διακόψει μέγα ῥάκος τοῦ σώματος, τουτέστι, μέρος καὶ ἀπόκομμα· ἐρχόμενος ἄκλητος εὐωχητής· ἐκθοινήσεται δὲ τὸ ἧπαρ τὸ ἐκ τῆς βρώσεως μελαινόμενον. τοῦ τοιούτου δὲ δεσμοῦ καὶ τῆς τοιαύτης κακοπαθείας μηδέν τι προσδόκα τέλος, πρὶν ἄν τις τῶν θεῶν διάδοχος φανῇ τῶν σῶν πόνων, καὶ εἰς τὸν σκο-

τινὸς ᾅδην θελήσῃ παραγενέσθαι, καὶ εἰς τὸν τάρταρον. τοῦτο δὲ λέγει, ὡς τοῦ βοηθοῦντός τινος αὐτῷ, πεισομένου ταῦτα πάντα. ὁ μέλλων βοηθῆσαί σοι, φησί, καὶ ἀπολυτρῶσαί σε τοῦ πόνου τούτου, εἰς τὸν ᾅδην ἥξει καὶ ταρταρωθήσεται.

πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
ᾅδην, κνεφαῖά τ' ἀμφὶ ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ.
χο. Ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ', ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πειθοῦ· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.
πρ. Εἰδότι τοι μοὶ τάσδ' ἀγγελίας
ὅδ' ἐθώϋξε, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ' ἐχθρῶν, οὐδὲν ἀεικές.
πρὸς ταῦτ', ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ
δ' ἐρεθιζέσθω βροντῇ, σφακέλῳ
τ' ἀγρίων ἀνέμων· χθόνα δ' ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ

¶Πρὸς ταῦτα βούλευε] πρὸς ταῦτα βουλεύου, καὶ σκόπει τὸ συμφέρον, ὅτι ταῦτα ἅ σοι λέγω, οὐκ εἰσὶ πεπλασμένα καὶ ψευδῆ, ἀλλὰ λίαν ἀληθῆ. τὸ γὰρ δῖον στόμα, ἤτοι τὸ τοῦ Διός, οὐκ ἐπίσταται ψευδολογεῖν, ἀλλὰ πᾶν ὃ ἂν εἴπῃ, εἰς τέλος καὶ πλήρωμα ἄγει. σὺ δὲ ἐπιτήρει καὶ πρόσεχε, μηδὲ τὴν αὐθαδίαν ἡγήσῃ ποτὲ κρείττονα τῆς εὐβουλίας. ¶Πρὸς ταῦτ', ἐπ' ἐμοὶ] πρὸς ταῦτα, ῥιπτέσθω μὲν ἐπ' ἐμοὶ ἡ ἑλικοειδὴς τοῦ πυρὸς καταφορά. (ἀμφήκης δέ ἐστιν ὁ ὀξύς) ὁ αἰθὴρ δέ, καὶ ὁ ἀὴρ ἐρεθιζέσθω καὶ κινείσθω ἐν βροντῇ, σφακέλῳ τε ἀγρίων ἀνέμων, τουτέστι συντόνῳ κινήσει. σφάκελος δὲ κυρίως ἡ σῆψις τοῦ ἐγκεφάλου. τὴν γῆν δὲ ἐκ τῶν πυθμένων καὶ τῶν κατωτάτων τόπων σὺν αὐτοῖς θεμελίοις κραδαίνοι

καὶ κινήσειεν. τὸ κῦμα δὲ τῆς θαλάσσης ἐν τραχεῖ ῥεύματι συγχώσειεν ἐμὲ, καὶ τὸ σῶμα τὸ ἐμὸν ἀναρρίψῃ εἰς τὰς διόδους τῶν οὐρανίων ἄστρων· ἤτοι εἰς τὸν οὐρανὸν, ὅπου εἰσὶ τὰ ἄστρα.

συγχώσειε· τῶν τ' οὐρανίων
ἄστρων διόδους, ἔς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
τοὐμὸν, ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ' οὐ θανατώσει.
ἑρ. Τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ παραπαίειν;
εἰ δ' εὐτυχῇ, τί χαλᾷ μανιῶν;
ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις
συγκάμνουσαι ταῖς τοῦδε, τόπων
μετά που χωρεῖτ' ἐκ τῶνδε θοῶς·
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ' ἀτέραμνον.
χο. Ἄλλο τι φώνει καὶ παραμυθοῦ
μ' ὅ, τι καὶ πείσεις· οὐ γὰρ δήπου
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
μετὰ τοῦδ' ὅ, τι χρὴ, πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον.
κοὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.
ἑρ. Ἀλλ' οὖν μέμνησθ' ἅπερ ἐγὼ προλέγω·

¶ Συγχώσειε] συγκαλύψειε. ¶ Παραπαίειν] παραφρονεῖν. ¶ Ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις] πρὸς Ὠκεανίδας φησὶν ὁ Ἑρμῆς, ἀλλ' οὖν ὑμεῖς, ὦ γυναῖκες συλλυπούμεναι καὶ συγκακοπαθοῦσαι ταῖς τοῦ Προμηθέως βλάβαις, ὑποχωρεῖτε ταχύτατα ἐκ τῶν ἐνταῦθα τόπων, μὴ τὰς φρένας ὑμῶν ματαίας καὶ μωρὰς ἢ παραπλῆγας ποιήσῃ τὸ ἤχημα τῆς τοῦ Διὸς βροντῆς, τὸ ἀτέραμνον καὶ σκληρὸν καὶ μέγα. ¶ Ἄλλο τι φώνει] ἄλλο τι λέγε, καὶ παραμυθοῦ, καὶ παραλογίζου καὶ ἀπάτα ἐμὲ, εἰς ὅπερ καὶ πείσεις καταλεῖψαι τὸν Προμηθέα· οὐ γὰρ δὴ τοῦτο τὸ ἔπος, δηλαδὴ τὸ, μὴ ἠλιθιώσῃ τὰς φρένας ὑμῶν τὸ τῆς βροντῆς ἤχημα, τλητὸν καὶ ὑπομονητὸν καὶ καρτερικὸν παρέρριψας καὶ παρήγαγες εἰς τὸ καταλεῖψαι τὸν Προμηθέα. ¶ Κακότητ' ἀσκεῖν] κακίαν ἀγαπᾶν καὶ μισεῖν τοῦτον. ¶ Μετὰ τοῦδε] συμπάσχειν αὐτῷ οὐ παραιτοῦμαι. ¶ Ἀλλ' οὖν

μέμνησθ᾽ ἁγὼ] ἀλλ᾽ οὖν μέμνησθε ἅπερ προλέγω ὑμῖν, μηδὲ παρ᾽ ἄτης θηραθεῖσαι, ἤγουν εἰς βλάβην ἐμπεσοῦσαι, μέμψησθε τὴν δυστυχίαν ἣν μέλλετε παθεῖν. μηδὲ εἴπητέ ποτε, ὅτι ὑμᾶς ὁ Ζεὺς εἰς ἀπροσδόκητον ἢ ἀνέλπιστον καὶ αἰφνίδιον βλάβος εἰσέβαλεν. αὐταὶ δὲ ὑμᾶς αὐτάς, λείπει τὸ αἰτιᾶσθε. εἰδυῖαι γὰρ καὶ ἐπιστάμεναι, καὶ οὐκ ἀγνοοῦσαι, οὐδὲ ἐξαίφνης καὶ λαθραίως ἐμπλεχθήσεσθε εἰς τὸ δίκτυον τῆς βλάβης τὸ ἀπέραντον, οὗ τέλος οὐχ εὑρήσετε.

μηδὲ πρὸς ἄτης θηραθεῖσαι,
μέμψησθε τύχην, μηδὲ ποτ᾽ εἴπη-
θ᾽ ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
πῆμ᾽ εἰσέβαλε· μὴ δῆτ᾽, αὐταὶ
δ᾽ ὑμᾶς αὐτάς. εἰδυῖαι γὰρ
κ᾽ οὐκ ἐξαίφνης, οὐδὲ λαθραίως
εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ᾽ ὑπ᾽ ἀνοίας.
Πρ. Καὶ μὴν ἔργῳ κ᾽ οὐκ ἔτι μύθῳ χθὼν σεσάλευται·
βρυχία δ᾽ ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ᾽ ἐκλάμπουσι
στεροπῆς ζάπυροι, στρόμβοι δὲ κόνιν
εἱλίσσουσι· σκιρτᾷ δ᾽ ἀνέμων
πνεύματα πάντων, εἰς ἄλληλα
στάσιν ἀντίπνουν ἀποδεικνύμενα·
ξυντετάρακται δ᾽ αἰθὴρ πόντῳ.
τοιάδ᾽ ἐπ᾽ ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων, ἐσορᾷς μ᾽ ὡς ἔκδικα πάσχω.

¶ Καὶ μὴν ἔργῳ] ἤδη ἐν ἔργοις αὐτοῖς, οὐκ ἐν μύθῳ (ὡς ἁπλῶς ἐμοῦ λέγοντος ὅτι μέλλει ἔσεσθαι τόδε) ἡ γῆ σεσάλευται· ἡ τῆς βροντῆς δὲ φωνὴ ἡ βρύχουσα παραμυκᾶται καὶ ἠχεῖ καὶ βοᾷ. ἐκλάμπουσι δὲ αἱ πολύπυροι ἕλικες τῆς στεροπῆς, ἤτοι αἱ ἑλικοειδεῖς τῶν ἀστραπῶν κινήσεις· οἱ στρόμβοι δὲ καὶ αἱ ἑλίξεις τῶν ἀνέμων συστρέφουσι τὴν κόνιν· σκιρτᾷ δὲ τῶν ἀνέμων πάντων τὰ πνεύματα ἀποδεικνύοντα πρὸς ἄλληλα στάσιν ἀντίπνουν, ἤγουν, τὴν ἐναντίαν δηλοῦντα ποιεῖν πρὸς ἄλληλα ἀποδεικνύμενα· ξυντετάρακται δὲ ὁ ἀὴρ ἐν τῇ θαλάσσῃ. τοιαύτη ἐπ᾽ ἐμοὶ ἐπέρχεται καὶ κινεῖται ῥιπὴ καὶ κίνησις καὶ ζάλη ἀπὸ τοῦ Διός, κατασκευάζουσά μοι φόβον. ¶ Ὦ μητρὸς ἐμῆς σέβας] περιφραστικῶς, ὦ μήτηρ ἐμὴ Θέμις.

ΤΕΛΟΣ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥ-
λου τραγῳδίας ἣ ἐπιγράφεται Ἑπτὰ ἐπὶ Θήβαις.

Ο Λάϊος ὁ Λαβδάκου υἱὸς ὤν, ἐβασίλευεν ἐν Θήβαις, γυναῖκα κεκτημένος Ἰοκάστην, τὴν θυγατέρα τοῦ Μενοικέως· ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα, διὰ τὰς τοῦ Πέλοπος δι- δεὼς ἀράς. φασὶ γὰρ ὅτι τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικός, καὶ οὐκ ἐκ τῆς θυγατρὸς τοῦ Οἰνομάου Ἱπποδαμείας, ὁ Λάϊος ἥρπασεν, ἐρασθεὶς αὐτοῦ, καὶ αὐτῷ συνεγίνετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀρρενοφθορίαν ὑπέδειξε, καθώσπερ δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας. ὅθεν ὁ Πέλοψ μαθών, τὸν Λάϊον κατηράσατο ἐξ οἰκείας φονευθῆναι γονῆς. ἐπεὶ γοῦν ὁ Λάϊος δι' ὃν εἴρη) τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον παρεγίνετο, ἐρωτήσων εἰ δέοι τεκνώσασθαι· ἐξήνεγκε δὲ αὐτῷ τὸ χρηστήριον,

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλαττε μὴ συνευνᾶσθαι τῇ ἰδίᾳ γυναικί. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθείς, συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ' ἧς ἔσχε τὸν Οἰδίποδα. φοβηθεὶς δὲ τὸν χρησμὸν εἰπόντα,

Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,

καθὼς καὶ Πέλοψ κατηράσατο ἐκεῖνον, ὁ Οἰδίπους ἐγεννήθη· διατρήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσέοις κρίκοις διαπερονησάμενος, ἐν Κιθαιρῶνι τοῦτον ἐξέθετο. εὑρόντες δὲ τινὲς αὐτὸν ποιμένες καὶ ἀναλαβόντες, ἀνήνεγκαν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ· ὃς λαβὼν αὐτόν, ἐπιμελείας ἠξίωσε, καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. ἔπειτα δὲ Οἰδίπους παρά τινος ὑβρισθεὶς, καὶ ὀνειδισθεὶς ὡς νόθος εἴη καὶ οὐ γνήσιος τοῦ Πολύβου, ἀπῆλθεν ἐρωτήσων εἰς τὴν Πυθίαν, ἤγουν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, τίς τε εἴη καὶ τίνος υἱός. εἶπε δὲ αὐτῷ τὸ μαντεῖον, ὅτι περίκειταί σοι

φονεῦσαι τὸν πατέρα σοῦ, καὶ μητρὶ σου συνευνασθῆναι. ἀκούσας δὲ τοῦ χρησμοῦ, κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον, διὰ τὰ εἰρημένα, ὡς δοκῶν τὸν Πόλυβον λέγειν τὸ χρηστήριον πατέρα, καὶ τὴν αὐτοῦ γυναῖκα, μητέρα· καὶ ἀπῆλθεν εἰς τὴν ἐς Θήβας ὁδόν. διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ ὁ Λάϊος ὁ τούτου πατήρ, ἀπερχόμενος καὶ αὐτὸς εἰς τὸ μαντεῖον, ἐρωτήσων περὶ τοῦ παρ' αὐτοῦ ἐκτεθέντος παιδὸς, ἤγουν τοῦ Οἰδίποδος, τί γέγονε. ἐπεὶ δὲ συνελεύτησαν ἄμφω, οἱ τοῦ Λαΐου δορυφόροι πρὸς τὸν Οἰδίποδα εἶπον, παραχώρησον ὦ ξένε τῷ βασιλεῖ τὴν ὁδόν. ὁ δ' οὐκ ἐπείσθη. πληγεὶς δὲ παρὰ τοῦ Λαΐου, ἐμάνη ἐπὶ τούτῳ, καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ' αὐτοῦ· ἕνα δὲ μόνον ἀφῆκεν, ὃς στραφεὶς οἴκοι ἀπήγγειλε πάντα. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕστερον, εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν σφίγγα· ἥτις αἰνίγματα ἔλεγε, καὶ τὸν μὴ ἰσχύοντα λῦσαι αὐτὰ, κατήσθιε. προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι τὸ αἴνιγμα τῆς σφιγγός, βραβεῖον, ἡ τοῦ Λαΐου γυνὴ Ἰοκάστη, δοθησομένη αὐτῷ εἰς γάμον. εἰπούσης οὖν τῆς σφιγγὸς τὸ αἴνιγμα τὸ, τετράπους δίπους τε καὶ πάλιν τρίπους, ὃ σημαίνει τὸν ἄνθρωπον, ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δὲ σφὶγξ μανεῖσα ἀνεῖλεν αὑτήν. συνελθὼν οὖν ὁ Οἰδίπους τῇ ἰδίᾳ μητρὶ, παῖδας ἐποίησε τέσσαρας, τὸν Πολυνείκην καὶ τὸν Ἐτεοκλέα, τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην. ὕστερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν, ἐτύφλωσεν ἑαυτόν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. ἐπεὶ δὲ οὗτοι τοῦτον ὄντα τυφλὸν ἐν οἰκίσκῳ καθεῖρξαν, κατηράσατο αὐτοὺς ὥστε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν διαμερίσασθαι· οὗ ἕνεκα καὶ φοβούμενοι, τὸ ὁμοῦ μὲν εἶναι ἐν ταῖς Θήβαις καὶ βασιλεύειν κατέλειψαν· συμπεφωνήκασι δὲ ἵνα τοῦ ἑνὸς ἐξερχομένου τῆς πόλεως καὶ ἀποδημοῦντος, ἐπὶ χρόνον ἕνα ὁ ἕτερος βασιλεύοι· καὶ πάλιν τοῦ ἀποδημοῦντος εἰσερχομένου, ὑποχωρείη ὁ ἕτερος· ὡς ἂν ἐκ τούτου φύγωσι τὴν ἀράν. ὁ γοῦν Πο-

λυνείκης πρῶτος ὤν, ἐκράτησεν ἐν χρόνῳ ἐνὶ τῆς βασιλείας, εἶτα ἐξῆλθε, τῷ Ἐτεοκλεῖ παραχωρήσας αὐτῆς. τοῦ χρόνου δὲ συμπληρωθέντος, ἐπὶ τὸ βασιλεῦσαι ὁ Πολυνείκης καὶ αὖθις εἰς τὰς Θήβας παρεγένετο, κατὰ τὸ συμπεφωνημένον· μὴ παραδεχθεὶς δὲ ὑπὸ Ἐτεοκλέους, εἰς τὸν τοῦ Ἄργους βασιλέα Ἄδραστον ἀπῆλθε, καὶ τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονεν, ἐπὶ ὑποσχέσει ταύτῃ, ἵνα συνεργήσῃ αὐτῷ ὁ Ἄδραστος ἐπανελθεῖν εἰς τὴν ἰδίαν πόλιν, καὶ βασιλείας δράξασθαι. λαβὼν τοίνυν ἐκ τοῦ Ἄργους στρατιὰν πλείστην, ἄπεισιν εἰς Θήβας κατὰ τοῦ οἰκείου ἀδελφοῦ· ἔνθα καὶ αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ ὑπ' ἀλλήλων ἐφονεύθησαν.

Ἡ μὲν οὖν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται· ὁ δὲ χορὸς ἐκ θηβαίων ἐστὶ παρθένων· ἡ δ' ὑπόθεσις, στρατιὰ ἀργείων πολιορκοῦσα θηβαίους, καὶ νικήσαντας· καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐπιγέγραπται δὲ ὑπόθεσις τῶν ἑπτὰ ἐπὶ Θήβαις, διὰ τὸ ἑπτὰ στρατηγοὺς φυλάσσειν τὰς πύλας τῶν Θηβῶν. εἰσὶ δὲ αὗται αἱ Θῆβαι, ἑπτάπυλοι· αἱ δὲ ἐν τῇ Αἰγύπτῳ οὖσαι, ἑκατόμπυλοι.

Τὰ τοῦ δράματος πρόσωπα.

Ἐτεοκλῆς, Ἄγγελος κατάσκοπος, Χορὸς παρθένων, Ἰσμήνη, Ἀντιγόνη, Κῆρυξ. προλογίζει δὲ Ἐτεοκλῆς, παρασκευάζων τὸν τῶν θηβαίων δῆμον εἰς φρουρὰν τῆς πόλεως.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ

Ἑπτὰ ἐπὶ Θήβαις.

ἐτ. ΚΑΔΜΟΥ πολῖται, χρὴ λέγειν τὰ καίρια
ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ·
εἰ δ' αὖθ' (ὃ μὴ γένοιτο) συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν
ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις,
οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος
ἐπώνυμος γένοιτο Καδμείων πόλει.
ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
ἥβης ἀκμαίας, καὶ τὸν ἔξηβον χρόνῳ,
βλάστημον ἀλδαίνοντα σώματος πολύν,

¶ΚΑΔΜΟΥ πολῖται] ὁ Ἐτεοκλῆς προλογίζει, καὶ παρασκευάζων τὸν λαὸν ἅπαντα πρὸς φρουρὰν τῆς πόλεως, φησίν, Ὦ Καδμεῖοι πολῖται, ἤτοι ὦ Θηβαῖοι, πρέπει λέγειν τὰ καίρια καὶ τὰ ἐνδεχόμενα, ἢ τὰ ἀναγκαῖα, τὸν ἄνθρωπον ἐκεῖνον ὅστις φυλάσσει καὶ ἔχει καὶ φέρει τὸ πρᾶγος, ἤγουν πρᾶγμα καὶ ἐξουσίαν, ἐν πρύμνῃ, ἤγουν ἐν τῇ ἀρχῇ, νωμῶν δὲ κινῶν δὲ οἰακονομῶν οἴακα πόλεως, ἤγουν τὴν τῆς πόλεως κυβέρνησιν, μὴ κοιμῶν καὶ ἀναπαύων τοὺς ὀφθαλμοὺς ἐν ὕπνῳ. ¶Οἴακα νωμῶν] κυβερνήτης ὢν τῶν τῆς πόλεως πραγμάτων. καλῶς ὁ ποιητὴς τὸν ἄρχοντα τῆς πόλεως ἐξισοῖ τῷ τῆς νηὸς κυβερνήτῃ. ὅσπερ γὰρ ὁ κυβερνήτης ἐν τῇ νηΐ, τοῦτο αὐτὸ καὶ ἀρχηγὸς ἐν τῇ πόλει. μὴ κοιμώμενος, ἀλλὰ φροντίζων ὑπὲρ τῆς πόλεως. καὶ Ὅμηρος, Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. ¶Εἰ μὲν γὰρ εὖ πράξαιμεν] εἰ μὲν γὰρ καλῶς, φησί, πράξαιμεν, τῆς εὐπραξίας ἡ αἰτία ἐπὶ τοὺς θεοὺς ἀναφέρεται· τῆς δὲ δυσπραξίας, ἐπὶ τοὺς ἄρχοντας. διὸ καί φησιν, εἰ δ' αὖτε πάλιν συμφορὰ καὶ δυστυχία τύχοι, ἤγουν ἐὰν δυστυχήσωμεν καὶ κακῶς πάθωμεν (ὅπερ μὴ γένοιτο) ὁ Ἐτεοκλῆς ἂν (ὅστ' ἐστὶν ἐγὼ) εἷς ὤν, πολὺς κατὰ πόλιν ὑμνοῖτο καὶ λοιδοροῖτο καὶ ὑβρίζοιτο ὑπὸ τῶν πολιτῶν διὰ κακῶν καὶ πολυψόφων ὕβρεων, καὶ ψόγων καὶ ὀνειδισμῶν, ὧν ἕνεκεν τούτων ὁ Ζεὺς γένοιτο ἀλεξητήριος, ἐπώνυμος τῇ πόλει Καδμείων. τοῦτο γὰρ ἔχει ἐπώνυμον ἐν Θήβαις ὁ Ζεύς, καὶ ἐκεῖ Ζεὺς καλεῖται ἀλεξητήριος. φησὶν οὖν, συμφώνως ἑαυτῷ καλοῖτο. ¶Ὑμνοῖτο] ὑμνεῖσθαι, μέσον. ¶Τὸν ἐλλείποντ' ἔτι] τὸν ἐλλείποντα ἔτι ἡλικίας ἀκμαίας καὶ ὀξύτητος, ἤτοι τὸν νεάζοντα· καὶ τὸν ἔξηβον χρόνῳ, ἤτοι τὸν γηραιὸν καὶ παρηβηκότα καὶ παρακμάσαντα ὑπὸ τοῦ χρόνου. ¶Βλάστημον] ἤτοι αὔξησιν καὶ προσκοπὴν αὔξοντα τὸ βλαστάνον τὸ σωματικόν, ὡς ἀκμαῖον καὶ νεανικὸν εἶναι πρὸς μάχην.

ὥραν τ' ἔχονθ' ἕκαστον, ὥς τι συμπρεπές,
πόλει τ' ἀρήγειν, καὶ θεῶν ἐγχωρίων
βωμοῖσι τιμὰς μὴ 'ξαλειφθῆναί ποτε·
τέκνοις τε, γῇ τε μητρί, φιλτάτῃ τροφῷ·
ἣ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
ἅπαντα πανδοκοῦσα παιδίας ὄτλον,
ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους
πιστούς, ὅπως γένοισθε πρὸς χρέος τόδε.
καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις,
καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
νῦν δ' ὡς ὁ μάντις φησίν, οἰωνῶν βοτήρ,
ἐν ὠσὶ νωμῶν καὶ φρεσίν, πυρὸς δίχα,
χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
λέγει μεγίστην προσβολὴν ἀχαΐδα
νυκτηγορεῖσθαι, κἀπιβουλεύσειν πόλει.
ἀλλ' ἔστ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασι

¶Ὥραν] φροντίδα. τὸ δὲ ὅλον οὕτως, ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως, ἢ ἔχοντα κατὰ τὴν ἡλικίαν ἑαυτοῦ, βοηθεῖν τῇ πόλει, ὡς πρέπον ἐστίν. ¶Τέκνοις τε] κοινὸν τὸ ἀρήγειν. ¶Ἕρποντας] κυρίως ἐπὶ παίδων τὸ ἕρποντας. ¶Πανδοκοῦσα] ὑποδεχομένη. πάντα πόνον τῆς παιδικῆς ἡλικίας ὑποδεχομένη. ¶Ὅπως γένοισθε] πιστοὶ δηλονότι, πρὸς τὸν ὑπὲρ αὐτῆς κίνδυνον πρόθυμοι. ¶Οἰωνῶν βοτὴρ] σκοπὸς, ὁ Τειρεσίας. ¶Ἐν ὠσὶ νωμῶν] ἐξ ἀκοῆς γὰρ τὰς πτήσεις διέκρινεν, οὐχ ὁρῶν ὁ Τειρεσίας ἐπιβάλλει τῇ τέχνῃ, ἤτοι ἑτέρου ὑπαγορεύοντος, οὐκ αὐτὸς ὢν αὐτόπτης τῶν ὀρνέων. ¶Πυρὸς δίχα] οὐκ ἐμπύροις χρώμενος. ¶Χρηστηρίους] μαντικούς. ¶Νυκτηγορεῖσθαι] ἐν νυκτὶ ἀγορεύειν καὶ βουλεύεσθαι. ¶Ἀλλ' ἔστ' ἐπάλξεις] ἀλλὰ πάντες σὺν παντευχίᾳ καὶ σὺν πᾶσι τοῖς ὅπλοις, ἤγουν ὡπλισμένοι, ὁρμᾶσθε, σοῦσθε ὁμοίως ἐς τὰς ἐπάλξεις τῶν πύργων, καὶ ἐπὶ τὰς πύλας, καὶ ἐπὶ τοῖς σέλμασι καὶ ταῖς καθέδραις καὶ τῶν κατασκευαῖς τῶν πύργων στάθητε, μίμνοντες δὲ καὶ καρτεροῦντες, θαρσεῖτε, μηδὲ λίαν φοβεῖσθε τὸν ὅμιλον καὶ τὸ πλῆθος τῶν ἐπηλύδων, ἤγουν τῶν ἀπὸ ξένης ἐλθόντων πολεμίων· εὖ καὶ καλῶς ὁ θεὸς παρέχει ἡμῖν, καὶ ἀγαθὰ πράξειν. ¶Πληροῦτε θωρακεῖα] τὰ τείχη, διὰ τὸ τὴν πόλιν ὡς θώρακα ἔχειν αὐτά. ¶Σέλμασι] ταῖς καθέδραις, μεταφορικῶς ἀπὸ τῶν νεῶν.

πύργων στάθητε, καὶ πύλαισιν ἐπ' ἐξόδοις
μίμνοντες, εὖ θαρσεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούσας, οὔ τι μὴ ληφθῶ δόλῳ.
ἀγ. Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων·
ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος,
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρην, Ἐνυώ, καὶ φιλαίματον Φόβον
ὡρκωμότησαν, ἢ πόλει κατασκαφὰς
θέντες, λαπάξειν ἄστυ Καδμείων βίᾳ,
ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν ἐς δόμους
πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ

¶Εὖ τελεῖ θεός] καλὰ θεὸς παρέχει. ¶Σκοποὺς δὲ κἀγὼ] καὶ ἐγὼ δέ, φησὶν Ἐτεοκλῆς, ἔπεμψα σκοποὺς τοῦ στρατοῦ τῶν ἐπηλύδων, οὓς πάντας πέποιθα καὶ θαρρῶ μὴ ματαιοπονεῖν ἐν τῇ ὁδῷ. τουτέστι, μὴ μάτην ἀπελθεῖν, ἀλλὰ μαθεῖν ἅπαντα, καὶ κατοπτεῦσαι τὸν στρατὸν τῶν ἐπηλύδων. καὶ ἀπὸ τούτων μαθὼν ἐγώ, οὐδαμῶς ἂν ληφθῶ καὶ κρατηθῶ τῶν ἐπηλύδων δόλῳ. τὸ δὲ μή, παρέλκον. ¶Ἐτεόκλεες, φέριστε] ἄγγελος ἐλθὼν φησὶ πρὸς τὸν Ἐτεοκλέα, ὦ φέριστε βασιλεῦ τῶν Καδμείων ἥκω φέρων σοι σαφῆ καὶ φανερὰ πάντα τὰ ἐκεῖσε· καὶ αὐτὸς δὲ ἐγώ εἰμι κατάσκοπος τῶν πραγμάτων, οὐχ ὑπ' ἄλλων ταῦτα μαθών. ¶Θούριοι λοχαγέται] ὁρμητικοὶ πρὸς πόλεμον. λοχαγέται ἤγουν στρατηγοί. ¶Ταυροσφαγοῦντες ἐς] οὕτω θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο. ¶Μελάνδετον σάκος] ἤτοι τὸ μελανθὲν τῷ αἵματι· ἢ τὸ ἐκ μελάνων βυρσῶν κατεσκευασμένον. τὸ μελάνδετον δὲ καλῶς ἐπὶ ξίφους ῥηθείη, ἐπὶ δὲ σάκους παρέλκει τὸ δετόν, ὡς ἐπὶ τοῦ κελαινεφὲς τὸ νέφος. ἢ τὸ περιφέρειαν σιδηρᾶν ἔχον· μέλας γὰρ ὁ σίδηρος. ¶Ὡρκωμότησαν] ὅρκοις ἐπιστώσαντο εἰς τὸν Ἄρην τε καὶ τὴν Ἐνυώ, καὶ τὸν φιλαίματον Φόβον (Φόβος δὲ καὶ Δεῖμος θεράποντες Ἄρεως) τοῦτο ὤμοσαν, ἢ διαπάξειν καὶ κατασκάψειν τὴν πόλιν τῶν Θηβαίων, ἢ ἀποθανεῖν ἐν ταύτῃ τῇ γῇ. ¶Μνημεῖά θ' αὑτῶν] περόνας ἢ τρίχας, ἤ τι τοιοῦτον. ἔθος γὰρ τοῖς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα, ἢ περόνας, ἢ ταινίας, ἢ βοστρύχους, ἤ τι τοιοῦτον. ¶Ἔστεφον] ἀντὶ τοῦ ἐπλήρουν. πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο, μόνον Ἄδραστον σωθήσεσθαι. τοῦτο δὲ ἀπὸ τῆς ἱστορίας ἔλαβεν, ὅτι ἐσώθη ὁ Ἀδρα-

τος· ἐπεὶ πόθεν ᾔδεσαν ὅτι δεῖ φράξει); Ἄλλως. ὁ Ἀμφιάραος, εἷς τῶν ἀργείων ὤν, οἷα μάντις, προεῖπεν αὐτὸν μόνον τὸν Ἄδραστον καὶ τὸ αὐτοῦ ἅρμα ὑποστρέψαι ἐκ Θηβῶν, τοὺς δὲ ἄλλους ἐκεῖσε ἀπολεῖσθαι. διὰ τοῦτο γοῦν ἕκαστος τῶν ἀργείων ἐζωγράφει τῷ ἅρματι τοῦ Ἀδράστου τὴν οἰκείαν μορφὴν, ἵνα ἐὰν συμβῇ ἀπολωλέναι αὐτοὺς ἐκεῖσε, ὑποστρέψῃ δὲ ὁ Ἄδραστος μόνος μετὰ τοῦ οἰκείου ἅρματος, θεῶνται ἐν εἰκονίσμασιν ὑπό τε τῶν γονέων καὶ φίλων καὶ πολιτῶν.

λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα·
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὣς ἄρεω δεδορκότων.
καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται,
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
ἐγγὺς γὰρ ἤδη πάνοπλος ἀργείων στρατὸς
χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων.
σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος,
φάρξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
ἄρεος· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·
κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον

¶ Οἶκτος δ' οὔτις ἦν] οὐκ ἦν ἔλεος διὰ τῆς γλώττης αὐτῶν ἐκθηλυνόντων τὴν ὁρμήν. ἤγουν, οὐκ ἦν παρ' αὐτοῖς φιλόψυχος λογισμὸς, ἤδη οἶκτον ζωῆς ἐν γλώττῃ προσέφερον, ἀνακόπτοντα αὐτοὺς τοῦ ἐγχειρήματος. σιδηρόφρων γὰρ καὶ ἀκαμπὴς καὶ σκληρὸς θυμὸς αὐτῶν ἔπνει ἀναπιμπλάμενος τῇ ἀνδρείᾳ, δεδορκότων καὶ βλεπόντων αὐτῶν ἄρεω, ἤτοι φονικὸν καὶ πολεμικὸν ὁρώντων, ὡς λεόντων. ¶ Πύστις οὐκ ὄκνῳ χρον.] εἰς ἐπίτασιν πολλοῦ καιροῦ. μετ' οὐ πολὺ γὰρ ταῦτα γνώσῃ τῇ πείρᾳ. ἡ περὶ τούτων ἀκοὴ οὐ βραδέως γίνεται. ταχὺ γὰρ ἤγγειλα. ¶ Κληρουμένους δ' ἔλειπον] κατέλιπα γὰρ αὐτοὺς ἐκεῖσε κλῆρον ποιουμένους, ὅπως ἕκαστος αὐτῶν ἄγοι λόχον καὶ ἐνέδρας καὶ τάξιν πολεμικὴν πρὸς πύλας, πάλῳ καὶ κλήρῳ τοῦτο λαχών. κλήρους γὰρ ποιησαμένων τῶν ἑπτὰ λοχαγῶν, μία πύλη ἑκάστῳ ἐδόθη πρὸς φυλακήν. ¶ Ἀργηστὴς] λευκός. ¶ Σὺ δ' ὥστε ναὸς] σὺ δ' ὥσπερ ἀγαθὸς κυβερνήτης νεὼς, φράξαι καὶ φρούρησον τὴν πόλιν. ¶ Κεδνὸς] ἀσφαλὴς, βέβαιος. ¶ Καταιγίσαι] σφοδρῶς καταπνεῦσαι τὰς πνοὰς τοῦ πολέμου. τροπικὸς δ' ὁ λόγος. ¶ Βοᾷ γὰρ κῦμα] πρὸς τὸ πνεῦμα ἐπήγαγε τὸ κῦμα· παρεμφαίνων δ' ὁμοίως γὰρ εἶπε κῦμα χερσαῖον. ¶ Καὶ τῶνδε καιρὸν] τουτέστι, μὴ ἐκπέσῃς τοῦ δέοντος χρόνου.

ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ τῶν θύραθεν, ἀβλαβὴς ἔσῃ.
ΕΤ. Ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοί,
Ἀρά τ' Ἐριννὺς πατρὸς ἡ μεγασθενής,
μή μοι πόλιν γε πρυμνόθεν πανώλεθρον
ἐκθαμνίσητε δηιάλωτον, Ἑλλάδος
φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
ζυγοῖσι δουλίοισι μήποτε σχέθειν·
γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.
ΧΟ. Θρέομαι φοβερὰ μεγάλ' ἄχη,
μεθεῖται στρατὸς στρατόπεδον λιπών,
ῥεῖ πολὺς δ' ὧδε λεὼς πρόδρομος ἱππότας·
αἰθερία κόνις με πείθει φανεῖ-
σ', ἄναυδος, σαφὴς, ἔτυμος ἄγγελος·
ἐλεδεμνὰς πεδιοπλόκτυπος

¶Ὀφθαλμὸν ἕξω] ἀσφαλῶς φυλάξω. ¶Ἑλλάδος φθόγγον χέουσαν] ἤγουν τὴν μὴ βάρβαρον οὖσαν, ἀλλ' ἑλληνίδα καὶ αὐτήν. ¶Μήποτε σχέθειν] τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ. ἀντὶ τοῦ, μήποτε σχῆτε ἐν ζυγοῖς τοῖς δουλίοις τὴν ἐλευθέραν πόλιν. ¶Ξυνὰ] κοινωφελῆ καὶ ὑμῖν. ¶Θρέομαι φοβερὰ μεγάλ' ἄχη] ἤτοι θρηνῶ, βοῶ φοβερὰς μεγάλας θρηνῳδίας. εὐπτόητος γὰρ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα πρὸς πολιορκίαν. τὸ δὲ φοβερά, ἢ διὰ τὰ φοβερὰ ἄχη· ἢ φοβερὰ γινομένη, ὅ ἐστιν ἐπίφοβος. ¶Μεθεῖται στρατὸς στρατόπεδον λιπών] ἀφεῖται ὁ ὄχλος ἀπὸ τοῦ στρατοπέδου. οἷον, ἤδη τὴν ὁρμὴν ποιοῦνται ἐπὶ τὴν πόλιν οἱ πολέμιοι. ταῦτα δὲ φανταζόμεναι λέγουσιν ὡς ἀληθῆ. τὸ δὲ χωρὶς πρὸς τὴν διαφορὰν τοῦ στρατοῦ καὶ τοῦ στρατοπέδου. στρατόπεδον γὰρ καλεῖται τὸ ἐνδιαίτημα τοῦ στρατοῦ. ¶Ῥεῖ πολὺς δ' ὧδε] ὁ ἱππικὸς στρατὸς πρὸς τὴν πόλιν ὁρμᾷ, πρόδρομος, ἤτοι προτρεχόμενος τῶν ἑτέρων. ἅπαν τὸ τοῦ στρατοῦ πλῆθος ῥεῖ, ὁρμᾷ, χέεται, κινεῖται. ἀσυνδέτως ταῦτα. πείθει δέ με ταῦτα σκοπεῖν ὁ ἐν τῷ ἀέρι ἀναφερόμενος κονιορτός, ὁ ἄναυδος καὶ ἄφωνος ὤν, σαφὴς δὲ καὶ φανερὸς καὶ ἀληθὴς μηνυτὴς τούτων, ἤγουν, ἡ τοῦ κονιορτοῦ κίνησις ἵππων πλῆθος σημαίνει ἐπέρχεσθαι. αἰθερία δὲ ἡ κόνις, ἡ αἰρομένη μέχρι τοῦ αἰθέρος, καίτοι ἄφωνος οὖσα, ἐναργής ἐστιν, ὥσπερ ἄγγελος, καὶ ἀληθής. φαντάζονται δὲ ταῦτα πάντα. ¶Ἐλεδεμνὰς] ὁ ἐλαύνων καὶ διεγείρων τὴν δειμίαν. ¶Πεδιοπλόκτυπος] καὶ τὸ τῆς γῆς δέ μου πέδον κατακτυπούμενον τοῖς ποσὶ τῶν ἵππων καὶ τοῖς ὅπλοις, ποιεῖ μου τοῖς ὠσὶ προσπελάζειν τὸν ἦχον.

τ' ἐγχρίμπτεται βοὰ, ποτᾶται, βρέμει
δ' ἀμαχέτου δίκαν ὕδατος ὀροκτύπου.
ἰὼ, ἰὼ, ἰὼ, ἰώ. θεοὶ θεαί τ' ὀρόμενον κακὸν ἀλεύσατε.
βοᾷ ὑπὲρ τειχέων ὁ λεύκασπις ὄρνυται λαὸς εὐ-
τρεπὴς, ἐπὶ πόλιν διώκων.
τίς ἄρα ῥύσεται, τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν;
πότερα δῆτ' ἐγὼ ποτι- πέσω βρέτη δαιμόνων;
ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων ἔχεσθαι.
τί μέλλομεν ἀγάστονοι;
ἀκούετ' ἢ οὐκ ἀκού- ετ' ἀσπίδων κτύπον;
πέπλων καὶ στεφέων
πότ', εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν;
κτύπον δέδορκα, πάταγον τ' οὐχ ἑνὸς δορός.
τί ῥέξεις, προδώσεις παλαίχθων Ἄρης τὰν τεὰν γᾶν,
ὦ χρυσοπήληξ δαῖμον. ἔπιδ' ἔπιδε πόλιν,

¶Βρέμει] ἠχεῖ δίκην ποταμοῦ τὰ πεδία τῆς γῆς μου. ¶Βοᾷ ὑπὲρ τειχέων ὁ] σὺν θορύβῳ καὶ ὄχλῳ ὁ Ἀργεῖος λαὸς ὁ λευκὰς ἀσπίδας ἔχων ὄρνυται καὶ ὁρμᾷ ὑπεράνω τῶν τειχέων, εὐτρεπὴς, ἤτοι τοῖς ὅπλοις κεκοσμημένος. προορᾷ γὰρ ὡσπερεὶ ὁ τῶν παρθένων χορὸς πῶς ὁ τῶν Ἀργείων ὄχλος ἄνοδον ἐπὶ τῶν Θηβαϊκῶν τειχῶν μέλλει ποιήσασθαι. ¶Πότερα δῆτ' ἐγὼ] πρὸς τὰ εἴδωλα τῶν θεῶν πέσω, παρακαλῶν καὶ δυσωπῶν αὐτοὺς, ἢ ἄλλο τι πράξω. ¶Εὔεδροι] ἐπ' ἀγαθῷ ἱδρυμένοι. ἢ, ἐπὶ τῶν ἰδίων, φησὶ, καθεδρῶν καθεζόμενοι. ¶Ἀκμάζει βρετέων ἔχεσθαι] τοῦτό φησι, καιρός ἐστι νῦν ἔχεσθαι βρετέων, ἤτοι προσπίπτειν τοῖς εἰδώλοις τῶν θεῶν, καὶ παρακαλεῖν αὐτούς. τί βραδύνομεν, καὶ οὐχ ἱκετεύομεν, ὦ ἀγάστονοι, ἡμεῖς αἱ ὑπὸ τοῦ στόνου ἀγόμεναι καὶ κατεχόμεναι. ἢ, λίαν θρηνοῦσαι. ταῦτα δέ τις τῶν τοῦ χοροῦ γυναικῶν πρὸς τὰς ἑτέρας φασίν. Ἄλλως. καιρὸς ἥκει, οἷον ἀκμῆς καὶ ὀξυλαβίας χρῄζει τὰ πράγματα. ¶Ἀκούετ' ἢ] ἐπεὶ ἀγνοῶ τίς εἰσι, τοῦτό φασιν, ἄρα φανταζόμεθα, ἢ ἀληθῶς ἀκούομεν; ¶Πέπλων καὶ στεφέων] πότε στέφη ῥίψομεν ἢ πέπλους ἐπὶ γῆς, ἢ νῦν, [illegible]απτῦσαι ἐπὶ λιτανείαν τῆς περὶ ἡμῶν αὐτῶν καὶ τῆς πόλεως; παρετίθεσαν γὰρ καὶ πέπλους, καὶ ἐνέδυον καὶ πέπλους τὰ ἀγάλματα. Ὅμηρος, πέπλον ὅστις τοι χαρίεις. ¶Κτύπον δέδορκα] μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐναργέστερον. ὡς, Ἤκουσας ὁ κόραξ οἷος ἦλθ' ἐξ ὀρέων. ὁ μέντοι ἐκτάσιμος ῥυθμὸς ὡς καὶ παρ' Εὐριπίδῃ, Ἐγὼ δὲ οὔτι τοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις, πολύς ἐστιν ἐν θρηνῳδίᾳ, καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς. ¶Παλαίχθων] ἀντὶ τοῦ, ὁ ἐκ παλαιοῦ κληρωσάμενος τήνδε γῆν. τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης. διὸ καὶ Ἄρειον τεῖχος καὶ Ἀρητιὰς κρήνη παρ' αὐτοῖς. ἄρης αἰτιατικόν. ὦ ἄρης κλητικόν. οἱ δὲ γράφουσιν, ὦ Ἄρη. ἱερὰ δὲ Θήβη τοῦ Ἄρεως. ἔστιν οὖν πάλαι τὴν γῆν κατέχων. ¶Ἔπιδ' ἔπιδε πόλιν] ἠθικὸν τὸ δὶς ἀναφωνῆσαι. δειλίαν γὰρ ἐμφαίνουσι διὰ τοῦτο.

ἄν ποτ' εὐφιλήταν ἔθου· θεοὶ πολιάοχοι χθονὸς
ἴθ' ἴτε πάντες, ἴδετε παρθένων
ἱκέσιον λόχον δουλοσύνας ὕπερ.
κῦμα γὰρ περὶ πόλιν δοχμολόφων ἀνδρῶν
καχλάζει πνοαῖς Ἄρεος ὀρόμενον.
ἀλλ' ὦ Ζεῦ πάτερ παντελὲς πάντως
ἄρηξον δαΐων ἅλωσιν. Ἀργεῖοι γὰρ πόλισμα Κάδμου
κυκλοῦνται· φόβος δ' ἀρηΐων ὅπλων·
διάδετοι δὲ γενύων ἱππίων κινύρονται φόνον χαλινοί.
ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
δορυσσόοις σαγαῖς, πύλαις ἑβδόμαις
προσίστανται, πάλῳ λαχόντες. σύ τ' ὦ Διογενές,
φιλόμαχον κράτος, ῥυσίπολις γενοῦ

¶Εὐφιλήταν] εὖ περιληφθεῖσαν. ¶Ἴθ' ἴτε πάντες] τινὲς ἴτ' ἴτε φασί· διὰ δὲ τὸ κακόφωνον ἐστὶ τὸ τ, τὸ θ παρελήφθη τῷ ποιητῇ. ἄλλοι δὲ ἴθι ἑνικῶς λέγουσι, πρὸς τὸν Ἄρη τοῦτο ἀποτείνοντες, τὸ δὲ ἕτερον εἰς τοὺς θεούς. ὁ δὲ νοῦς ἐστὶ τοιοῦτος, ἔλθετε ὦ θεοὶ σύμπαντες, ἴδετε καὶ θεάσασθε τὸν ἱκέσιον λόχον τῶν παρθένων, ἤγουν τὸ πλῆθος καὶ τὴν συνάθροισιν τῶν παρθένων γυναικῶν, τὸν ἱκετεύοντα ὑμᾶς ὑπὲρ τοῦ μὴ ἐᾶσαι δεδουλωμένας αὐτὰς τοῖς ἐχθροῖς. Ἄλλως. σαφὲς ἐνταῦθα ὅτι ἐκ παρθένων ἐστὶν ὁ χορός. ἐπίδετε, φησίν, ἡμᾶς ἱκετευούσας ὑπὲρ δουλείας. ἱκετεύομεν γὰρ ὑπὲρ τοῦ μὴ εἰς δουλείαν ἀχθῆναι. ¶Κῦμα γὰρ περὶ πόλιν δοχμολόφων ἀνδρῶν] τοῦτο τροπικῶς εἶπεν. ἤτοι, ὀργὴ καὶ θυμὸς τῶν δοχμολόφων ἀνδρῶν ταῖς πνοαῖς ταῖς ἐκπεμπομέναις τοῦ στόματος αὐτῶν, καχλάζει καὶ τῇ ῥιποῦσθαι. δοχμολόφων δὲ, τῶν ἐπινευόντων τοὺς λόφους, ἤτοι τὰ κράνη αὐτῶν· ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους. ἢ δοχμολόφων, τῶν κορυθαιόλων. καὶ Ὅμηρος ἔφη, κορυθαίολος Ἕκτωρ. τὸ γὰρ κινούμενον κράνος τῇδε κἀκεῖσε, δόχμιον γίνεται· ἡ δὲ κίνησις κατηγορεῖται τοῦ ὑπερέχοντος. ἄλλοι δὲ δοχμολόφων φασί, διότι οἱ πολεμοῦντες κόρυθας ὑπὲρ τῆς κεφαλῆς ἐπεφόρουν, τρεῖς λόφους ἐχούσας, νεύοντας τῇδε κἀκεῖσε. ¶Καχλάζει πνοαῖς] ταῖς πνοαῖς τῶν ἀνδρῶν καχλάζει, ὥσπερ κῦμα· καχλάζει δὲ οὐ βορέου ἢ νότου πνοῇ, ἀλλὰ τῇ τοῦ Ἄρεος. ¶Παντελὲς] πάντων ἔχων τέλος. ¶Πάντως ἄρηξον δαΐων ἅλωσιν] πάντως καὶ ἡμῖν βοήθησον, ὥστε μὴ ὑπὸ τῶν πολεμίων ἅλωσιν γενέσθαι. ¶Φόβος δ' ἀρηΐων] λείπει ἡ ὑπό. ὁ ὑπὸ τῶν ἀρηΐων ὅπλων φόβος καθίσταται. ¶Διάδετοι δὲ γενύων ἱππίων] οἱ χαλινοὶ δὲ οἱ διάδετοι, ἤγουν οἱ κρεμάμενοι τῶν ἱππικῶν γενύων ἢ στομάτων, κινύρονται φόνον, ἤτοι ἦχόν τινα φονικὸν καὶ φονεργάτην ἐκπέμπουσιν. Ἄλλως. προμηνύουσιν ἡμῖν τὴν ἀναίρεσιν καὶ οἷον προφωνοῦσιν οἱ ἐν τοῖς γένυσι τῶν ἵππων χαλινοί. ¶Δορυσσόοις] ταῖς διὰ τῶν δοράτων σωζούσαις πανοπλίαις, πολεμικαῖς πανοπλίαις. ¶Σύ τ' ὦ Διογενὲς] σύ τε ὦ κράτος ἐν πολέμοις ἀθλοῦν. ὑπὸ δὲ τῆς ἀγωνίας οὐχ ἕνα θεὸν ἐπικαλοῦνται, ὡς παρθένοι. καὶ ταῦτα δὲ δόχμια ἐστὶ καὶ ἴσα, ἐάν τις αὐτὰ ἐκ τοῦ συμμέτρου βαίνῃ. ῥυθμοὶ γάρ εἰσι. βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, καὶ οὐ βαίνεται.

Παλλάς, ὅ, θ' ἵππιος ποντομέδων ἄναξ
ἰχθυβόλῳ μαχανᾷ Ποσειδᾶν ἐπίλυσιν
φόβων, ἐπίλυσιν δίδου. σύ τ' Ἄρης, φεῦ φεῦ,
Κάδμου ἐπώνυμον πόλιν φύλαξον,
κήδεσαί τ' ἐναργῶς. καὶ Κύπρις, ἅτε
γένους προμάτωρ, ἄλευσον· σέθεν ἐξ αἵμα-
τος γεγόναμεν· λιταῖς σε θεοκλύτοις ἀπύουσαι
πελαζόμεσθα. καὶ σὺ λύκει' ἄναξ, λύκειος
γενοῦ στρατῷ δαΐῳ, στόνων ἀϋτᾶς· σύ τ' ὦ
Λητογένεια κούρα, τόξον εὖ πυκάζου
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἒ. ὄτοβον ἁρμάτων
ἀμφὶ πόλιν κλύω, ὦ πότνια Ἥρα·
ἔλακον ἀξόνων βριθομένων χνόαι,
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἒ. δορυτίνακτος δ' αἰθὴρ ἐπιμαίνεται.
τί πόλις ἄμμιν πάσχει, τί γενήσεται;
ποῖ δ' ἔτι τέλος ἐπάγει θεός; ἒ ἒ ἒ ἒ. ἀκροβόλων δ' ἐπάλ-

¶Ἄναξ ἰχθυβ.] καὶ σὺ ὦ Πόσειδον, ὃς ἀνάσσεις ἐπὶ θήρᾳ ἰχθύων. ¶Ἐπίλυσιν δίδου] πάλιν δὶς εἶπε τὸ ἐπίλυσιν. τεταραγμένης γὰρ ψυχῆς ταῦτα ἤθη, καὶ ἐμφάσεως ἕνεκα λεγόμενα. ¶Κήδεσαί τ' ἐναργῶς] κηδεστὴς ἐναργῶς γενοῦ. Ἁρμονίαν γὰρ τὴν Ἀφροδίτης καὶ Ἄρεως εἶχεν ὁ Κάδμος. ἢ ἀντὶ τοῦ, φρόντισον ἡμῶν καὶ τῆς πόλεως ἐναργῶς. ¶Καὶ Κύπρις, ἅτε γένους] Κύπρις ἡ Ἀφροδίτη λέγεται· ταύτης δὲ καὶ Ἄρεως θυγάτηρ ἡ Ἁρμονία ἐγένετο, ἣν ὁ Κάδμος ἔλαβεν εἰς γυναῖκα. ἀφ' ἧς οἱ ἀπὸ τοῦ Κάδμου παῖδες γεγόνασι. φησὶν οὖν ὁ χορὸς πρὸς τὴν Ἀφροδίτην καὶ τὴν ταύτης θυγατέρα Ἁρμονίαν, βοήθησον ἡμῖν, ὅτι ἀπὸ τοῦ αἵματος τοῦ σοῦ ἐγεννήθημεν, ἀντὶ τοῦ, ἀπὸ σοῦ καταγόμεθα. ¶Θεοκλύτοις] μεγάλαις, ἃς καὶ ὁ θεὸς ἀκούσειεν. ¶Λύκει' ἄναξ, λύκειος γενοῦ] λύκειόν φασι τὸν Ἀπόλλωνα, ἢ διὰ τὸ ἐν τῇ Λυκίᾳ τιμᾶσθαι αὐτόν, ἢ διὰ τὸ ἀνατίθεσθαι αὐτῷ λύκον ὡς ἱερόν, ἢ διὰ τὸ λύκους ἀνελεῖν. ἤ, ὅ, γε κρεῖττόν ἐστι, διὰ τὸ λυκόφως ποιεῖν, τῆς νυκτὸς ὑποχωρησάσης. Ἀπόλλων γὰρ ὁ ἥλιος. Ἄλλως. πολέμιος. εἶτα, ὡς γὰρ λύκος, αὐτοῖς ἐφόρμησον, ἀνθ' ὧν ἡμεῖς νῦν θρηνοῦμεν. οὕτως τινὲς τὸ λύκειος. ἤ, ἐπιβλαβὴς τοῖς πολεμίοις ἐπὶ τῆς αὐτῆς τῶν στόνων γενοῦ, ὅ ἐστιν ἐπὶ τοῦ πολέμου. ¶Εὖ πυκάζου] ἤτοι ἐντέχνως καὶ ἐπιστημόνως ἔντεινε τὸ τόξον. τὸ γὰρ πύκα ἀντὶ τοῦ ἐπιστημόνως παραλαμβάνεται. ¶Ὄτοβον ἁρμάτων] ἀκούω, φησί, τὸν τῶν χνοῶν κτύπον. ¶Ἔλακον ἀξόνων] παρὰ τὸ τοῦ Ὁμήρου, μέγα δ' ἔβραχε φήγινος ἄξων. χνόαι δέ εἰσι τὰ ἀκροξόνια, περὶ ἃ αἱ χοινικίδες, αἳ καὶ παραξονίτιδες λέγονται. λέγουσι δὲ καὶ μετὰ τοῦ ι οἱ ποιηταὶ τὸ χνοῖαι. ¶Ἀκροβόλων δ' ἐπάλξεων λιθάς] ἀκροβολίζεσθαι ἐστὶ τὸ ἐν πολέμοις κατάρχεσθαι.

ξεων λιθὰς ἔρχεται. ὦ φίλ' Ἄπολλον
κόναβος ἐν πύλαις χαλκοδέτων σακέων,
καὶ διόθεν πολε- μόκραντον ἁγνὸν τέλος.
ἐν μάχαισί τε μάκαι- ρ' ἄνασσ' Ὄγκα πρὸ πόλεως
ἑπτάπυλον ἕδος ἐπιρρύου. ἰὼ πανάρκεις θεοί,
ἰὼ τέλειοι τέλειαί τε γᾶς τᾶσδε πυργοφύλακες,
πόλιν δορίπονον μὴ προδῶθ' ἑτεροφώνῳ στρατῷ.
κλύετε παρθένων, κλύετε πανδίκοις
χειροτόνους λιτὰς, ἰὼ φίλοι δαίμονες
λυτήριοι ἀμφιβάντες πόλιν. δείξαθ' ὡς φιλοπόλιες,

¶Λιθὰς] λιθάς, ἤτοι σωρὸς λίθων, ἔρχεται ἐπὶ τῶν ἐπάλξεων, ἤτοι τῶν μικρῶν πυργισκίων τῶν ἀκροβόλων, ἤτοι τῶν πόρρωθεν βαλλομένων, διὰ τὸ ἐν ἄκρῳ τῶν τειχῶν καὶ ἄνωθεν ἵστασθαι. ¶Κόναβος ἐν πύλαις] κόναβος καὶ ἦχος καὶ κτύπος τῶν σακέων καὶ ἀσπίδων τῶν ὑπὸ χαλκοῦ συνδεδεμένων, ἐν μάχαις τὸ τέλος καὶ πλήρωμα ζωῆς (ἤτοι θάνατος) ἁγνόν, ἐν τῷ πολέμῳ πληρωθὲν, ἢ ὑπὸ τοῦ πολέμου γενόμενον. ἐπεὶ γὰρ μιαρὸς ὁ ἐν πολέμῳ φόνος, ἁγνὸν μᾶλλον τοῦτον ἔφησεν, ἐπεὶ οἱ πολεμίους ἀποκτείναντες, καθαροί εἰσι μᾶλλον ἢ οἱ φίλους ἀνελόντες. τέλος δὲ ὁ φόνος καὶ ὁ πόλεμος. τέλος γὰρ ὄντες τοῦ βίου ἐν τούτῳ πολλάκις εὑρίσκουσι. τέλος δὲ τῆς τοῦ ἀνθρώπου ζωῆς ὁ θάνατος. ¶Μάκαιρ' ἄνασσ' Ὄγκα] Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις ἐτιμᾶτο. ἐπεύχεται δὲ, τὴν ἐπιχώριον Ἀθηνᾶν καλῶν εἰς βοήθειαν, ὡς ὁ Θετταλὸς τὸν Δία, λέγων, Ζεῦ ἄνα Δωδωναῖε. Καὶ ὁ Λύκιος τὸν Ἀπόλλωνα, Κλῦθι ἄναξ ὅς που Λυκίης ἐν πίονι δήμῳ εἶς. Καὶ ὁ Ἰδαῖος, Ζεῦ πάτερ Ἴδηθεν μεδέων. Ὀγκαία τοίνυν ἡ Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις. Ὄγκα δὲ παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ, καὶ Ὀγκαῖαι πύλαι. μέμνηται τούτου καὶ Ἀντίμαχος καὶ Ῥιανός. Φοῖνιξ δὲ τὸ γένος ἄνωθεν ὁ Κάδμος ἐτύγχανεν ὁ τῶν Θηβαίων οἰκιστὴς, διὸ καὶ ὡς ἐκ Φοινίκων κατηγμένος, Ὄγκαν Ἀθηνᾶν παρὰ Θηβαίοις τιμᾶσθαι ἐποίησε. ¶Πρὸ πόλεως ἑπτάπυλον ἕδος ῥύου] οὕτως ῥητέον, ὦ μάκαιρ' ἄνασσα Ὄγκα, ὦ μακαρία θεά, Ἀθηνᾶ πρὸ τῆς πόλεως ἱδρυμένη, βοήθησον αὐτῇ. κάλλιον δὲ εἰπεῖν, τὸ πρὸ τῆς πόλεως, οὕτως, ὦ Ὄγκα Ἀθηνᾶ ἡ πρὸ τῆς πόλεως, ἤτοι ἡ οὖσα ἐζωγραφημένη πρὸ τῆς πόλεως, ἤγουν ἔμπροσθεν, ῥῦε τὸ ἑπτάπυλον ἕδος, ἤτοι τὴν ἑπτάπυλον πόλιν τῶν Θηβαίων. γίνωσκε γὰρ ὅτι ἐζωγράφουν ταύτην πρὸ τῶν πυλῶν τῆς πόλεως. ἣν καὶ ὁ Λυκόφρων πυλαῖτιδα λέγει, διὰ τὸ ἔξωθεν ἵστασθαι ταύτην τῶν τῆς πόλεως πυλῶν. ¶Πανάρκεις θεοὶ] κατὰ πάντα βοηθοί. τοῦτο γὰρ ἴδιον θεῶν.
¶Ἑτεροφώνῳ στρατῷ] τῷ μὴ βοιωτιάζοντι. ἐπειδὴ γὰρ Ἕλληνες καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπε βαρβαροφώνῳ. Ἄλλως. τῷ ἔχοντι ἄνδρας ἐκ πολλῶν ἐθνῶν. Ὅμηρος, Ἄλλη δ' ἄλλων γλῶσσα. ¶Κλύετε παρθένων] ἀκούετε ἡμῶν τῶν παρθένων, δικαίως εἰς οὐρανὸν ἀνεχουσῶν τὰς χεῖρας. τοῦτο δὲ τὴν ἐκ ψυχῆς ἱκετείαν δηλοῖ. καὶ Ὅμηρος, Χεῖρας ἀνασχόντες, μεγάλ' εὐχετόωντο. ¶Λυτήριοι ἀμφιβάντες] ὦ θεοὶ περὶ τὴν πόλιν ὄντες λυτήριοι, ἤτοι ἀφανισταὶ τῶν κακῶν, καὶ σωτῆρες, ἐξ ἔργων αὐτῶν δείξατε ὅτι φιλοπόλιές ἐστε, ἤτοι τὴν ἡμετέραν ἀγαπῶντες πόλιν. Ἄλλως. ἀμφιβάντες, παρὰ τὸ, Ὃς Χρύσην ἀμφιβέβηκας.

μέλεσθ' ἱερῶν δημίων, μελόμενοι δ' ἀρήξατε·
φιλοθύτων δέ τοι πόλεως ὀργίων μνήστορές ἐστέ μοι.
ἐτ. Ὑμᾶς ἐρωτῶ θρέμματ' οὐκ ἀνασχετά,
ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια,
στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν,
αὔειν, λακάζειν, σωφρόνων μισήματα;
μήτ' ἐν κακοῖσι, μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
κρατοῦσα μὲν γὰρ, οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ', οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι, διερροθήσατ' ἄψυχον κάκην·
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλετε·
αὐτοὶ δ' ὑπ' αὐτῶν ἔνδοθεν πορθούμεθα.

¶Μέλεσθ' ἱερῶν δημίων] ἤτοι, φροντίζετε τῶν ἀνακειμένων καὶ ἀποκειμένων ἐν τοῖς ὑμῶν ναοῖς ἱερῶν, δημίων, τῶν ἀπὸ τοῦ δήμου. κοινῇ γὰρ πάντες ἐκείνοις ἀνετίθουν χρήματα. περιφραστικῶς οὖν εἶπε τοῦτο, μᾶλλον εἰπεῖν, φροντίζετε τῶν ναῶν ὑμῶν, μὴ κατασκαφθῶσιν ὑπὸ τῶν πολεμίων. Ἄλλως. μελέτην ἔχετε τῶν ἱερῶν δημοσίων. ¶Πόλεως ὀργίων μνήστορες] τῶν ἐκ τῆς πανηγύρεως τελετῶν μνημονεύσατε. ¶Ὑμᾶς ἐρωτῶ θρέμματ' οὐκ ἀνασχετά, Ἦ ταῦτ' ἄριστα] καθ' ὑπόκρισιν, ἢ ἐν ἐρωτήσει μετ' ἐπιτιμήσεως ἀναγνωστέον. ὁ Ἐτεοκλῆς ἀκούσας τῶν παρθένων ὀδυρομένων καὶ παρακαλουσῶν τοὺς θεοὺς, φησὶ πρὸς αὐτὰς, ἐρωτῶ ὑμᾶς θρέμματα οὐκ ἀνασχετὰ, ἆρα ταῦτα, ἃ ποιεῖτε, σωτήρια τῷ στρατῷ καὶ τῇ πόλει τυγχάνει· δηλονότι τὸ πεσούσας ὑμᾶς πρὸς τὰ εἴδωλα τῶν πολιούχων θεῶν, αὔειν, ἤτοι βοᾶν καὶ θρηνεῖν καὶ φωνεῖν, σωφρόνων μισήματα, τοῦτ' ἔστι τὰ μισούμενα τοῖς σώφροσιν. Ἄλλως. εἰώθασιν οἱ ποιηταὶ δόγματά τινα εἰς ὠφέλειαν τῶν ἀκουόντων εἰσφέρειν. οὕτως καὶ ὁ Αἰσχύλος ἐνταῦθα εἰσάγει τὸν Ἐτεοκλέα ἀπαγορεύοντα μετὰ ἀπειλῆς, μὴ ἀπάγειν τὸν ὄχλον εἰς δειλίαν, ὥστε διὰ φόβον αὐτοὺς φυγεῖν. ἀγόρευσε δὲ ζώοις παρέβαλε τὰς παρθένους, ὅτι ἐν φαντασίᾳ γεγόνασι περὶ τοῦ μὴ γυναικεία καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀληθῆ. εἰσὶ γὰρ καὶ φαντασίαι ἀληθεῖς. ¶Αὔειν, λακάζειν] ταῦτα ἐπὶ τῶν ὀρνέων λέγεται. λακάζειν δὲ τὸ ἠχεῖν, γίνεται ἀπὸ τοῦ λήκω ῥήματος, κατὰ τροπὴν τοῦ η εἰς α, καὶ κατὰ παραγωγήν. ¶Σωφρόνων μισήματα] ταῦτα, τὸ προσπίπτειν τοῖς ξοάνοις, καὶ βοᾶν. ταῦτα οὖν ἃ πράττετε, μισοῖντ' ἂν οἱ εὖ φρονοῦντες ἄνδρες. ¶Εὐεστοῖ] εὐδαιμονία, εὐετηρία. ¶Οὐχ ὁμιλητὸν θράσος] ἐν θορύβοις οὐκ ἀνεκτόν. ¶Διερροθήσατε] διὰ τοῦ θορύβου ἐμβεβλήκατε. ¶Κάκην] δειλίαν. ¶Αὐτοὶ δ' ὑπ' αὐτῶν ἔνδοθεν] αὐτοὶ δὲ καὶ ἡμεῖς ὑπ' αὐτῶν (ἤτοι ὑφ' ὑμῶν τῶν γυναικῶν, δηλονότι) πορθούμεθα. τοῦτ' ἔστι, καὶ μὴ πολεμούμενοι, πολεμούμεθα. γράφεται καὶ, ὑφ' αὐτῶν, ἤτοι αὐτοὶ ὑφ' ἑαυτῶν.

τοιαῦτα δ' ἂν γυναιξὶ συνναίων ἔχοις.
κ' εἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνὴρ γυνή τε, χὤ,τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω
τἄξωθεν· ἔνδον δ' οὖσα, μὴ βλάβην τίθει.
ἤκουσας, ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;
Χο. Ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού-
σασα τὸν ἁρματόκτυπον ὄτοβον ὄτοβον, ὅτε τε
σύριγγες ἔκλαγξαν ἑλίτροχοι, ἱππι-
κῶν τ' ἀύπνων πηδαλίων διὰ στόμα
πυριγενετᾶν χαλινῶν.
Ετ. Τί οὖν; ὁ ναύτης ἆρά γ' ἐς πρῷραν φυγὼν
πρύμνηθεν, ηὗρε μηχανὴν σωτηρίας,

¶Κ' εἰ μή τις ἀρχῆς τῆς ἐμῆς] τοῦτό φησιν ὁ Ἐτεοκλῆς πρὸς τὸν χορὸν, ὅτι ἐὰν μή τις ἀκούσῃ τῆς ἐμῆς ἐξουσίας, καὶ τὸ ἐμὸν ποιήσῃ πρόσταγμα, εἴτε ἀνὴρ, εἴτε γυνὴ, εἴτε τὸ τούτων μεταίχμιον, καὶ μέσον, ὀλεθρία ψῆφος κατ' αὐτοῦ συμβουλεύσεται· τὸν θάνατον δὲ λιθόλευστον, τὸν διὰ βολῆς λίθων γινόμενον, οὔτι μὴ φύγῃ, οὐδαμῶς ἐκφύγῃ. τὸ δὲ μὴ, παρέλκον. ¶Μεταίχμιον] καὶ τὸ μέσον λέγεται μεταίχμιον. εἰπὼν οὖν ἄνδρα καὶ γυναῖκα, ἀναγκαίως δέδωκε νοῆσαι τὸ τούτων μέσον, καὶ παῖδα νεογνὸν, πρὸς τὸ τῆς ἑκατέρων ἡλικίας. Ἄλλως. νέος ἢ γέρων. ἀκαίρως δὲ ἡ λέξις τὸ μεταίχμιον. καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. Ἄλλως. κακοζήλως ἐρρέθη τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. γένους γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, μέσον τί ἂν εἴη. εἰ μὴ ἄρα τις λέγει ὅτι ὀργιζόμενος, οὕτως εἴρηκεν, ὡς καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν, φησὶ, κἂν ὄστρακον ᾖ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν σίδηρος, κἂν χαλκὸς, ὑπερορίζεσθαι. ¶Δήμου δ' οὔτι] τὸν ἐκ δήμου συστῆναι μόρον. ¶Μέλει γὰρ] ἀνδρὶ γὰρ διὰ φροντίδος ἐστὶ τὰ ἔξωθεν, μὴ γυνὴ περὶ τούτων βουλευέτω. ἔνδον δὲ οὖσα ἡσυχαζέτω, καὶ μὴ βλάβην ποιείτω τῇ πόλει, δειλαινομένη καὶ κλαίουσα καὶ τοὺς πολίτας θορυβοῦσα. ¶Ὦ φίλον] ἀπολογοῦνται διότι ἐθορύβησαν. ¶Σύριγγες ἔκλαγξαν] περιφραστικῶς τοὺς τροχούς φησι. σύριγγες δέ εἰσι τὰ ξύλα τὰ μέσον τοῦ περιφεροῦς ξύλου τοῦ τροχοῦ διαπερονούμενα. ¶Ἑλίτροχοι] περὶ ἃς ἑλίσσονται οἱ τροχοί. ¶Ἀύπνων] τῶν μὴ ἐώντων με ἠρεμεῖν. ¶Τί οὖν ὁ ναύτης] ὁ Ἐτεοκλῆς, εἰπόντος τοῦ χοροῦ ὅτι διὰ τοῦτο ἔφυγον πρὸς τοὺς ναοὺς τῶν θεῶν, ὅτι ἐφοβήθην ἀκούσασα τὸν κτύπον τῶν ἁρμάτων καὶ τῶν χαλινῶν τῶν ἵππων, φησὶ πρὸς αὐτὸν, τί οὖν, ὁ ναύτης ἄρα τῆς νηὸς καταποντιζομένης ἐν τῇ θαλάσσῃ, εὗρε μηχανὴν σωτηρίας, φυγὼν ἀπὸ πρύμνης εἰς πρῷραν; οὕτως οὖν καὶ ὑμεῖς μηχανὴν σωτηρίας εὑρήκατε περιιοῦσαι τὴν πόλιν, καὶ καταλείψασαι τὰ οἰκεῖα οἰκήματα.

νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

χο. Ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ-
χαῖα βρέτη, πίσυνος θεοῖς, νιφάδος ὅτ' ὀ-
λοᾶς νιφομένης βρόμος ἐν πύλαις, δὴ τό-
τ' ἤρθην φόβῳ πρὸς μακάρων λιτάς, πόλεως
ἵν' ὑπερέχοιεν ἀλκάν.

ἐτ. Πύργον στέγειν εὔχεσθε πολεμίων δόρυ.

χο. Οὐκοῦν τάδ' ἔσται πρὸς θεῶν. Ετε. Ἀλλ' οὖν θεοὺς
τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

χο. Μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν
ἅδε πανήγυρις, μηδ' ἐπίδοιμι τάν-
δ' ἀστυδρομουμέναν πόλιν, καὶ στράτευμ' ἅ-
πτόμενον πυρὶ δαΐῳ.

ἐτ. Μή μοι θεοὺς καλοῦσα, βουλεύου κακῶς·
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας

¶Ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον] ὅτι βρόμος καὶ ἦχος καὶ κτύπος γίνεται ἐν πύλαις (τοῦτο δὲ ἔξωθεν, νιφάδος ὀλοῆς) τότε δὴ ἦλθον πρὸς ἀρχαῖα καὶ πατρῷα εἴδωλα τῶν θεῶν, θαρρῶν τοῖς θεοῖς· τότε ἤρθην πρὸς μακάρων λιτάς. ἀσυνδέτως ταῦτα. ἢ οὕτως, ἐπὶ τὰ δαιμόνων ἦλθον βρέτη, διότι βρόμος ἐν πύλαις νιφάδος ὀλοῆς νιφομένης, ἤγουν συχνῶν βελῶν καταφερομένων πρὸς τὴν πόλιν, καὶ οὕτω τὸ ἑξῆς· τότε δὴ ἦλθον πρὸς μακάρων λιτάς. ¶Ἀρχαῖα βρέτη] ἤγουν τὰ πατρῷα εἴδωλα τῶν θεῶν. Ἄλλως. ἀρχαῖα, βασιλικά, παρὰ τὴν ἀρχήν. ¶Νιφάδος] νιφάδα φησὶ τὸ τῶν πολεμίων πλῆθος. ¶Ὑπερέχοιεν ἀλκάν] τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν. ¶Πύργον στέγειν εὔχεσθε] τὸν πύργον, ἤτοι τὰ ἡμέτερα τείχη, μένειν ἀσφαλῶς, καὶ ὑπομένειν τὸ πολεμικὸν δόρυ. οὐκοῦν ταῦτα, ἃ φής, ἔσται πρὸς θεῶν, ἤτοι τὸ ἀλκὴν καὶ βοήθειαν παρέχειν ἡμῖν. Ἄλλως. ὅτι εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἁπλῶς, ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους. ¶Ἀλλ' οὖν θεοὺς] οὐκ εὐλόγως λέγει, τοὺς τῆς πόλεως θεοὺς φεύγειν, πορθηθείσης αὐτῆς. λέγεται γὰρ ὅτι ὅτε ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφαίνοντο οἱ θεοὶ τοῖς Τρωσὶν ἀπερχόμενοι ἐκ τῶν ναῶν καὶ ἀγάλματα αὐτῶν. ¶Μήποτ' ἐμὸν κατ' αἰῶνα] μηδέποτε αὕτη ἡ πανήγυρις τῶν θεῶν, ἤγουν ἡ συναγωγὴ τῶν ἐνταῦθα ὄντων, καταλείποι τὴν πόλιν κατ' ἐμὸν χρόνον. ἤγουν ἡμῶν ζώντων. Ἄλλως. μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί. εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ Ὁμήρῳ τό, Θεῖον δύσονται ἀγῶνα, τὴν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγήν, πανήγυριν τραγικώτερον εἴρηκεν. ¶Ἁπτόμενον] γράφεται τυφόμενον. ἤγουν καιόμενον πολεμίῳ πυρί. ¶Πειθαρχία γάρ ἐστι] πάνυ εὐφυῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν, ὡς γυναῖκα, ὀνόματι μητέρα τῆς εὐπραξίας τοῦ σωτῆρος, λέγων, ἡ πειθαρχία γυνή ἐστι μήτηρ τῆς σωτῆρος εὐπραξίας. οὗτος λέγεται λόγος, ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν. πειθόμεναι γὰρ αἱ πόλεις

Τοιαῦτα δ' ἂν γυναιξὶ σὺν ναίων ἔχοις.
κ' εἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνὴρ γυνή τε, χὤ, τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω
τἄξωθεν· ἔνδον δ' οὖσα, μὴ βλάβην τίθει.
ἤκουσας, ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;
Χο. Ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού-
σασα τὸν ἁρματόκτυπον ὄτοβον ὄτοβον, ὅτι τε
σύριγγες ἔκλαγξαν ἑλίτροχοι, ἱππι-
κῶν τ' ἀύπνων πηδαλίων διὰ στόμα
πυριγενετᾶν χαλινῶν.
Ετ. Τί οὖν; ὁ ναύτης ἄρα γ' ἐς πρῷραν φυγὼν
πρύμνηθεν, ηὗρε μηχανὴν σωτηρίας,

¶ Κ' εἰ μή τις ἀρχῆς τῆς ἐμῆς] τοῦτό φησιν ὁ Ετεοκλῆς πρὸς τὸν χορόν, ὅτι ἐὰν μή τις ἀκούσῃ τῆς ἐμῆς ἐξουσίας, καὶ τὸ ἐμὸν ποιήσῃ πρόσταγμα, εἴτε ἀνήρ, εἴτε γυνή, εἴτε τὸ τούτων μεταίχμιον, καὶ μέσον, ὀλεθρία ψῆφος κατ' αὐτοῦ συμβουλεύσεται· τὸν θάνατον δὲ λιθόλευστον, τὸν διὰ βολῆς λίθων γινόμενον, οὔτι μὴ φύγῃ, οὐδαμῶς ἐκφύγῃ. τὸ δὲ μή, παρέλκει. ¶ Μεταίχμιον] καὶ τὸ μέσον λέγεται μεταίχμιον. εἰπὼν οὖν ἄνδρα καὶ γυναῖκα, ἀναγκαίως δίδωσι νοῆσαι τὸ τούτων μέσον, καὶ παῖδα νεογνόν, πρὸς τὰ τῆς ἑκατέρων ἡλικίας. Αλλως. νέος ἢ γέρων. ἀκαίρως δὲ ἡ λέξις τὸ μεταίχμιον. καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. Αλλως. κεκινδυνευμένως τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. τίνος γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, μέσον ἄλλο εἴη. εἰ μὴ ἄρα τις λέγοι ὅτι ὀργιζόμενος, οὕτως εἴρηκεν, ὡς καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν, φησί, κἂν ὄστρακον ᾖ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν σίδηρος, κἂν χαλκός, ἐξορίζεσθαι. ¶ Δήμου δ' οὔτι] τὸν ἐκ δήμου συστῆσαι μόρον. ¶ Μέλει γὰρ] ἀνδρὶ γὰρ διὰ φροντίδος ἐστὶ τὰ ἔξωθεν, μὴ γυνὴ περὶ τούτων βουλευέτω. ἔνδον δὲ οὖσα ἡσυχαζέτω, καὶ μὴ βλάβην ποιείτω τῇ πόλει, ὀλολύζουσα καὶ κλαίουσα καὶ τοὺς πολίτας θορυβοῦσα. ¶ Ω φίλον] ἀπολογοῦνται διότι ἐθορύβησαν. ¶ Σύριγγες ἔκλαγξαν] περιφραστικῶς τοὺς τροχούς φησι. σύριγγες δέ εἰσι τὰ ξύλα τὰ μέσον τοῦ περιφεροῦς ξύλου τοῦ τροχοῦ διαπερονώμενα. ¶ Ελίτροχοι] περὶ ἃς ἑλίσσονται οἱ τροχοί. ¶ Αὐπνων] τῶν μὴ ἐώντων μὴ ἠρεμεῖν. ¶ Τί οὖν ὁ ναύτης] ὁ Ετεοκλῆς, εἰπόντος τοῦ χοροῦ ὅτι διὰ τοῦτο ἔφυγον πρὸς τοὺς ναοὺς τῶν θεῶν, ὅτι ἐφοβήθην ἀκούσασα τὸν κτύπον τῶν ἁρμάτων καὶ τῶν χαλινῶν τῶν ἵππων, φησὶ πρὸς αὐτόν, τί οὖν, ὁ ναύτης ἄρα τῆς νηὸς καταποντιζομένης ἐν τῇ θαλάσσῃ, εὗρε μηχανὴν σωτηρίας, φυγὼν ἀπὸ πρύμνης εἰς πρῷραν; οὕτως οὖν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας εὑρήσετε προσιοῦσαι τῇ πόλει, καὶ καταλείψασαι τὰ οἰκεῖα οἰκήματα.

νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

χο. Ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ-
χαῖα βρέτη, πίσυνος θεοῖς, νιφάδος ὅτ' ὀ-
λοᾶς νιφομένης βρόμος ἐν πύλαις, δὴ τό-
τ' ἤρθην φόβῳ πρὸς μακάρων λιτάς, πόλεως
ἵν' ὑπερέχοιεν ἀλκάν.

ετ. Πύργον στέγειν εὔχεσθε πολεμίων δόρυ.

χο. Οὐκοῦν τάδ' ἔσται πρὸς θεῶν. Ετ. Ἀλλ' οὖν θεοὺς
τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

χο. Μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν
ἅδε πανήγυρις, μηδ' ἐπίδοιμι τάν-
δ' ἀστυδρομουμέναν πόλιν, καὶ στράτευμ' ἅ-
πτόμενον πυρὶ δαΐῳ.

ετ. Μή μοι θεοὺς καλοῦσα, βουλεύου κακῶς·
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας

¶Ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον] ὅτι βρόμος καὶ ἦχος καὶ κτύπος γέγονεν ἐν πύλαις (τοῦτο δὲ ἔξωθεν, νιφάδος ὀλοῆς) τότε δὴ ἦλθον πρὸς ἀρχαῖα καὶ πατρῷα εἴδωλα τῶν θεῶν, θαρρῶν τοῖς θεοῖς· τότε ἤρθην πρὸς μακάρων λιτάς. ἀσυνδέτως ταῦτα. ἢ οὕτως, ἐπὶ τὰ δαιμόνων ἦλθον βρέτη, διότι βρόμος ἐν πύλαις νιφάδος ὀλοῆς νιφομένης, ἤγουν συχνῶν βελῶν καταφερομένων πρὸς τὴν πόλιν, καὶ οὕτω τὸ ἑξῆς· τότε δὴ ἦλθον πρὸς μακάρων λιτάς. ¶Ἀρχαῖα βρέτη] ἤγουν τὰ πατρῷα εἴδωλα τῶν θεῶν. Ἄλλως. ἀρχαῖα, βασιλικά, παρὰ τὴν ἀρχήν. ¶Νιφάδος] νιφάδα φησὶ τὸ τῶν πολεμίων πλῆθος. ¶Ὑπερέχοιεν ἀλκάν] τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν. ¶Πύργον στέγειν εὔχεσθε] τὸν πύργον, ἤτοι τὰ ἡμέτερα τείχη, μένειν ἀσφαλῶς, καὶ ὑπομένειν τὸ πολεμικὸν δόρυ. ἐκεῖνο ταῦτα, ἃ φής, ἔσται πρὸς θεῶν, ἤτοι τὸ ἀλκὴν καὶ βοήθειαν παρέχειν ἡμῖν. Ἄλλως. ὅτι εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἀπλῶς, ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους. ¶Ἀλλ' οὖν θεούς] ἐκ ἀδόξους λέγει, τοὺς τῆς πόλεως θεοὺς φεύγειν, πορθηθείσης αὐτῆς. λέγεται γὰρ ὅτι ὅτε ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφαίνοντο οἱ θεοὶ τοῖς Τρωσὶν ἀνακομιζόμενοι ἐκ τῶν ναῶν τὰ ἀγάλματα αὐτῶν. ¶Μήποτ' ἐμὸν κατ' αἰῶνα] μηδέποτε αὕτη ἡ πανήγυρις τῶν θεῶν, ἤγουν ἡ συναγωγὴ τῶν ἐνταῦθα ὄντων, καταλείποι τὴν πόλιν κατ' ἐμὸν χρόνον. ἤγουν ἡμῶν ζώντων. Ἄλλως. μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί. εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ Ὁμήρῳ τό, Θεῖον δύσονται ἀγῶνα, τὴν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγήν, πανήγυριν σαφηνέστερον εἴρηκεν. ¶Ἁπτόμενον] γράφεται πυρὶ ὁμόμενον. ἀντὶ τοῦ καιόμενον πολεμίῳ πυρί. ¶Πειθαρχία γάρ ἐστι] πάνυ εὐφυῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν, ὡς γυναῖκα, ὠνόμασε μητέρα τῆς εὐπραξίας τοῦ σωτῆρος, λέγων, ἡ πειθαρχία γυνή ἐστι μήτηρ τῆς σωτῆρος εὐπραξίας. οὕτως λέγεται λόγος, ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν. πειθόμεναι γὰρ αἱ πόλεις

τοῖς κρατοῦσι, οὐ στρατεύσασι. Ἄλλως. γυνὴ σωτῆρος. λείπει Διὸς ἵνα ᾖ, γυνὴ Διὸς σωτῆρος.

μήτηρ, γυνὴ σωτῆρος· ὧδ᾽ ἔχει λόγος.
χο. Ἔστι θεοῖς δ᾽ ἔτ᾽ ἰσχὺς καθυπερτέρα·
πολλάκι δ᾽ ἐν κακοῖσι τὴν ἀμήχανον
ἐκ χαλεπᾶς δύας, ὑπέρ θ᾽ ὀμμάτων κρη-
μναμενᾶν νεφελᾶν ὀρθοῖ.
ἐτ. Ἀνδρῶν τάδ᾽ ἐστί, σφάγια καὶ χρηστήρια
θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων·
σὸν δ᾽ αὖ τὸ σιγᾶν, καὶ μένειν εἴσω δόμων.
χο. Διὰ θεῶν, πόλιν νεμόμεθ᾽ ἀδάμαστον,
δυσμενέων δ᾽ ὄχλον πύργος ἀποστέγει·
τί τάδε νέμεσις στυγεῖ;
ἐτ. Οὔτι φθονῶ σοι δαιμόνων τιμᾶν γένος·
ἀλλ᾽ ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
εὔκηλος ἴσθι, μηδ᾽ ἄγαν ὑπερφοβοῦ.
χο. Ποταίνιον κλύουσα πάταγον, ἅμα
ταρβοσύνῳ φόβῳ τάνδ᾽ ἐς ἀκρόπολιν, τίμιον ἕδος, ἱκόμαν.
ἐτ. Μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους
πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.

¶ Ὧδ᾽ ἔχει λόγος] οἰκείως ἔχουσα πρὸς τὸ σώζεσθαι. ¶ Ἔστι θεοῖς δ᾽ ἔτ᾽ ἰσχὺς] ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα, ἀληθές ἐστιν ὅτι ἡ πειθαρχία μήτηρ τῆς σωστικῆς εὐπραξίας πέφυκεν· ἔστι δὲ καὶ τοῖς θεοῖς δύναμις ὑπερέχουσα πάντα. πολλάκις δὲ ἡ τῶν θεῶν ἰσχὺς τὴν ἀμήχανον νεφέλην καὶ ἐκ χαλεπῆς δύης κρεμαμένην ὑπεράνω τῶν ὀμμάτων, ὀρθοῖ, καὶ ἀποσοβεῖ αὐτήν. ¶ Σὸν δ᾽ αὖ] γυναικός ἐστι τοῦτο. ¶ Διὰ θεῶν, πόλιν] διὰ τῆς ἐπικουρίας τῶν θεῶν, νεμόμεθα τὴν πόλιν ἀδάμαστον, μὴ δαμαζομένην παρὰ τῶν πολεμίων. τὸν ὄχλον δὲ τῶν ἐχθρῶν ἀποστέγει καὶ ὑπομένει καὶ καρτερεῖ ὁ πύργος καὶ τὸ τεῖχος τῆς πόλεως. ¶ Τί τάδε νέμεσις στυγεῖ] ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα, τί τάδε, ἃ φημὶ περὶ τῶν θεῶν, ὡς εὐεργέτας τούτους ἀποκαλῶν, στυγεῖ ἡ νέμεσις, ἤτοι ἡ ἀπὸ σοῦ μέμψις; ¶ Οὔτι φθονῶ] οὐδαμῶς ἐγὼ νεμεσῶ σοι τὸ τιμᾶν τοὺς θεούς, καὶ οὐδεὶς ταῦτα ὁρῶν σε ποιοῦσαν μισήσει· ἀλλ᾽ ἵνα μὴ τοὺς πολίτας ποιῇς δειλούς, ἥσυχος ὕπαρχε, καὶ μὴ λίαν φοβοῦ. ¶ Ἕκηλος ἴσθι] γρ. καὶ εὔκηλος. τὸ γὰρ υ μέτρου ἕνεκα ποτὲ παραλαμβάνεται. ¶ Ποταίνιον κλύουσα] ὁ χορὸς πάλιν ἀνελθὼν εἰς τὸ τεῖχος τῆς πόλεως, φησί, νεωστὶ γεγενημένον καὶ πρόσφατον κτύπον καὶ ἦχον ἀκούσασα, σὺν φόβῳ παραγενομένη εἰς ταύτην τὴν ἀκρόπολιν, ἕδος τίμιον. ¶ Μὴ νῦν ἐὰν θνήσκοντας] Ἐτεοκλῆς φησι πρὸς τὸν χορὸν ἐπὶ τῆς ἀκροπόλεως ἱστάμενον, μὴ ἁρπαλίζετε ἐν κωκυτοῖς, μὴ ἁρπάζητε τὸ θρηνεῖν, ἐάν τινας ἀκούσητε σφαζομένους ἢ ἡττημένους.

τούτῳ γὰρ Ἄρης βόσκεται φόνῳ βροτῶν.
χο. Καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.
ἐτ. Μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.
χο. Στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.
ἐτ. Οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.
χο. Δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται.
ἐτ. Οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πόλιν.
χο. Ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.
ἐτ. Οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε;
χο. Θεοὶ πολῖται μή με δουλείας τυχεῖν.
ἐτ. Αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ πᾶσαν πόλιν.
χο. Ὦ παγκρατὲς Ζεῦ τρέψον εἰς ἐχθροὺς βέλος.
ἐτ. Ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
χο. Μοχθηρὸν ὥσπερ ἄνδρας, ὧν ἁλῷ πόλις.
ἐτ. Παλινστομεῖς αὖ θιγγάνουσ' ἀγαλμάτων.
χο. Ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.
ἐτ. Αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.
χο. Λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι.
ἐτ. Σίγησον ὦ τάλαινα, μὴ φίλους φόβει.
χο. Σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.

¶ Ἄρης βόσκεται] ἐν τούτῳ γὰρ τῷ ὀδύρεσθαι καὶ θρηνεῖν βόσκεται ὁ Ἄρης, ἤτοι τρέφεται ἐν αἵμασι τῶν στρατευομένων τῷ φόνῳ τῶν βροτῶν. χαυνούμενοι γὰρ ὑπὸ τῶν θρήνων καὶ τῶν ὀδυρμῶν, οὐκέτι κρείως μαχόμενοι ἵστανται ἀνδρείως, καὶ κατὰ τῶν ἀντιπάλων ἀνδρικῶς στρατευόμενοι, ἀλλὰ τὰ νῶτα κλίνοντες, ἀναιροῦνται εὐθύς. ¶ Μὴ νῦν ἀκούουσα] κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν. ¶ Ὡς κυκλ.] ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων, στένει, φησίν, ἡ ἡμετέρα γῆ. ¶ Ὦ ξυντέλεια] τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς. κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις. τέλος γὰρ τὸ τάγμα. Ὅμηρος, Ἐλθὼν ἐς φυλάκων ἱερὸν τέλος. ¶ Θεοὶ πολῖται] τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν. ¶ Αὐτὴ σὺ δουλοῖς] θρηνοῦσα δηλονότι καὶ κράζουσα σὺ ἡμᾶς δούλους ποιεῖς. ¶ Παλινστομεῖς] δυσφημεῖς, καίτοι τῶν ἀγαλμάτων ἐχομένη. ¶ Ἀψυχίᾳ γὰρ] ὑπὸ φόβου συναρπάζομαι. ¶ Αἰτουμένῳ] εἰ δοίης καὶ παράσχοις τέλος τῇ αἰτήσει, ἀβαρές σοι ἐστίν. ἤτοι, ἐὰν ποιήσῃς τὸ ἐμὸν θέλημα, ἀβαρές σοι ἐστί. ¶ Τέλος] χάριν λόγων. ¶ Λέγοις ἂν] λέγε, φησί, ταχέως. καὶ ἐὰν δυνατὸν ᾖ, γνώσομαι σιγᾶν, ἢ ὑπακούειν. γνώσομαι γὰρ εἰ δυνατόν μοι ποιεῖν ὃ κελεύεις. ¶ Σιγῶ· σὺν ἄλλοις] τὸ σὸν βούλημα ποιῶ, ἰδοὺ σιγῶ· σὺν τοῖς

ἄλλοις πᾶσι πείσομαι τὸ μόρσιμον, ἤγουν τὸ πεπρωμένον. τοῦτ' ἔστι, τὸ εἱμαρμένον μετὰ πάντων τῶν ἄλλων πείσομαι ἐγώ, εἴ τι μοι ἀπόκειται.

ἐτ. Τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν·
"καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων,
εὔχου τὰ κρείσσω συμμάχους εἶναι θεούς·
κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
"ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιώνισον,
"ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
"θάρσος φίλοις, λύουσα πολέμιον φόβον.
ἐγὼ δὲ χώρας τοῖς πολιαούχοις θεοῖς,
"πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,

¶Τοῦτ' ἀντ' ἐκείνων] καὶ τοῦτο τὸ ἔπος, τὸ, ὅτι σὺν τοῖς ἄλλοις πείσομαι τὸ μόρσιμον, προκέκρικα ἐκείνων, ἤτοι τῶν ἄλλων ὧν εἴρηκας. Ἄλλως. ἀντ' ἐκείνων, ἤγουν ἀνθ' ὧν ἄλλων δυσφήμως εἴρηκας, τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι. Ἄλλως. τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ. ¶Καὶ πρός γε] σὺν τούτοις δὲ οἷς τὴν ψυχήν μου κατέθελξας, ἐκστᾶσα ἀπὸ τῶν ἀγαλμάτων τῶν θεῶν, καὶ μὴ ἐχομένη αὐτῶν, ὡς περὶ τοῦ θανεῖν δεδοικυῖα, εὔχου τοὺς θεοὺς βοηθεῖν ἡμῖν. ¶Ὀλολυγμὸν] καὶ ἐμοῦ τινὸς εὐξαμένου, εἶτα σὺ ὕμνησον ὀλολυγμὸν ἱερόν, ἤτοι ὕμνον, καὶ εὐχὴν ἱεράν, ᾗ ἐξευμενίζουσι τοὺς θεούς. Ἄλλως. διέστελλε τὸν ὀλολυγμὸν τοῦ παιῶνος. καὶ γὰρ μόνῃ τῇ Ἀθηνᾷ, διὰ τὸ εἶναι οὔσῃ πολεμικῇ, ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν. ὁ γοῦν ποιητὴς ἐπὶ τῆς τρωϊάδος φησίν, Αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον. καὶ ἐπὶ τῆς ἑλληνίδος, αἱ δ' ὀλόλυξαν θυγατέρες τε νυοί τε. ἡ δὲ διάνοια ἁπλῆ φησὶν οὕτω, κἀμοῦ εὐχομένου ἀκούσασα. πῶς δὲ, ἐπιφέρει. νικήσας φησὶ τρόπαια ἀναθήσω αὐτοῖς τοῖς θεοῖς, καὶ θυσίας ποιήσω. οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσω. ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὀλολύζειν, ὡς ἔθος ἑλληνικόν. ¶Ἑλληνικὸν νόμισμα] ἤτοι κατὰ τὸν νόμον τὸν ἑλληνικὸν τῆς βοῆς τῆς παρὰ ταῖς θυσίαις γινομένης. ἢ, ὡς νενόμισται τοῖς Ἕλλησι παρὰ ταῖς θυσίαις ὀλολύζειν. ¶Θυστάδος βοῆς] θυστάδος, τῆς παρὰ ταῖς θυσίαις γινομένης. ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. σημαίνει γὰρ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ. ἢ, ἣν νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις. ἢ, ὡς νενομισμένον Ἕλλησι παρὰ τὰς θυσίας ὀλολύζειν. Ἄλλως. θυστάδος βοῆς, ἐνθουσιαστικῆς. ¶Θάρσος φίλοις] ἤτοι διὰ τῶν τοιούτων εὐχῶν θάρσος ἐμποιοῦσα τοῖς φίλοις, καὶ λύουσα τὸν ἐν αὐτοῖς ὄντα τῶν πολεμίων φόβον. τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς, θάρσος ἐμποιεῖ τοῖς φίλοις. κατὰ δέ τινας, πολέμιον φόβον τὸν ὀλολυγμὸν ἐξηγήσατο, ἐν τῷ, λύουσα πολέμιον φόβον. καὶ γὰρ πολέμιον φόβον λέγει τὴν βοὴν ἐποίει ὁ χορὸς πρὸς τοὺς θεοὺς θρηνώδη ὀλολυγήν, ἢ τοὺς πολίτας δεινῶς κατεπολέμει καὶ ἐξετάραττε. τοῦτ' ἔστι, τὸν φόβον ὃν ὁ χορὸς ἐποίει τῷ ὀλολύζειν καὶ κλαίειν. ¶Πεδιονόμοις] ἤτοι τοῖς κλῆρον τῶν ἀλσῶν καὶ τῶν πεδίων ἀφωρισμένον ἔχουσιν ἑαυτοῖς. ἄλση γὰρ καὶ παραδείσους καὶ πεδία λιπαρὰ οἱ πολῖται ἐκτέμνοντες τῶν ἰδίων κτημάτων, ταῦτα τοῖς θεοῖς ἀνετίθεσαν.

Δίρκης τε πηγαῖς, οὐδ᾽ ἀπ᾽ Ἰσμηνοῦ δ᾽ λέγω
εὖ ξυντυχόντων, καὶ πόλεως σεσωσμένης,
μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν, ὧδ᾽ ἐπεύχομαι
θήσειν τρόπαια, πολεμίων δ᾽ ἐσθήματα,
λάφυρα δαΐων δουρίπληχθ᾽ ἁγνοῖς δόμοις.
τοιαῦτ᾽ ἐπεύχου μὴ φιλοστόνως θεοῖς,
μηδ᾽ ἐν ματαίοις κ᾽ ἀγρίοις ποιφύγμασιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον.
ἐγὼ δ᾽ ἐπ᾽ ἄνδρας ἕξ, ἐμοὶ σὺν ἑβδόμῳ,
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον,
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών,
πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέσθαι, καὶ φλέγειν χρείας ὕπο.
χο. Μέλει, φόβῳ δ᾽ οὐχ ὑπνώσσει κέαρ·

¶Οὐδ᾽ ἀπ᾽ Ἰσμηνοῦ λέγω] καλῶς εἶπεν, ἐκ ἀριθμῶ τοὺς ἀπὸ τῶν θηβῶν, τῆς ἐμῆς δηλαδὴ πόλεως (Ἰσμηνὸς γὰρ ποταμὸς τῶν θηβῶν) ὡς δήλου ὄντος ὅτι τιμῶνται καὶ ὑπ᾽ ἐμοῦ ἐγγράφονται τοῖς τιμωμένοις. πῶς γὰρ οὔ; ὅτι τοῖς τοῦ Ἰσμηνοῦ θύω πᾶσι, τῶν πραγμάτων ἀπ᾽ εὐτυχῶς ἀποβαίντων. Αλλως. οὐδὲν λέγω τοὺς θεοὺς τοὺς ἀπὸ τῆς δίρκης. ἐπιμέρτατοι γὰρ καὶ αὐτοὶ οἱ ἀπὸ τοῦ Ἰσμηνοῦ παρὰ τοῖς θηβαίοις. κατάληψις δὲ εἰπεῖν ἅπαντας, διὰ τὸ θαρρεῖν καὶ ἐν ὀλίγαις δεήσεσιν εἰσακουσθῆναι. Αλλως. οὐδ᾽ ἀπ᾽ Ἰσμηνοῦ λέγω, ἀντὶ τοῦ, σὺν τῷ Ἰσμηνῷ. κατὰ σχῆμα δὲ ἡ φωνή. ἤγουν, λέγω ὅτι σὺν τῷ Ἰσμηνῷ. θύω οὖν αὐτοῖς πᾶσι, τῶν πραγμάτων εὐτυχῶς ἀποβαίντων. Αλλως. καινῶς εἶπεν, οὐκ ἀριθμῶ τὸν Ἰσμηνόν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις. ¶Επεύχομαι θήσειν] λείπει ἡμᾶς. ¶Τρόπαια] παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομασία κατὰ τὸν Ετεοκλέα· ὥσπερ αἰτεῖ βᾶσι τὰ κατὰ τὸν χρόνον ὁ Αἰσχύλος. ¶Εσθήματα] ἐσθήματα ἀνὰ θήσω πρὸ τῶν ναῶν, τὰ λάφυρα. ¶Ποιφύγμασι] ἤγουν ἐκφοβήμασι, τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας. ¶Εγὼ δ᾽ ἐπ᾽ ἄνδρας] ἡ ἐπὶ πρὸς τὸ ἐχθροῖς. ἐγὼ δὲ παραγενόμενος ἐπ᾽ ἄνδρας ἓξ σὺν ἐμοὶ ἑβδόμῳ, τάξω εἰς ἑπτατειχεῖς ἐξόδους, ἤτοι εἰς τὰς ἑπτὰ πύλας τῆς πόλεως, ἀντηρέτας καὶ ἀντιμάχους τοῖς ἐχθροῖς (ἀπὸ τοῦ ἀντερίζω ῥήματος) πρὶν ἱκέσθαι καὶ ἐλθεῖν πρὸς ἡμᾶς λόγους μηνυτὰς συνεχεῖς καὶ καταπείγοντας ἡμᾶς τὴν ἔξοδον. Αλλως. ἐγὼ δὲ σὺν ἐμαυτῷ ἄλλους ἕξ (ὥστε εἶναι αὐτὸς ἕβδομος) ἀντιτάξας τοῖς πολεμίοις ποιήσομαι ταῖς ἑπτὰ πύλαις; καὶ σπεύσω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥστε δι᾽ ἀγγέλων συχνῶν ἐξάγειν τὸ στράτευμα. ¶Μέλει, φόβῳ δ᾽ οὐχ] φησὶν ὁ χορός, μέλει ἡ ψυχή μου, ἤτοι φροντίζει ὧν εἶπεν ὁ Ετεοκλῆς· ἀλλ᾽ ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν ἐᾷ καὶ ἡσυχάζειν ἐμέ. ἡ δὲ ἐν τῇ καρδίᾳ μου μέριμνα τὸν ἐμὸν φόβον ἀναζωπυρεῖ.

γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος,
τὸν ἀμφιτειχῆ λεών· δράκοντα δ' ὥστις τέκνων
ὑπερδέδοικε λεχέ- ων δυσευνήτορας
πάντροφος πελειάς. τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδημεί, πανομιλεί στείχουσι· τί γένωμαι;
τοὶ δ' ἐπ' ἀμφιβόλοισιν ἰάπτουσι πολίταις
χερμάδ' ὀκρυόεσσαν. παντὶ τρόπῳ Διογενεῖς ὦ
θεοί, πόλιν καὶ στρατὸν Καδμογενῆ ῥύεσθε.
ποῖον δ' ἀμείψεσθε γαίας πέδον
τᾶσδ' ἄρειον, ἐχθροῖς ἀ- φέντες τὰν βαθύχθον' αἶαν,
ὕδωρ τε διρκαῖον εὐ- τρεφέστατον πωμάτων
ὅσων ἵησι Ποσει- δᾶν ὁ γαιάοχος Τηθύος τε παῖδες;
πρὸς τάδ' ὦ πολιοῦχοι θεοί, τοῖσι μὲν ἔξω

¶Γείτονες] αἱ δ' ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουσι τὸν ἐν ἐμοὶ φόβον. ἡ καρδία μου, φησί, δέδοικε τὸν πολιορκοῦντα στρατόν, ὡς δράκοντα ὑπὲρ τῶν νεοσσῶν πελειάς. ¶Δράκοντα δ' ὥστις] δέδοικε γὰρ ἡ καρδία μου. τὸν γὰρ δὲ σύνδεσμον ἀντὶ τοῦ γὰρ νοητέον. ¶Λεχέων δυσευνήτορας πάντροφος πελειάς] λεχέων, τουτέστι, νεοσσῶν ἐπὶ τῆς καλιᾶς. ταύτην γὰρ λέχος εἶπεν· ὡς τῶν ἐν ὡρισμένῳ τόπῳ μενόντων, καὶ μή πω δυναμένων ἵπτασθαι. δυσευνήτορας δέ, δυσαυλήτους, διὰ τὸν φόβον τοῦ δράκοντος. πάντροφον δὲ τὴν πελειάδα φησίν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ ἀνάκειται τῇ ἀφροδίτῃ. περιστερὰ δὲ εἴρηται ἡ περισσὰ ἐρῶσα, πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον. ¶Ἀμφιβόλοισι] πάντοθεν βαλλομένοις. ἢ ἀμφοτέρωθεν. ¶Ἰάπτουσι] μετὰ βλάβης βάλλουσι. ¶Ποῖον δ' ἀμείψεσθε] ποῖον δὲ πέδον ἕτερον (ἤγουν ποίαν γῆν) ἀμείψεσθε ἄρειον καὶ βέλτιον καὶ κρεῖττον ταύτης τῆς γῆς· ἐχθροῖς ἀφέντες καὶ καταλείψαντες καὶ δόντες τὴν αἶαν, καὶ τὴν γῆν βαθύχθονα καὶ λιπαράν· ὕδωρ τε πάλιν τὸ τῆς δίρκης τῆς πηγῆς ἀφέντες τὸ εὐτρεφέστατον τῶν ποταμῶν ὁπόσων ἵησι καὶ ἐκπέμπει ὁ ποσειδῶν ὁ γαιήοχος, οἱ παῖδές τε τῆς τηθύος. Ἄλλως. ἀντὶ τοῦ, ποῖον οἰκήσετε ἐν πέδον, ὅπου ἦν μεταστάντες. εἴρηται δὴ καὶ ἐν ξοανηφόροις Σοφοκλέους, ὡς οἱ θεοὶ ἀπὸ τῆς ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. ἐὰν ταύτην, φησί, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε; ¶Καδμογενῆ] ἀπὸ Κάδμου γὰρ οἱ θηβαῖοι. ¶Βαθύχθονα] εὔγεον. ¶Ὅσων ἵησι ποσειδῶν] τὸν ποσειδῶνα λέγει ἐκπέμπειν τοὺς ποταμούς, ὅτι ὑγρᾶς οὐσίας δεσπότης ἐστίν. ἤ, ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι ἀναδίδονται, εἶθ' οὕτως ῥήγνυνται. ἐκ δὲ τούτων οἱ χείμαρροι γίνονται). Τηθύος δὲ παῖδας πάλιν τοὺς ποταμοὺς ὀνομάζει. μυθεύεται γὰρ ὅτι ὁ Οὐρανὸς συμμιγεὶς τῇ Γῇ, ἀπέτεκε τὸν Ὠκεανὸν καὶ τὴν Τηθὺν, καὶ ἄλλους οὐκ ὀλίγους παῖδάς τε καὶ θυγατέρας. ὁ δὲ Ὠκεανὸς μιγεὶς Τηθύϊ τῇ αὐτοῦ ἀδελφῇ, ἐγέννησε τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τὰς οὔσας ἐν τῷ κόσμῳ, καὶ οὕτως λέγονται οἱ ποταμοὶ παῖδες Τηθύος. ¶Πρὸς τάδ' ὦ πολιοῦχοι θεοί] πρὸς ταῦτα ὦ πολιοῦχοι

θεοί, τοῖς μὲν ἔξω πύργων, ἤτοι τοῖς πολεμίοις, ἐμβαλόντες ἄτην καὶ βλάβην τὴν τοὺς ἄνδρας φθείρουσαν, καὶ τὴν ποιοῦσαν ῥίπτειν τὰ ὅπλα, ἄροισθε κῦδος, ἤτοι ἕξετε δόξαν. τοῖς δὲ πολίταις στάθητε σύνεδροί τε καὶ καλῶς ἡδρασμένοι καὶ ἀνθέλκτοι, καὶ ἀμετακλίτοι φύλακες τῆς πόλεως, εἴγε δυσωπηθέντες ταῖς ὀξυγόοις λιταῖς ἡμῶν. Ἄλλως. πρὸς τάδε, ἀντὶ τοῦ, διὰ ταῦτα. πρὸς ταῦτα ὦ πολῖται θεοὶ τοῖς μὲν ἔξω τοῦ τείχους ἀχαιοῖς ἄτην ἐμποιήσαντες, ὥστε αὐτοὺς τὰ ὅπλα ῥίψαι· τούτου δὲ γενομένου, πρὸς ἡμῶν τῶν πολιτῶν πάντων αὖ ὑμνῆσθε.

πύργων, ἀνδρολέτειραν καὶ τὰν ῥίψοπλον ἄταν
ἐμβαλόντες, ἄροισθε κῦδος· τοῖς δὲ πολίταις
καὶ πόλεως ῥυτῆρες εὔεδροί τε στάθητε,
ὀξυγόοις λιταῖσιν. οἰκτρὸν γὰρ, πόλιν τὴν δ' ὠγυγίαν
ἀΐδῃ προϊάψαι, δορὸς ἄγραν,
δουλείαν ψαφαρᾷ σποδῷ
ὑπ' ἀνδρὸς ἀχαιοῦ θεόθεν περθομέναν ἀτίμως,
τὰς δὲ κεχειρωμένας ἄγεσθαι, (ἒ ἒ ἒ) νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων, περιερρηγμένων φαρέων.
βοᾷ δ' ἐκκενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου·
βαρείας τοι τύχας προταρβῶ.
κλαυτὸν δ' ἀρτιτρόποις, ὠμοδρόπων

¶Ὀξυγόοις λιταῖσι] διὰ τὰς ὀξυθρηνώδεις λιτὰς ἡμῶν. ¶Δορὸς ἄγραν] διὰ δόρατος ἀγρευθεῖσαν. ¶Ψαφαρᾷ σποδῷ] ἀσθενεῖ, ἐλαφρᾷ. ¶Τὰς δὲ κεχειρωμένας] τὰς δὲ νέας καὶ γηραιὰς ἄγεσθαι κεχειρωμένας ἀπὸ τῶν πλοκάμων, ἱππηδὸν ἤτοι δίκην ἵππων, τουτέστι μετ' ἀνάγκης. οἱ γὰρ ἵπποι μετ' ἀνάγκης ἕλκονται. καὶ Ὅμηρός φησιν, ἀέκοντι πεπιθέω. Ἄλλως. ἱππηδὸν ἄγεσθαι, ὑπὸ ἵππων σύρεσθαι τῶν πλοκάμων μετ' ἀνάγκης. ¶Ἒ ἒ ἒ] διέκοψε τὸν λόγον τῷ θρήνῳ. ¶Βοᾷ δ' ἐκκενουμένα] θρηνεῖ δὲ ἡ πόλις ἐκκενουμένη, τῆς λαΐδος, ἀντὶ τοῦ λαΐδος, ἤγουν τῆς λείας τῶν πολιτῶν, ὀλλυμένης καὶ φθειρομένης, τῆς μιξοθρόου, ἤτοι τῆς θρόον καὶ βοὴν ποιουμένης ἀνάμικτον. γυναῖκες γὰρ καὶ παῖδες ἀκμάζοντες καὶ ἄρτι γενόμενα βρέφη καὶ ἄνδρες καὶ γέροντες ἐποιοῦντο τὸν θρῆνον σύμμικτον. ¶Κλαυτὸν δ' ἀρτιτρόποις] ἄξιον μεγάλου κλαυθμοῦ ταῖς κόραις ταῖς ἄρτι δρεπομέναις τὴν παρθενίαν, πρὸ τοῦ ἐλθεῖν εἰς ὥραν γάμου, αἰχμαλωτισθεῖσαι καὶ δούλαις εἰς τὴν ξένην χώραν ἀπελθεῖν. Ἄλλως. κλαυτὸν δὲ καὶ θρήνου ἄξιον ἔσται ταῖς ἀρτιτρόποις, ταῖς ἄρτι ἀπὸ τῆς παιδικῆς ἡλικίας ἐπὶ τὴν τελειοτέραν τραπείσαις, ἀπὸ τῶν ἑαυτῶν δωμάτων διαμεῖψαι, καὶ ὁδεῦσαι ὁδὸν στυγερὰν καὶ μίσους ἀξίαν. ἤτοι διακορηθεῖσαι καὶ διαπαρθενευθεῖσαι ὑπὸ τῶν ἐχθρῶν τῶν ὠμοδρόπων. Ἄλλως. εἰ μὲν διὰ τοῦ τ ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις ἀπὸ τῆς παιδικῆς ἡλικίας, καὶ ἡβησάσαις· εἰ δὲ διὰ τοῦ δ ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. ταῖς δὲ παρὰ τὴν ἀκμὴν, φησὶ, διακορευομέναις ἔσται κλαυθμὸς, ἢ ταῖς διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδὸν, ἔσται δάκρυα. ¶Ὠμοδρόπων νομίμων προ-

πάροιθεν] κλαυτὸν ἐστὶ τὸ διαπαρθενευθῆναι ὑπὸ τῶν ἐχθρῶν τῶν ὠμοδρόπων, πρὸ πάροιθεν νομίμων, ἤτοι τοῦ νενομισμένου καιροῦ, δρεπομένων καὶ τρυγωμένων. τὰ γὰρ ἔξω τοῦ καιροῦ δρεπόμενα καὶ μήπω πεπανθῆναι τῷ χρόνῳ φθάσαντα, πάντως ἀγλευκῆ τυγχάνουσι, καὶ πικρίας πολλῆς ἀνάμεστα. Ἄλλως. ὠμοδρόπων. ὑπὸ τῶν ἐχθρῶν τῶν τὴν παρθενίαν αὐτῶν καὶ ἥβην ὠμὴν καὶ ἄωρον δρεπομένων, πρὸ τῶν νομίμων γάμων.

νομίμων προπάροιθεν διαμεῖψαι
δωμάτων στυγερὰν ὁδόν. τί; τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν.
πολλὰ γὰρ εὖτε πόλις δαμασθῇ, (ἒ ἔ)
δυστυχῆ τε πράσσει. ἄλλος δ' ἄλλον ἄγει,
φονεύει, τὰ δὲ καὶ πυρφορεῖ·
καπνῷ δὲ χραίνεται πόλισμ' ἅπαν.
μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης. κορκορυγαὶ δ' ἀνὰ ἄστυ,
ποτὶ πτόλιν δ' ὁρκάνη πυργῶτις·
πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται·
βλαχαὶ δ' αἱματόεσσαι τῶν ἐπιμαστιδίων
ἀρτιτρεφεῖς βρέμονται.
ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ, ξυνόνομον θέλων ἔχειν,
οὔτε μεῖον, οὔτ' ἶσον λελημμένοι.

¶Τί; τὸν φθίμενον] τί γὰρ δεῖ πολλὰ λέγειν; ὁ προτεθνηκὼς, εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος. οἱ τελευτήσαντες, φησί, καὶ μὴ τοιαύτης πειρώμενοι συμφορᾶς, ἄμεινον ἡμῶν πράττουσι. ¶Καπνῷ δὲ] χαλεπώτερος γὰρ ὁ καπνὸς τῶν ἑλεπόλεων καὶ πυροβολισμῶν· καὶ πόρθησιν πολλῷ δεινοτέραν τῆς ἐκ τῶν τοιούτων πορθήσεως ὑπαινίττεται. Κορκορυγαὶ] ταραχαί. κεκωμῴδηται δὲ ἡ λέξις. ¶Ὀρκάνη] τὸ θηρευτικὸν δίκτυον, ὃ καὶ σαργάνη καλεῖται. ¶Πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται] παρὰ τὸ Ὁμηρικόν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν. ¶Βλαχαὶ δ' αἱματόεσσαι] ἡ βληχὴ κυρίως ἐπὶ τῶν προβάτων λέγεται, ἦχόν τινα καὶ φωνὴν τινὰ ἄσημον ἐκπεμπόντων. μετέλαβε δὲ νῦν ὁ ποιητὴς καὶ ἐπὶ τῶν νεογνῶν καὶ ἀρτιγενῶν καὶ ἁπαλῶν βρεφῶν, ὡς τοιᾷδε τῇ φωνῇ, ἀσήμῳ δηλαδὴ καὶ ἀνάρθρῳ, χρωμένων· ἃ παρὰ τῶν πολεμίων ἁρπαζόμενα ἀπὸ μαστῶν, αἱμάσσονται, ὥστ' ἄναρθρον φωνὴν καὶ προβατώδη προΐεσθαι. ¶Ὁμαίμονες] συγγενεῖς. ὅμαιμοι γὰρ πάντες, οἱ μεθ' αἵματος γενόμενοι. ἢ τῶν ὁμαιμόνων καὶ συγγενῶν, καὶ ἐξ ἑνὸς γένους. ¶Ξυνόνομοι] κοινωνοί. ¶Οὔτε μεῖον, οὔτ' ἶσον] διὰ τούτων τοὺς πλεονεκτοῦντας ἐμφαίνει.

ὁ γὰρ μήτι ἔλασσον μήτι ἴσον τῷ προλαβόντι λαβεῖν αἱρούμενος, φαίνεται πλείονος ὀρεγόμενος. τινὲς δὲ λελιμμένοι διὰ τοῦ ι γράφουσι, ἀντὶ λελιμμένοι καὶ ἐπιθυμοῦντες. ὤφειλε δὲ πρὸς τοῦτο, μείονος καὶ ἴσου, χαίρεσθαι, ἀλλὰ λαμβάνουσιν ἔξωθεν τὸ λαβεῖν, ἵνα λέγουσιν, οὔτε μεῖον οὔτε ἴσον ἐπιθυμοῦντες λαβεῖν. λελημμένοι οὖν διὰ τοῦ η, ἐκ τοῦ λήβω. τὸ λαμβάνω· τὸ δὲ λελιμμένοι διὰ τοῦ ι, ἐκ τοῦ λίπτω τὸ ἐπιθυμῶ.

Τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;
παντοδαπὸς δὲ καρπὸς χαμάδις
πεσὼν ἀλγύνει κυρήσας.
Πικρὸν δ' ὄμμα θαλαμηπόλων.
Πολλὰ δ' ἀκριτόφυρτος γᾶς δόσις οὐτιδανοῖς
ἐν ῥοθίοισι φορεῖται. δμωΐδες δὲ καινοπή-
μονες νέαι τλήμονες εὐναὶ αἰχμάλωτον
ἀνδρὸς εὐτυχοῦντος, ὡς δυσμενοῦς ὑπερτέρου.
ἐλπὶς ἐστὶ νύκτερον τέλος μολεῖν, παγκλαύτων
ἀλγέων ἐπίρροθον.
ἡμ. Ὅδ' αὖ κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν' ἡμῖν ὦ φίλαι, νέαν φέρει,
σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.
ἡμ. Καὶ μὴν ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος.

¶Τίν' ἐκ τῶνδ' εἰκάσαι] τί δεῖ ὑπονοῆσαι ἐκ τούτων, ἢ πάθη καὶ συμφοράς; ¶Πικρὸν δ' ὄμμα] πικρὰ θέα τῶν παρθένων ἀποσπωμένων ἐκ τῶν θαλάμων. ¶Πολλὰ δ' ἀκριτόφυρτος] ἡ πολλὴ δὲ δόσις καὶ καρπὸς τῆς γῆς, ἡ ἀκριτόφυρτος καὶ ἀναμεμιγμένη, φέρεται ἐν τοῖς τοῦ πολέμου ῥεύμασιν οὐτιδανοῖς, ἀχρείοις, ἤτοι αὐθυφράντοις. ¶Οὐτιδανοῖς ἐν ῥοθίοισι] ἀφυῶς ὁ ποιητὴς τοῖς ῥοθίοισι προσέθηκε τὸ οὐτιδανοῖς. ἐπειδὴ γὰρ διὰ τῶν ῥοθίων ὁ πλοῦς τὰ ζωαρκῆ κομίζει ταῖς πόλεσιν, ἐξ ὧν αὐταὶ συνίστανται, ὁ ποιητὴς ἐνταῦθα εἰπὼν ῥοθίοισιν, ἵνα μήτις ἐπ' ὠφελείᾳ νοήσῃ, οὐτιδανοῖς προσέθηκε. Ἄλλως. ἐπειδὴ τὰ κύματα ἔσθ' ὅτι ὠφέλειαν παρέχεται ταῖς πόλεσι· δι' αὐτῶν γὰρ ὁ πλοῦς τὰ ἐπιτήδεια κομίζει· προσέθηκεν ἐπίτηδες τὸ οὐτιδανοῖς, ἀντὶ ἀχρείοις. Τροπικῶς δὲ ῥόθια εἶπε τὰ συνεχῆ κινήματα τῶν πολεμίων. Ἄλλως. ταῖς ὑβριστικαῖς κινήσεσι τῶν πολεμίων. ἢ τούτοις ῥόθια φησὶν, ἐπειδὴ συντόνως πολεμοῦσι. Ἄλλως. ὡς ἐπὶ ναυαγίοις. ¶Εὐναὶ αἰχμάλωτον] μεταπεσοῦσαι εἰς δουλείαν, ὅσονσι τινὸς τῶν πολεμίων ἀνδρῶν. ¶Χνόας ποδῶν] μεταφορικῶς εἶπε τὰ ἄκρα τῶν ποδῶν. Ἄλλως. τὸ συνεχὲς κίνημα τῶν ποδῶν παραβόλως χνόας εἶπεν. τοῦ γὰρ ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι, χνόη καλεῖται.
¶Καὶ μὴν ἄναξ] καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα, ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς ὠσὶν, ἀκούσαντα.

εἴσω ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
"σπουδὴ δὲ καὶ τοῦδ᾽ οὐκ ἀπαρτίζει πόδα.
ἄγγ. Λέγοιμ᾽ ἂν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων,
ὥς τ᾽ ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι προιτίσι
βρέμει, πόρον δ᾽ Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίνεται καλά.
Τυδεὺς δὲ μάργων, καὶ μάχης λελιμμένος,
"μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
θείνει δ᾽ ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
"σαίνειν μόρον τε καὶ μάχην, ἀψυχίᾳ·
"τοιαῦτ᾽ ἀϋτῶν," τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ᾽, ὑπ᾽ ἀσπίδος δὲ τῷ
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
"ἔχει δ᾽ ὑπέρφρον σῆμ᾽ ἐπ᾽ ἀσπίδος τόδε,

¶Ἀρτίκολλον] ἐν συναφῇ ἁρμόδιον, ἢ τὸν ἀρτίως κολλώμενον. ¶Σπουδὴ δὲ] ἔοικε δὲ, φησὶ, καὶ ὁ ἄγγελος ἐκ τῆς ἄγαν ἐπιφαινομένης σπουδῆς μὴ ἡδρασμένον ἔχειν τὸν αὐτοῦ πόδα, ἀλλ᾽ ἄστατον. Ἄλλως. ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ᾽ ἐπείγεται. τὸ γὰρ ἀπηρτισμένον, καὶ τέλος ἔχει, μεθ᾽ ὃ οὐκ ἄλλο πρακτέον. ¶Λέγοιμ᾽ ἂν] ὁ ἄγγελος ὁ παρὰ τοῦ Ἐτεοκλέους ἀποσταλεὶς κατάσκοπος τῶν πολεμίων, ἐλθὼν, φησὶ, λέγοιμ᾽ ἂν πάντα τὰ τῶν ἐναντίων, καλῶς ταῦτα γινώσκων, πῶς τε ἕκαστος ἔλαβε κλῆρον ἐν ταῖς πύλαις. ἐπειδὴ γὰρ ἑπτάπυλος ἦν ἡ πόλις τῶν Θηβαίων, κλήρους ἔβαλλον οἱ πρόποι τῶν ἄλλων στρατηγοὶ τῶν ἀργείων, ποίαν ἂν πύλην λάβοι ἕκαστος. ἰδὼν οὖν ἅπαντα, ἔρχεται καὶ ἀπαγγέλλει ταῦτα, καὶ φησὶν ὅτι ὁ Τυδεὺς ἄρτι μὲν βρέμει καὶ ἠχεῖ, καὶ ὀργίλον καὶ μανικὸν πνέει πρὸς ταῖς πύλαις ταῖς προιτίσιν (αἱ γὰρ οὕτω καλούμεναι πύλαι ἔλαχον αὐτῷ) ὁ δὲ Ἀμφιάραος ὁ μάντις οὐκ ἀφίησιν αὐτὸν περᾶν τὸν ἰσμηνὸν ποταμὸν, λέγων ὅτι οὐ καλὰ θύματα γίνεται. ὁ δὲ Τυδεὺς μαινόμενος καὶ μάχης ἐπιθυμῶν, βοᾷ, καὶ μαίνεται, ὥσπερ ὁ δράκων τῷ τοῦ ἡλίου ὑπεκκαύματι. θείνει δὲ καὶ τύπτει ἐν ὀνείδει, ἤτοι βάλλει ὀνειδισμοῖς, τὸν μάντιν Οἰκλείδην τὸν υἱὸν τοῦ Οἰκλέους τὸν Ἀμφιάραον. ¶Τυδεὺς] αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια, πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος. Μεσημβριναῖς] τότε γὰρ μάλιστα μαίνεται. ¶Σαίνειν] ἐκκλίνειν. ¶Τοιαῦτ᾽ ἀϋτῶν] τοιαῦτα φωνῶν, σείει καὶ κινεῖ τρεῖς κατασκίους λόφους. ἡ γὰρ τούτου περικεφαλαία τρεῖς λόφους ἦν ἔχουσα. χαίτωμα δὲ ταύτας εἴρηκε, διὰ τὸ δίκην χαίτης ἐπικαμπτῶς ἐκπεσεῖν ἄνωθεν, ἢ διὰ τὸ τρίχας ἐξ ἵππων χαίτης ἔχειν ἄνωθεν. ἀπὸ δὲ τῆς ἀσπίδος τούτου οἱ κώδωνες οἱ χαλκήλατοι καὶ ἀπὸ τοῦ χαλκοῦ κατεσκευασμένοι κλάζουσι φόβον. ¶Τρεῖς κατασκίους] νεωτερικὸν τοῦτο. ¶Ἔχει δ᾽ ὑπέρφρον] ἔχει δὲ ἐπὶ τῆς ἀσπίδος ὑπέρφρον καὶ ὑπερήφανον σημεῖον τοῦτο, κατεσκευασμέ-

νει οὐρανὸν λάμποντα ἐν ἄστροις. ἡ λαμπρὰ δὲ πανσέληνος ἡ οὖσα φέγγος τὸ τιμιώτατον τῶν ἄστρων, πρέπει ἐν μέσῳ τῷ σάκει, καὶ ἐν μέσῃ τῇ ἀσπίδι.

Φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
"πρέσβιστον ἄστρων, "νυκτὸς ὀφθαλμὸς, πρέπει.
"τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς,
βοᾷ παρ' ὄχθαις ποταμίαις μάχης ἐρῶν·
ἵππος χαλινῶν δ' ὣς κατασθμαίνων, μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.
"τίν' ἀντιτάξεις τῷδε, τίς Προίτου πυλῶν,
κλείθρων λυθέντων, προστατεῖν φερέγγυος;
ἘΤΕ. Κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ,
"οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
"καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἡ ἄνοια τινί.

¶Πρέσβιστον ἄστρων] καὶ Πίνδαρος ἄστρον τὸν ἥλιόν φησι. ¶Νυκτὸς ὀφθαλμὸς] ἑρμηνευτικόν ἐστι τοῦτο. τῆς νυκτὸς γὰρ ὀφθαλμὸς ἡ σελήνη ἐστὶν, ὥσπερ καὶ τῆς ἡμέρας ὁ ἥλιος. ¶Τοιαῦτ' ἀλύων] τοιαῦτα ἀλύων ταῖς ὑπερκόμποις καὶ κενοδόξοις σαγαῖς καὶ πανοπλίαις, βοᾷ παρὰ τοῖς τείχεσι τοῦ Ἰσμηνοῦ ποταμοῦ. τὸ δὲ ἑξῆς, οὕτως, ἀσθμαίνει καὶ σπουδῇ ὡς ἵππος πολεμιστὴς, σάλπιγγος ἀκούων, ἐπιθυμῶν πολέμου, ὅτι εἴργεται πρὸς τοῦ ἐπιβάτου. τὸ δὲ, ἵππος ὡς κατασθμαίνων, μένει, ἀντιστροφή ἐστιν, ἀντὶ τοῦ ὡς ἵππος. ¶Τίν' ἀντιτάξεις] ἀντὶ τοῦ, τίνα ὦ Ἐτεόκλεις, ἀντιπαρατάξεις τε ἀντιστήσεις τούτῳ ἀντίμαχον; τίς βέβαιος καὶ ἀξιόχρεως (τοῦτο γὰρ δηλοῖ τὸ φερέγγυος) προΐστασθαι τῶν Προίτου πυλῶν, λυθέντων τῶν κλείθρων, ἤτοι ἀνοιχθέντων τῶν πυλῶν; ἢ τὸ φερέγγυος, οὕτως ῥητέον, τίνα ἀντιτάξεις τούτῳ ὥστε προΐστασθαι τῶν τοῦ Προίτου πυλῶν, λυθέντων τῶν κλείθρων, ἤτοι ἀνοιγεισῶν τῶν πυλῶν. τὸ δὲ ἑξῆς, τίς φερέγγυος, ἀντὶ τοῦ, τίς φέρων τὸ ἵστασθαι αὐτοῦ πλησίον; ἐγγὺς γὰρ λέγεται τὸ πλησίον. ¶Οὐδ' ἑλκοποιὰ] ταῦτα παρ' Ἀλκαίου. οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα, οὐδὲ αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτὰ, γενναῖος ᾖ. ¶Καὶ νύκτα ταύτην ἣν λέγεις] τάχα ἂν αὕτη ἡ νὺξ τινὶ γένοιτο. οὕτως γὰρ εἰπεῖν ὤφειλεν· εἶπε δὲ, τάχα ἂν ἡ ἄνοια μάντις τινὶ γένοιτο· ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος, εἰ γὰρ τῷ φέροντι σῆμα τοῦτο τὸ ὑπέρκομπον, ἤτοι τῷ ἔχοντι ἐπὶ τῆς ἀσπίδος τὴν νύκτα ἐζωγραφημένην, ἐπ' ὀφθαλμοῖς πέσοι ἡ νὺξ (ἤγουν, ἐὰν καλυφθῇ τῇ νυκτὶ τοῦ θανάτου) γένοιτο ἂν τοῦτο τὸ σῆμα ἐπώνυμον τῇ αὐτοῦ ἀναιρέσει. Ἄλλως. ὁ νοῦς, ταύτην δὲ ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύσεται τῷ φοροῦντι, ὅτι χωρήσει ὑπὸ νύκτα.

εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι
τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε,
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
κ' αὐτὸς καθ' αὑτοῦ τὴν ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε, καὶ τὸν αἰσχύνης θρόνον
τιμῶντα, καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ.
δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.
Χο. Τὸν ἁμὸν νῦν ἀντίπαλον εὐτυχεῖν
θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι.
Αγ. Τούτῳ μὲν οὕτως εὐτυχεῖν θεοὶ δοῖεν. δοῖεν θεοί.
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
γίγας ὅδ' ἄλλος τοῦ πάρος λελεγμένου

¶Κ' αὐτὸς καθ' αὑτοῦ] ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον. ¶Τόνδ' ἀντιτάξω] καλῶς ἀντιτάξει τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα, ἀλλ' ἐναντίον. αἰσχύνης δὲ θρόνον, αὐτὴν τὴν αἰδῶ ὀνομάζει. ὑπέρφρονας δὲ λόγους τοὺς ὑπερηφάνους φησίν. ἔστι, οὔτι ὑπέρφρονα λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους. ¶Αἰσχρῶν γὰρ ἀργὸς] ἀργός ἐστι τῶν κακῶν λόγων, ἢ τῶν ἔργων. φιλεῖ δὲ τὸ μὴ εἶναι κακὸς, ἢ τὸ ἔστω, ἢ ὡς Ὅμηρος, αὐτὸ τὸ δειλός. ¶Κάρτα δ' ἔστ' ἐγχώριος] γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων. ¶Ἔργον δ' ἐν] ἐν τοῖς τοῦ ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος. ¶Δίκη δ' ὁμαίμων] τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν ἐς τὴν μάχην. ¶Ὡς δικαίως πόλεως] ὅτι δικαίως προμάχεται τῆς πόλεως. ¶Ὑπὲρ φίλων ὀλομένων] ἢ ὑπὲρ πελατῶν. ¶Γίγας ὅδ' ἄλλος] Καπανέα ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ, φησὶ γίγας ὅδ' ἄλλος· φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστὶν ἢ γίγασιν ὅμοιος. ¶Τοῦ πάρος λελεγμένου] τοῦ Τυδέως. Ὅμηρος, Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.

μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη·
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντος φησὶν, οὐδὲ τὴν Διὸς
ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν·
τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσι προσείκασεν.
ἔχει δὲ σῆμα, γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασι, πρήσω πόλιν.
τοιῷδε φωτὶ πέμπε, τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;
ἘΤΕ. Καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσι φρονημάτων



¶Οὐδὲ τὴν διὸς ἔριν] ἤτοι οὐδὲ τὴν ὀργὴν ἢ τὸν θυμὸν τοῦ διὸς τῇ γῇ ἐπελθόντα φησὶν ἐκποδὼν σχέθειν, καὶ κρατήσειν, ἤτοι ποιήσειν αὐτὸν μακρὰν τῆς πόλεως. Ἄλλως. οὐδὲ τὸν τοῦ διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτοῦ τοῦ διὸς φιλονεικήσαντος, ἐμποδὼν γενήσεσθαι αὐτῷ, λέγει. ¶Τὰς δ' ἀστραπὰς] τὰς δ' ἀστραπάς τε καὶ τὰς κεραυνίας βολὰς τοῦ διὸς παρείκασε καὶ ὡμοίωσε μεσημβριναῖς θάλπεσιν, ἤτοι, ἔφησε δυνάσθαι φέρειν ἢ ὑπομένειν τοὺς τοῦ διὸς κεραυνοὺς, ὥσπερ τὰς μεσημβρινὰς τοῦ ἡλίου φορὰς, ἤτοι τὰ μεγάλα καὶ καυστικὰ καύματα. ¶Ἔχει δὲ σῆμα] ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα ἐν ταῖς χερσὶν αὐτοῦ ἄνευ ὅπλου, καὶ φωνοῦντα διὰ τῶν ἐν αὐτῷ κεχρυσωμένων γραμμάτων, πρήσω τὴν πόλιν. Ἄλλως. ἔχει δὲ ἐν τῇ ἀσπίδι αὐτοῦ ἐζωγραφημένον ἄνδρα γυμνὸν, κατέχοντα τῇ χειρὶ λαμπάδα ἀνημμένην. οὐκ ἄλλο τι δηλοῦντος τοῦ σημείου, ἀλλ' ἢ ὥσπερ ὁ γυμνὸς κώλυσιν οὐκ ἔχει εἰς τὸ δραμεῖν, οὕτω καὶ ἡμεῖς ἀκώλυτοι ἢ χωρὶς ἐμποδίου ταύτην ἀνατρέψομεν, ἢ γυμνὴν αὐτὴν παντελῶς ἐργασόμεθα, ἔπειτα δὲ ἢ καύσομεν. ¶Καὶ τῷδε κέρδει] εἰπόντος τοῦ ἀγγέλου πρὸς τὸν Ἐτεοκλῆν, τίς τῷ τοιούτῳ ἀνδρὶ ξυστήσεται, ἢ τίς ἀντιμαχόμενος ἔσται αὐτῷ καὶ ἀντιπαλαιόμενος; τίς ὑπομενεῖ, ἀπτοηθεὶς, ἄνδρα ὑπέρκομπον; (λέγει δὲ τὸν Καπανέα) φησὶν ὁ Ἐτεοκλῆς πρὸς αὐτὸν, ὅτι σὺν τῷδε τῷ κέρδει καὶ ἄλλο κέρδος τίκτεται. τοῦτ' ἔστι, καὶ σὺν τῷ ἔχειν ἄνδρα ἱκανὸν πρὸς πόλεμον αὐτῷ συστῆναι καὶ τῇ μάχῃ ἀντιπαλαμήσασθαι, καὶ πόλεμον ἐπίσης αὐτῷ προσαγαγεῖν, ἔχομέν τι καὶ ἕτερον κέρδος, δηλαδὴ τὸ νικῆσαι. Ἄλλως. πρὸς τῷ μεῖναι, νικῆσαι. τοῦτο γάρ ἐστι κέρδει κέρδος. ¶Τῶν τοι ματαίων] ἡ γλῶσσά ἐστιν ἀληθὴς διδάσκαλος τῶν ἐν ἀνθρώποις ματαίων φρονημάτων. ἀπεικάζει γὰρ οἷα ἕκαστος φρονεῖ. εἰ μὲν συνετὸς καὶ ταπεινός ἐστι, συνετὰ καὶ ταπεινὰ φθέγγεται· εἰ δὲ μωρὸς ἢ ὑπέρκομπος, μωρὰ πάλιν καὶ ὑπερήφανα βοᾷ.

[illegible]
[illegible] τίς
Vide Plutarchi principio Theseu: sed verius est quod ibi notat H.S.

ἡ γλῶσσ' ἀληθὴς γίνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ, δρᾶν παρεσκευασμένος,
θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα,
χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν
πέμπει, γεγωνᾶ Ζηνὶ κυμαίνοντ' ἔπη.
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνὸν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ' ἐπ' αὐτῷ, κ' εἰ στόμαργος ἐς' ἄγαν,
αἴθων τέτακται λῆμα Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι, σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.
Χο. Ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται,
κεραυνοῦ δέ μιν βέλος ἐπισχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν
θ' ἑδωλίων ὑπερκόμπῳ δορί ποτ' ἐκλαπάξαι.

¶Καπανεὺς δ' ἀπειλεῖ] ὁ Καπανεὺς δὲ ὡπλισμένος ἀπειλεῖ κακὰ ποιεῖν εἰς ἡμᾶς, τοὺς θεοὺς ἀτιμάζων, καὶ τὸ στόμα μὴ κατέχων καὶ παιδεύων, ἄνθρωπος ὢν φθαρτὸς, πέμπει εἰς οὐρανὸν τοὺς διὰ ἔπη παραχώδη, ἤγουν ὑβρίζει τὸν θεὸν τὸν δία, ἐν χαρᾷ ματαίᾳ καὶ ψευδεῖ· οὐ γὰρ οὐδὲν ὅπως αὐτῷ τὰ κατὰ τὸν πόλεμον ἀποβήσεται. θαρρῶ δὲ αὐτῷ ἐπελθεῖν τὸν καυστικὸν κεραυνὸν, κατ' οὐδὲν ἴσον τοῖς μεσημβρινοῖς τοῦ ἡλίου θάλπεσιν, ἀλλὰ φλέγοντα καὶ ἀπολλύοντα. ὅπερ ἐγένετο. ¶Ἀνὴρ δ' ἐπ' αὐτῷ] ἐπ' αὐτῷ δὲ τῷ Καπανεῖ, εἰ καὶ φλύαρος καὶ ὑπέρκομπος ἄγαν ἐστὶν, τέτακται ἀνὴρ, αἴθων δηλαδή. τοῦτο τὸ αἴθων οἱ μὲν διὰ τοῦ ω μεγάλου γράφουσι, καὶ συντάσσουσιν οὕτως, ἀνὴρ ἐπ' αὐτῷ αἴθων καὶ πρόθυμος καὶ διάπυρος τέτακται ἐν βίᾳ, ἤτοι ἐν δυνάμει, λῆμα Πολυφόντα, περιφραστικῶς ὁ Πολυφόντης, οἱ δὲ διὰ τοῦ ο μικροῦ, καὶ συντάσσουσιν οὕτως, ἀνὴρ δ' ἐπ' αὐτῷ τέτακται, αἶθον λῆμα, ἤτοι φρόνημα δραστήριον καὶ διάπυρον καὶ τὰ πολεμικὰ ἐμπειρότατον, Πολυφόντου βία, ὅτι περιφραστικῶς ὁ Πολυφόντης, ὡς τὸ Ἡρακλείη βίη, Ἡρακλῆς. Ἄλλως. ἀντὶ τοῦ, εἰ καὶ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεὺς, ἀλλ' ὅμως αἴθων τέτακται καὶ ἀνθίσταται αὐτῷ ἀκίνητος τῷ φρονήματι ἡ δύναμις τοῦ Πολυφόντου, μηδὲν δεδοικυῖα. ¶Φερέγγυον φρούρημα] ἱκανὸς φρουρεῖν τὴν πατρίδα. ¶Ἀρτέμιδος εὐνοίαισι] ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς ἀρτέμιδος. ἀφιέρωται δὲ τῇ ἀρτέμιδι ἡ τῶν Θηβαίων πόλις· διὰ τοῦτο οὖν οὕτως λέγει, εὐνοίαις τῆς ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν. ¶Ὄλοιθ' ὃς πόλει] ὁ χορὸς ἀγάθυμος φησὶν, εἴθε ὄλοιτο ὁ μεγάλως ἐπαυχῶνται κατὰ τῆς πόλεως ἡμῶν.

βέλος γὰρ τοῦ κεραυνοῦ ἐπισχέθοι τῷ κρατὶ αὐτόν, πρὶν ἐς τὸν ἐμὸν οἶκον θορεῖν καὶ πηδᾶν καὶ ὁρμᾶν, ἐκ τῶν πωλικῶν τι καὶ παρθενικῶν ἑδωλίων ἢ καθιδρῶν (πώλοις γὰρ αἱ παρθένοι εἰκάζονται) ἐκπορθῆσαι καὶ ἐξαρπάσαι ἐμέ.

ἀγγ. Καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω· τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους,
πύλαισι νηΐτισι προσβαλεῖν λόχον.
ἵπποις δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
μυκτηροκόμποις πνεύμασι πληρούμενοι·
ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον·
ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει, πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοὖτος γραμμάτων ἐν συλλαβαῖς,
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων·
καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον,
πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγόν.
ἐτε. Πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ, τῳ·
καὶ πέμπεται δ' οὐ κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεὺς Κρέοντος σπέρμα τοῦ σπαρτῶν γένους,
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται·

¶Καὶ μὴν τὸν ἐντεῦθεν] εἰπόντος τοῦ Ἐτεοκλέους, λέγε ἄλλοι ἄλλαις ἐν πύλαις εἰληχότα, φησὶν ὁ ἄγγελος, τὸ δὴ λέξω τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος ἐξῆλθε κλῆρος, προσβαλεῖν λόχον καὶ ἐνέδραν καὶ φυλακὴν ἐν ταῖς πύλαις ταῖς καλουμέναις νηΐτισιν. ἐξῆλθε δὲ ὁ κλῆρος ἐκ τοῦ καλῶς κεχαλκευμένου κράνους (ἤτοι περικεφαλαίας) τοῦ ὑπτίου, ἤγουν τοῦ ἀνατετραμμένου. Ἄλλως. ἐξῆλθεν ὁ κλῆρος ἀπὸ τοῦ κράνους, ἐν ᾧ περιστρέψαντες ἐκλήρουν. ¶Ἵπποις δ' ἐν ἀμπυκτῆρσιν] οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως. νῦν δὲ λέγει τοῖς χαλινοῖς. ἤγουν, τοῖς ἵπποις θυμοπλήρεις περὶ τοῖς χαλινοῖς ἀνακάμπτει καὶ περιάγει, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις. ¶Βάρβαρον τρόπον] ἀντὶ τοῦ ἦχον. ἤτοι ἡ σύριγξ βοᾷ. ¶Πρὸς ἐχθρῶν πύργον] ἵνα εἴπῃ πρὸς τοῖον πύργον. μεγάλως οὖν φησί, πρὸς πάντα πύργον.

ἀλλ' ἢ θανὼν θρέψα πληρώσει χθονὶ,
ἢ καὶ δύ' ἄνδρε, καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν, λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων.

χο. Ἐπεύχομαι δὴ τῷδε μὲν εὐτυχεῖν,
ἰὼ πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν·
ὡς δ' ὑπέραυχα βάζουσ' ἐπὶ πόλει
μαινομένῃ φρενὶ, τώς νιν Ζεὺς νεμέ-
τωρ ἐπίδοι κοταίνων.

ἀγ. Τέταρτος ἄλλος. γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα, καὶ μέγας τύπος·
ἅλω δὲ πολλὴν (ἀσπίδος κύκλον λέγω)
ἔφριξα δινήσαντος. οὐκ ἄλλως ἐρῶ.

¶Καὶ πόλισμ' ἐπ' ἀσπίδος] τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸ ἐγγεγραμμένον τῇ ἀσπίδι πόλισμα. ¶Κόμπαζ' ἐπ' ἄλλῳ] λέγε ἄλλον κομπώδη, καὶ μηδὲν ἀποκρύψῃς με τῶν ἄλλων ἀλαζονειῶν. ¶Ἐπεύχομαι] ἐπεύχομαι δὴ καὶ τοῦτον μὲν εὐτυχεῖν ὦ πρόμαχε, ὦ προπολεμῶν τῆς οἰκίας ἡμῶν· τοῖσι δὲ, ἤγουν τοῖς πολεμίοις, ἐπεύχομαι δυστυχεῖν. ὥσπερ δὲ ὑπέραυχα καὶ ὑπέροικα καὶ κενόδοξα λέγουσιν ἐπὶ τῇ ἡμετέρᾳ πόλει, τώς νιν, οὕτως αὐτοὺς ἐπίδοι ὁ Ζεὺς ὁ πάντα διανέμων καὶ διοικῶν, κοταίνων καὶ ὀργιζόμενος κατ' αὐτῶν. ¶Τέταρτος ἄλλος, γείτονας πύλας ἔχων] ἤτοι πλησίον οὔσας τῶν ὧν ἔστιν αὔωθεν. γείτονας οὖν πύλας τὰς τῆς Ἀθηνᾶς φησὶν Ὀγκαίας, ἀφ' ἧς καὶ αἱ πύλαι αὗται Ὀγκαῖαι ἐλέγοντο. αὐτόθεν γὰρ τῶν πυλῶν ἐκεῖσε ἡ Ἀθηνᾶ ἐγέγραπτο. σημείωσαι δὲ ὅτι ἐξ ἱστορίας τοιαύτης Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις ἐλέγετο. Ἀγήνωρ ὁ τύριος ἔσχε παῖδας τρεῖς, Εὐρώπην, Κάδμον, καὶ Κίλικα. τῆς δὲ Εὐρώπης ὑπὸ τοῦ Διὸς ἁρπαχθείσης, ἀπέστειλεν ὁ Ἀγήνωρ τοὺς παῖδας αὐτοῦ εἰς ζήτησιν αὐτῆς· καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα, καὶ μὴ εὑρὼν τὴν Εὐρώπην, εἰς Δελφοὺς ἦλθεν, ἐρωτήσων τὸν Ἀπόλλωνα ποῦ κατασχοίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ, μετὰ τὸ ἐξελθεῖν τοῦ ἱεροῦ, τῷ ὀφθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει οὖν αὐτῇ. ἦλθεν εἰς Θήβας, ὤκλασεν ἡ βοῦς, καὶ ὁ Κάδμος ἐκεῖ ᾤκησε, καὶ ἔθυσε τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ὄγκα. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν. ἀπὸ δὲ Κίλικος τοῦ Κάδμου ἀδελφοῦ, κιλικία ἡ χώρα. ¶Ἱππομέδοντος σχῆμα] περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα. ¶Ἅλω δὲ πολλήν] ἅλως ἐστὶ κυρίως, ὅταν νέφη περὶ τὸν ἥλιον συγκαυθέντα λευκὰ φαίνηται, καὶ ὡς ἐν κύκλῳ τοῦ ἡλίου γίνηται. νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν συνεχῆ κίνησιν τῆς ἀσπίδος. φησὶν οὖν, δινήσαντος, ἤγουν κινήσαντος ταύτην τοῦ Ἱππομέδοντος, ἔφριξα· καὶ οὐ ψευδῆ λέγω.

ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν,
ὅστις τόδ' ἔργον ὤπασε πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πύρπνοον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλου·
αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' ἄρην
βακχᾷ πρὸς ἀλκὴν θυὰς ὥς, φόβον βλέπων.
τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον.
φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.
ἐτε. Πρῶτον μὲν Ὄγκα Παλλάς, ἥτ' ἀγχίπολις
πύλαισι γείτων, ἀνδρὸς ἐχθαίρουσ' ὕβριν,
εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δὲ κεδνὸς Οἴνοπος τόκος
ἀνὴρ κατ' ἄνδρα τοῦτον ᾑρέθη, θέλων
ἐξιστορῆσαι μοῖραν ἐν χρείᾳ τύχης·
οὔτ' εἶδος, οὔτε θυμόν, οὔθ' ὅπλων σχέσιν
μωμητός, Ἑρμῆς δ' εὐλόγως συνήγαγεν.

¶Ὁ σηματουργὸς δ' οὔ τις] ὁ δὲ ποιήσας τὴν ἀσπίδα, καὶ σημεῖα ἐγγράψας αὐτῇ, ἦν, ὡς ἔοικεν, ἀτελής· ὅστις ὤπασεν ἐπὶ τῆς ἀσπίδος τοῦτο τὸ ἔργον· ἤτοι παρέσχε καὶ ἰσόρησεν ἐπὶ τῆς ἀσπίδος. τοῦτ' ἔστι Τυφῶνα ἀφιέντα ἀπὸ τοῦ στόματος καπνὸν μέλανα, τὸν τοῦ πυρὸς ἀδελφόν. τὸ γὰρ πῦρ καὶ καπνὸς ἀδελφοί εἰσιν, ἐκ τῆς αὐτῆς ὕλης τικτόμενοι. αἰόλην δὲ, τὴν εὐκίνητον καὶ ταχεῖαν λέγει, καὶ ἑλισσομένην συχνῶς. ¶Ὄφεων δὲ πλεκτάναισι] τὸ κύτος δὲ, φησί, στρογγύλον τοῦ κύκλου δηλαδὴ τῆς ἀσπίδος τοῦ κοιλογάστορος (ὅλον γάρ τις περιφερὴς προσυπεμφαίνεται) προσηδάφισται καὶ περιπέπλεκται πλεκτάναις τῶν ὄφεων. ἤτοι ἡ ἀσπὶς κυκλόθεν ἔχει ἐζωγραφημένους ὄφεις περιπεπλεγμένους. ¶Περίδρομον κύτος] τὸ χώρημα τῆς ἀσπίδος. ἡ δὲ περιφέρεια τῆς ἀσπίδος κύκλῳ ὄφεων εἰς ἑαυτοὺς ἄκρας ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγκεχαραγμένα, πρὸς τὰ τέλη ἡ ἀσπὶς ἡ κοίλη, πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν οὖσα. ¶Ἔνθεος δ' ἄρην βακχᾷ] βακχᾷ δὲ καὶ ἐνθουσιᾷ καὶ ὁρμᾷ πρὸς τὸν πόλεμον ἔνθεος καὶ ὁρμητικὸς καὶ πιθητικὸς πρὸς τὴν ἀλκήν, ὡς θυάς, ἤτοι βάκχη τις, φόβον βλέπων, ἤτοι ἐκπληκτικῶς καὶ φοβερῶς. χάριται δὲ καὶ βάκχα, καὶ συντάσσεται οὕτως, ἔνθεος δὲ καὶ ὁρμητικός ἐστιν ὁ Τυφεὺς πρὸς τὸν ἄρην, ὥσπερ τις βάκχα θυὰς καὶ μαινομένη. ¶Ὑπέρβιος δὲ] Ὑπέρβιος ὄνομα κύριον. ¶Ἑρμῆς δ' εὐλόγως συνήγαγεν] ἰστέον ὅτι πάντα τὰ ἔδαια καὶ τὰ ἕρμαια καὶ κατὰ τύχην συμβεβηκότα τοῖς βροτοῖς, τῷ Ἑρμῇ ταῦτα ἀνατιθέασιν Ἕλληνες. ἐπεὶ οὖν καὶ τούτοις συνέβη τυχηρῶς πως ἀλλήλοις ἀντιτάξασθαι, τοῦτο εἴρηκεν.

ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται.
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὁ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων·
κ' οὔπω τις εἶδε Ζῆνά που νικώμενον.
τοιάδε μέντοι προσφιλεία δαιμόνων·
πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἱ δ' ἡσσωμένων.
εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας,
εἰ Ζεύς τε Τυφῶ καρτερώτερος μάχῃ,
Ὑπερβίῳ γε, πρὸς λόγον τοῦ σήματος,
σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.
χο. Πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντα
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας,
δαίμοσιν ἐχθρὸν εἴκασμα, βροτοῖσί τε καὶ
δαρεοβίοισι θεοῖσι, πρόσθεν πυ-
λᾶν κεφαλὰν ἰάψειν.
ἀγ. Οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
πέμπταισι προσταχθέντα Βορέαισιν πύλαις,
τύμβον κατ' αὐτὸν διογενοῦς Ἀμφίονος.
ὄμνυσι δ' αἰχμὴν, ἣν ἔχει, μᾶλλον θεοῦ
σέβειν πεποιθὼς, ὀμμάτων θ' ὑπέρτερον,
ἦ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ
Διός· τόδ' αὐδᾷ ματρὸς ἐξ ὀρεσκόου

¶Ἐπ' ἀσπίδων θεούς] τοὺς θεοὺς οὓς ἐν ταῖς ἀσπίσι φοροῦσιν. ¶Σταδαῖος] [illegible]. ¶Προσφιλεία] οἰκείωσις. ¶Πρὸς τῶν κρατούντων] τοῦ κρατοῦντος ἐσμὲν διός· οὗ καὶ τὸ σημεῖον. ¶Πέποιθα τὸν] πιστεύω ἀπολεῖσθαι τὸν ἔχοντα ἐν τῷ σάκει τὸν ἐχθρὸν διὸς δαίμονα. ¶Τόδ' αὐδᾷ] τοῦτο φωνεῖ καὶ λέγει τὸ βλάστημα τὸ ἐκ τῆς ὀρεσκόου καὶ ὀρεσιτρόφου μητρὸς, τὸ καλλίπρῳρον, καὶ τὸ ἀνδρὶς, τὸ τὴν πρῴραν ἐπανθοῦσαν ἔχον τοῖς κάλλεσι. τοῦτο δὲ εἴρηται ἀπὸ τῆς νεώς· ὥσπερ γὰρ ἡ πρῴρα ταύτης, θεωρία τίς καὶ ἄποψις τυγχάνει τὴν πόῤῥωθεν, καὶ ἐξ αὐτῆς τὸ μακρόθεν διαγινώσκεται· οὕτω καὶ τὸ τοῦ ἀνθρώπου εἶδος πρῴρα τις φαίνεται. καὶ προορᾶται πρὸ ἐμφανῶς ἅπασι καὶ ἐκφαίνεται μάλιστα τῶν ἄλλων μερῶν.

βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων,
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὁ δ' ὠμόν, οὔτι παρθένων ἐπώνυμον,
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην
γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας,
φέρει δ' ὑφ' αὑτῇ φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
ἥκων δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον,

¶ Ἀνδρόπαις ἀνήρ] ἢ ὁ παῖς ὁ νεωστὶ εἰς ἄνδρας τελῶν, ἢ ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ ἀνδρεῖος ὤν. λέγει δὲ τὸν Παρθενοπαῖον τὸν υἱὸν τῆς Αταλάντης, ἥτις καὶ Παρθενόπη λέγεται, ἀφ' ἧς καὶ οὗτος Παρθενοπαῖος ἐκλήθη· ὃς ἐξ Ἀρκαδίας εἰς τὸ Ἄργος μετῴκησεν. ¶ Στείχει δ' ἴουλος] ἄρτι νῦν ἤρξατο γενειάζειν. στείχει δὲ καὶ βαδίζει διὰ τῶν παρειῶν αὐτοῦ ἴουλος, φησί, θρὶξ ἀνατέλλουσα καὶ ἀναφύουσα, ἀναβλαστάνουσα, ἀναφερομένη καὶ ἐξερχομένη τῆς ὥρας, ἤγουν τῆς αὐτοῦ ἡλικίας, φυούσης καὶ ἀναθαλλούσης καὶ ἐπανθούσης. ἢ τοῦ νενομισμένου καιροῦ τοῖς νέοις ἀναφύοντος τὸν ἴουλον. ¶ Ὁ δ' ὠμὸν οὔτι] εἴπομεν ἄνωθεν ὅτι περὶ τοῦ Παρθενοπαίου τοῦ υἱοῦ τῆς Αταλάντης ἐνταῦθα διαλαμβάνει· φησὶν οὖν, ὁ δέ, ἤτοι ὁ Παρθενοπαῖος, προσίσταται ταῖς πύλαις, οὐδαμῶς φρόνημα ἔχων παρθένων, χαῦνον δηλαδή, καὶ μαλακόν, ἐπώνυμον αὐτοῦ, οἷα καὶ Παρθενοπαίῳ καλουμένῳ· ἀλλὰ ὠμὸν καὶ ἀπηνὲς καὶ χαλεπόν, ἔτι δὲ καὶ γοργὸν ὄμμα ἔχων. Ἄλλως. οὐ σύμφωνον τῇ κλήσει τῆς παρθένου τὸ φρόνημα ἔχων, ἀλλὰ ὠμόν. ¶ Τὸ γὰρ πόλεως ὄνειδος] τὸ παρὰ τῆς σφιγγὸς φησίν, ἐξ ἧς τῷ Οἰδίποδι προσεγένετο τῇ οἰκείᾳ συμμιγῆναι μητρί, ταύτην τῇ εὑρέσει τοῦ αἰνίγματος ἀνελόντι· ὅθεν τῇ πόλει πάσῃ τῶν Θηβαίων ἐγένετο ὄνειδος. συντάσσεται δὲ οὕτως, τὸ γὰρ πόλεως ὄνειδος, τὸ δὴ οὐ δηλαδὴ τῷ Οἰδίποδι καὶ τῇ πόλει πάσῃ ὄνειδος ἐγένετο, τοῦτ' ἔστι τὴν σφίγγα τὴν ὠμόσιτον, ἐνώμα καὶ ἐκίνει καὶ ἔφερε προσμεμηχανευμένην καὶ κατεσκευασμένην ἐν σάκει χαλκηλάτῳ γόμφοις, ἤτοι διαπεπερονημένῳ τοῖς ἥλοις, τῷ τοῦ σώματος προβλήματι. τοῦτο γὰρ δηλοῖ τὸ σάκος. ¶ Λαμπρὸν ἔκκρουστον δέμας] πρὸς τὸ λαμπρὸν τίθησι καὶ τὸ ἔκκρουστον. ἤτοι ἐκκρουστὸν καὶ ἀποτρέπον, καταπληκτικὸν καὶ ὑπερεκπλῆττον τῇ λαμπρότητι τοὺς θεατάς. καὶ Ὅμηρος, ὄμματα σιγαλόεντα φησὶ τὰ λαμπρά, καὶ στιλπνὰ καὶ ἔμπληξιν ἐμποιοῦντα τοῖς βλέπουσι. ¶ Φέρει δ' ὑφ' αὐτῇ φῶτα] φέρει δὲ ἡ σφὶγξ ἕνα τῶν Καδμείων ἐν τοῖς ὄνυξιν ἑαυτῆς οὕτως, ὥστε δοκεῖν ἐπ' αὐτῷ πλεῖστα βέλη ἰάπτεσθαι καὶ πέμπεσθαι.

Παρθενοπαῖος Ἀρκάς, ὁ δὲ τοιόσδ' ἀνὴρ,
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφὰς,
πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.
Ετ. Εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι, πρὸς θεῶν,
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασι·
ἦτ' ἂν πανώλεις παγκάκως τ' ὀλοίατο.
ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν, ἐργμάτων ἄτερ,
ἔσω πυλῶν ῥέουσαν, ἀλδαίνειν κακά·
οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκος
εἰκῶ φέροντα πολεμίας ἐπ' ἀσπίδος·
ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν.
θεῶν θελόντων δ' ἂν ἀληθεύσαιμ' ἐγώ.
Χο. Ἱκνεῖται λόγος διὰ στηθέων,
τειχὸς δ' ὀρθίας πλόκαμος ἵσταται,
μεγάλα μεγαληγόρων κλύων ἀνο-

¶Παρθενοπαῖος Ἀρκάς] Ἀντίμαχος φησὶν Ἀργεῖον αὐτὸν, οὐκ Ἀρκάδα. ¶Ὁ δὲ τοιόσδ' ἀνὴρ] τοιοῦτός ἐστιν οἷος ἐγὼ εἶπον. ¶Ἄργει δ' ἐκτίνων καλὰς τροφάς] ἀκούσιον φόνον δράσας ὁ Παρθενοπαῖος εἰς Ἄργος ἔφυγεν. ¶Εἰ γὰρ τύχοιεν] εἴθε γὰρ πρὸς θεῶν τύχοιεν ἐπαξίως ὧν φρονοῦσιν ἀνοσίων καὶ ἀλαζονικῶν, ἐπὶ τῶν ἀσπίδων κομπάσματα ἔχοντες. ¶Χεὶρ δ' ὁρᾷ τὸ δράσιμον] ἀνὴρ οὐδὲν ἢ σιωπᾶν μὲν οἶδεν, τῇ δὲ χειρὶ πολεμεῖν. περιφραστικῶς ἀντὶ τοῦ, πολεμικώτατός ἐστι. ¶Ὃς οὐκ ἐάσει γλῶσσαν] ὅστις ὁ Ἄκτωρ ὁ ἀδελφὸς τοῦ Παρθενοπαίου οὐκ ἐάσει τὴν γλῶσσαν τῶν ἐργμάτων ἄτερ ἔσω τῶν τῆς πόλεως πυλῶν εἰσελθεῖν, καὶ αὐξῆσαι τὰ κακά. ἤγουν ὁ τὸν κόμπον τοῦτον, τῶν πράξεων ἀποδέοντα, ἐφέξει, μὴ εἴσω πυλῶν διελθεῖν τῆς πόλεως. δηλονότι τὸν Παρθενοπαῖον τὸν φέροντα ἐπὶ τῆς ἀσπίδος τῆς πολεμικῆς εἰκόνα καὶ ἰσοείδου τοῦ μισητοῦ θηρίου, τουτέστι τῆς σφιγγός. ¶Ἔξωθεν εἴσω φέροντι μέμψεται] ἤγουν ἡ σφὶγξ ἡ τῷ σάκει ἐγγεγραμμένη, ἔξωθεν ἱσταμένη τοῦ τείχους καὶ προσβαλλομένη, μέμψεται τῷ φέροντι αὐτὴν εἴσωθεν, ἤγουν τῷ διὰ τῆς χειρὸς αὐτὴν φέροντι. ¶Πυκνοῦ κροτησμοῦ τυγχάνουσα] ἡ ἀσπὶς, ἢ ἡ σφὶγξ, βαλλομένη τῷ ἀπὸ τῶν δοράτων κρουσμῷ. ¶Ἱκνεῖται λόγος διὰ στηθέων] ὁ λόγος ὁ ἀπὸ τῶν πολεμίων ὁ ἀλαζονικός. ¶Τειχὸς δ' ὀρθίας πλόκαμος] κατὰ περίφρασιν ἡ θρίξ. ¶Μεγάλα μεγαληγόρων] μεγάλα πράγματα ἀκούων.

σίων ἀνδρῶν. εἴθε οἱ θεοὶ
τούσδ' ὀλέσειαν ἐν γᾷ.
ἀγ. Ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστερον,
ἀλκήν τ' ἄριστον μάντιν, Ἀμφιάρεω βίαν·
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,
κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις πρόσμορον ἀδελφεὸν
ἐξυπτιάζων ὄνομα Πολυνείκους βίαν,
δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος,
καλεῖ· λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα,
ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές,
καλόν τ' ἀκοῦσαι, καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα.
μητρός τε πηγὴν τίς κατασβέσει δίκη;
πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
ἁλοῦσα, πῶς σοι σύμμαχος γενήσεται;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός.

¶Ἀμφιάρεω βίαν] Ἀμφιάραος Οἰκλέους, τοῦ Μελάμποδος, τοῦ Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διός· μητρὸς δὲ Ὑπερμήστρας. ¶Ὁμολωΐσιν] ἀπὸ Ὁμολωΐδος τῆς θυγατρὸς Νιόβης. ¶Τὸν ἀνδροφόντην] ἐπεὶ τοὺς Μέλανος ἀπέκτεινε παῖδας Ἀλκάθοον καὶ Λυκαωπέα. ¶Ἐρινύος κλητῆρα] ὑπηρέτην. ¶Πρόσπολον φόνου] ἱερέα. ¶Πρόσμορον ἀδελφεὸν] τὸν ἀξιοθάνατον, ἢ τὸν συμπαράκτορα αὐτοῦ. ¶Ἐξυπτιάζων] ἀναπτύσσων, ἐτυμολογῶν. ¶Ἐνδατούμενος] εἰς δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκους, τὸ πολὺ καὶ τὸ νεῖκος. ¶Ἦ τοῖον ἔργον] καθ' ὑπόκρισιν. ¶Καὶ λέγειν μεθυστέροις] τοῖς μεθ' ἡμᾶς ὕστερον, ταῦτα περὶ σοῦ καλόν ἐστι λέγεσθαι. ¶Μητρός τε πηγὴν] τὰ δάκρυα τῆς πατρίδος ποία παύσει τιμωρία; ¶Ἔγωγε μὲν δὴ] ἔγωγε μὲν δὴ ταύτην τὴν χθόνα πιανῶ, ἐπὶ τῆς πολεμίας γῆς κρυφθεὶς μάντις. κεραυνῷ γὰρ χασθεῖσα ἡ γῆ ἔλαβεν αὐτόν.

Τούτου τῶν ἐπῶν τοῖς ἐν θεάτρῳ λεγομένων, πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης. ὁ Πλούταρχος.

μαχοίμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον.
τοιαῦθ' ὁ μάντις, ἀσπίδ' εὔκυκλον νέμων
πάγχαλκον, ηὔδα. σῆμα δ' οὐκ ἐπῆν κύκλῳ.
οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει, † δίκαιος παρὰ Γαζ.
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ. δεινὸς ὃς θεοὺς σέβει.
ἐτ. Φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.
ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος.
ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.
ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ

¶Μαχοίμεθ', οὐκ ἄτιμον] ὁ Ἀμφιάραος, ὡς μάντις, εἰδὼς ὅτι ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς, ὕστερον μετὰ θάνατον ἔσται μαντείας ἐκφέρων τοῖς θέλουσι, καὶ τιμὰς ἕξει λαμπράς, φησί, μαχώμεθα· οὐ γὰρ ἄτιμον καὶ ἄδοξον καὶ ἀφανῆ ἐλπίζω μόρον· αἰνιττόμενος τὴν μετὰ θάνατον αὐτοῦ τιμήν. ¶Βαθεῖαν ἄλοκα] βαθεῖαν ἔχων ἄλοκα τῆς φρενός, ἐξ ἧς φρενὸς φύεται τὰ ἀγαθὰ βουλεύματα. τοῦτο ὁ Πλάτων ἐν τῇ πολιτείᾳ ἀπεδέξατο. τοῦτο οὖν φησι, καρπούμενος καὶ θερίζων βαθεῖαν καὶ λιπαρὰν ἄλοκα τῆς φρενός, ἐξ ἧς φύεται τὰ ἀγαθὰ βουλεύματα, ὥσπερ βλαστήματα. ¶Τούτῳ σοφούς τε] τούτῳ, φησί, τῷ Ἀμφιαράῳ σοφοὺς τε κἀγαθοὺς ἀντηρέτας καὶ ἀντιπάλους ἢ ἀντιμάχους ἐπαινῶ καὶ κρίνω στεῖλαι. ἐρωτικῶς ὡς ἐπὶ ναυμαχίας. ¶Δεινὸς ὃς] δυσκατέργαστος γάρ ἐστιν ὃς τοὺς θεοὺς τιμᾷ. ¶Φεῦ τοῦ ξυναλλάσσοντος] ἤγουν συνάγοντος. ἀπὸ μεταφορᾶς τῶν τὰς συναλλαγὰς καὶ συμβόλαια ποιουμένων. τοῦτο δέ ἐστιν ὃ λέγει, ἰδὼν τὸν Ἀμφιάραον ὁ Ἐτεοκλῆς, ἄνδρα ὄντα ἀγαθὸν καὶ εὐσεβῆ, συστρατευόμενον μετ' ἀνθρώπων πονηρῶν καὶ ἀσεβῶν, εἶτα ἐπαιτιᾶται τῇ τύχῃ, καί φησι, φεῦ τοῦ ὄρνιθος, ἤγουν τῆς τύχης καὶ τοῦ μαντεύματος, τοῦ συναλλάσσοντος καὶ συνάγοντος καὶ ἑνοῦντος τὸν δίκαιον ἄνδρα τοῖς δυσσεβεστέροις. ἀποκλαίεται γὰρ αὐτὸν ὁ Ἐτεοκλῆς ὡς προλέγοντα ἐκεῖσε θανεῖν αὐτόν. ¶Οὐ κομιστέος] οὐκ ἄξιος κομίζεσθαι. ¶Ἄτης ἄρουρα] λύμης χωρίον ἡ τῶν πονηρῶν φιλία. ¶Ἢ γὰρ ξυνεισβὰς] τὰ ἀπὸ τῆς κακῆς ὁμιλίας γινόμενα, κατὰ μέρος διέξεισι, καί φησιν ὅτι ὁ εὐσεβὴς ἀνήρ, εἴτε ἐν θαλάσσῃ συμπλέοι πονηροῖς καὶ κακοῖς ἀνδράσιν, εἴτε ἐν γῇ διάγοι μετὰ πονηρῶν καὶ ἀσεβῶν ἀνδρῶν, φθείρεται καὶ ἀπόλλυται καὶ αὐτὸς σὺν ἐκείνοις, διὰ τὴν ἐκείνων ἀσέβειαν. ἡ δὲ σύνταξις οὕτως, ὁ εὐσεβὴς γὰρ ἀνήρ, ἢ εἰς πλοῖον συνεισβὰς καὶ συνελθὼν ναύταις θερμοῖς καὶ σπουδαίοις εἰς τὸ πανουργεύεσθαι, ὄλωλε σὺν τῷ τοῖς θεοῖς μισητῷ γένει τῶν ἀσεβῶν ἀνδρῶν· ἢ δίκαιος ὤν, σὺν πολίταις ἀνδράσιν ἐχθροξένοις τε καὶ ἐχθροῖς τῶν ξένων, καὶ ἀμνήμοσι τῶν θεῶν, ἐδάμη καὶ ἐδαμάσθη, πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ.

ναύτῃσι θερμοῖς καὶ πανουργίᾳ τινὶ,
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει·
ἢ ξὺν πολίταις ἀνδράσιν, δίκαιος ὢν,
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσι,
ταυτοῦ κυρήσας ἐνδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμῃ.
οὕτω δ' ὁ μάντις (υἱὸν Οἰκλέους λέγω)
σώφρων, δίκαιος, ἀγαθὸς, εὐσεβὴς ἀνὴρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
θρασυστόμοισιν ἀνδράσι φρενῶν βίᾳ
τείνουσι, πομπὴν τὴν μακρὰν πάλιν μολεῖν,
Διὸς θέλοντος, συγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμον, οὐδὲ λήματος κάκῃ·
ἀλλ' οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ,
εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου.

¶Θερμοῖς] περὶ τὴν κακίαν θερμοῖς, καὶ γελωτοποιοῖς. οἱ γὰρ γελοιαζόμενοι θερμὴν καὶ ἔκλυτον ἔχουσι τὴν ψυχήν. Ἰστέον δὲ ὅτι πολλή ἐστιν ἡ διαφορὰ τοῦ διαλελυμένου καὶ τοῦ συνθέτου. μέγας μὲν θυμὸς, τὸ πολὺ τῆς χολῆς· μεγάθυμος δὲ, ὁ μεγαλόφρων καὶ μεγαλόψυχος. καὶ χειροδίκης μὲν συνθέτως, ὁ βίαιος, ὁ οὐκ ἐν τοῖς νόμοις ἀλλ' ἐν ταῖς χερσὶν αὐτοῦ κείμενον ἔχων τὸ δίκαιον· δίκην δὲ ἔχων ἐν χερσὶν, ὁ δίκαιος καὶ ἀεὶ περὶ χειρῶν οἷον φέρων τὸ δίκαιον. οὕτω καὶ θερμὸν ἔργον, διαλελυμένως μὲν, τὸ ἀναιδὲς καὶ θρασύ· θερμουργὸς δὲ ἀνὴρ, ἐν συνθέσει, κατὰ λόγον ἐπαινετὸν, ὁ θαρραλέος καὶ μὴ ψυχρὸς εἰς ἔργον. ¶Ταυτοῦ κυρήσας] ἐπιτυχὼν ἐνδίκως ὁ δίκαιος τοῦ αὐτοῦ καὶ τοῦ ὁμοίου ἐκείνοις ἀγρεύματος. τοῦτ' ἔστι, σὺν αὐτοῖς περαθεὶς, καὶ τῇ αὐτῇ παγίδι παγείς. ¶Οὕτω δ' ὁ μάντις] τὸν υἱὸν λέγω τοῦ Οἰκλέους. ἤγουν τὸν Ἀμφιάραον. σώφρων καὶ δίκαιος καὶ εὐσεβὴς ἀνὴρ ὢν, συγκαθελκυσθήσεται, καὶ εἰς τὸν ἅδην καταχθήσεται μετὰ τῶν ἀσεβῶν, συμμιγεὶς ἀνοσίοις καὶ ἀσεβέσιν ἀνδράσι θρασυστόμοις καὶ φλυαροῖς. ¶Πομπὴν τὴν μακρὰν] ἐπὶ τὴν εἰς ἅδην ἀποικίαν ἑλκυσθήσεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος. ¶Δοκῶ μὲν οὖν] δοκῶ, φησὶ, τὸν Ἀμφιάραον μηδὲ προσεγγίσαι τῇ τῆς ἡμετέρας πόλεως πύλαις, οὐχ ὡς δειλὸν, οὐδὲ ἐν κακίᾳ φρονήματος· ἀλλὰ γινώσκει ὅτι σφὲ, ἤγουν αὐτὸν, ἀπόκειται τελευτῆσαι ἐν τῇ μάχῃ, εἰ ἔσται καρπὸς καὶ τέλος τοῖς τοῦ Ἀπόλλωνος μαντεύμασιν. ἤτοι, εἰ ἀληθῆ εἰσι τὰ θέσφατα τοῦ Ἀπόλλωνος. ¶Ἀλλ' οἶδεν ὥς σφε] ἀλλ' ὡς μάντις, τὸ τέλος εἰδὼς, ἵνα εἰς κίνδυνον ἑαυτὸν καταθήσει. ¶Εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου] εἰ φύσει ἀληθὲς ἂν τὸ μάντευμα τοῦ Ἀπόλλωνος, εἰ ἡ ἀλήθεια παρέπεται τῷ μαντεύματι ὡς καρπὸς, εἰ τὸ τοῦ Ἀπόλλωνος μαντείαις τέλος ἔνι.

φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.
ὅμως δ' ἐπ' αὐτῷ φῶτα Λασθένους βίαν
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν·
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φέρει,
ποδῶκες ὄμμα, χεῖρα δ' οὐ βραδύνεται
παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

χο. Κλύοντες θεοὶ δικαίας λιτὰς
ἡμετέρας, τελεῖθ' ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ' ἐκτρέποντες γᾶς πρὸς ἐπι-
μόλους· πύργων δ' ἔκτοθεν βαλὼν
Ζεύς σφε κάνοι κεραυνῷ.

ἀγ. Τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις
λέξω, τὸν αὐτοῦ σοῦ κασίγνητον, πόλει
οἵας τ' ἀρᾶται καὶ κατεύχεται τύχας·
πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονί,
ἁλώσιμον παιᾶν' ἐξιακχάσας,
σοὶ ξυμφέρεσθαι, καὶ κτανὼν θανεῖν πέλας,
ἢ ζῶντ' ἀτιμαστῆρα τὼς σ' ἀνδρηλάτην
φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
τοιαῦτ' ἀϋτεῖ, καὶ θεοὺς γενεθλίους

¶Φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια] παραδειγματικῶς ἀντὶ τοῦ σιωπητικοῦ. ἤγουν ἢ λέγειν, ἀντὶ τοῦ καὶ λέγειν. ¶Ὅμως δ' ἐπ' αὐτῷ] ὅμως δὲ ἐπ' αὐτῷ τῷ Ἀμφιαράῳ ἀντιτάξομεν καὶ ἀντιστήσομεν πυλωρόν, ἤγουν φύλακα τῶν πυλῶν, ἄνδρα ἐχθρόξενον, ὅτι ἐχθρὸν ὄντα τοῖς ἐξ ἀλλοδαπῆς ἥκουσι πρὸς βλάβην ἡμῶν, Λασθένους βίαν, περιφραστικῶς τὸν Λασθένην. ¶Τελεῖθ' ὡς πόλις εὐτυχῇ] ἐπιτελεῖτε ὅπως εὐτυχῇ ἡ πόλις, τὰ ἀπὸ τοῦ πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς ἐπελθόντας τρέποντες. ¶Πύργων δ' ἔκτοθεν] ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς ἔξω τῶν τειχῶν, διαφθερεῖ κεραυνῷ ἐπὶ ταῖς πύλαις. ¶Ἁλώσιμον παιᾶν' ἐξιακχάσας] ἐκβοήσας ἐπινίκιον παιᾶνα, ἐπαλαλάξας μετ' ἰαχῆς. οὕτω καὶ ὁ ἴακχος λέγεται παρὰ τὰς ἰαχὰς τῶν μυουμένων. ¶Σοὶ συμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας] συστῆναί σοι καὶ φονεῦσαι, ἀποθανεῖν ἐγγύς. ¶Τοιαῦτ' αὐτεῖ] φωνεῖ καὶ βοᾷ ἡ Πολυνείκους βία, περιφραστικῶς, αὐτὸς ὁ Πολυνείκης, καὶ καλεῖ τοὺς θεοὺς τοὺς γενεθλίους τῆς πατρικῆς χώρας, γενέσθαι παντελῶς ἐπόπτας καὶ ἐπιτηρητὰς τῶν εὐχῶν αὐτοῦ, καὶ βοηθοὺς γενέσθαι αὐτῷ, ἐπακούσαντας τῶν ἀρῶν αὐτοῦ.

καλεῖ πατρῴας γᾶς, ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
ἔχει δὲ καινοπηγὲς εὔκυκλον σάκος,
διπλοῦν τε σῆμα προσμεμηχανευμένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν,
ἄγει γυνή τις σωφρόνως ἡγουμένη.
Δίκη δ᾽ ἄρ᾽ εἶναί φησιν, ὡς τὰ γράμματα
λέγει, κατάξω δ᾽ ἄνδρα τόνδε, καὶ πόλιν
ἕξει, πατρῴων δωμάτων τ᾽ ἐπιστροφάς.
τοιαῦτ᾽ ἐκείνων ἐστὶ τἀξευρήματα.
σὺ δ᾽ αὐτὸς ἤδη γνῶθι τίνα πέμπειν δοκεῖς.
ὡς οὔποτ᾽ ἀνδρὶ τῷδε κηρυκευμάτων
μέμψῃ, σὺ δ᾽ αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν.
ετ. Ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος·
ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.
ἀλλ᾽ οὔτε κλαίειν, οὔτ᾽ ὀδύρεσθαι πρέπει,
μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος.

¶Ἔχει δὲ καινοπηγὲς εὔκυκλον σάκος] ἔχει δέ, φησίν, ὁ Πολυνείκης ἀσπίδα παραδόξως κατεσκευασμένην, εὔκυκλον· καὶ ἐν αὐτῇ ἔχει σημεῖον κατεσκευασμένον διπλοῦν, ἤτοι ἄνδρα στρατιώτην, χρυσῷ κατεσκευασμένον, καὶ γυναῖκα ἔμπροσθεν ἐκείνου πορευομένην σωφρόνως. ὁ οὖν ἀνὴρ ὃς ἵσταται ἐπὶ τῆς ἀσπίδος ἐζωγραφημένος, ὁ Πολυνείκης ἐστί, καὶ ἔμπροσθεν ἐκείνου εἰκονισμένη ἐστὶ γυνὴ σωφρόνως πορευομένη καὶ οὐκ ἀσχημόνως. αὕτη δὲ ἐστὶν ἡ δίκη, καὶ ἔχει ἄνωθεν ἑαυτῆς γράμματα λέγοντα, ὅτι ἐγώ εἰμι ἡ δικαιοσύνη· καὶ ἐπεὶ ἀδίκως ἐξέωσεν ὁ Ἐτεοκλῆς τὸν Πολυνείκην ἀπὸ τῆς ἑαυτοῦ πατρίδος, πάλιν ἐγὼ κατάξω τοῦτον τὸν Πολυνείκην εἰς τὴν ἑαυτοῦ πατρίδα, καὶ βασιλέα ταύτης ποιήσω. γράφεται δὲ καὶ εὔθετον σάκος, ἀντὶ τοῦ εὔκυκλον. ἵνα ᾖ εὔθετον, τὸ εὐβάστακτον. θέσθαι γὰρ τὸ ἀναλαβεῖν λέγουσιν οἱ ἀττικοί. καὶ, ὅπλα ἔθεντο, ἀντὶ τοῦ ἀνέλαβον. ¶Τευχηστὴν] ὁπλίτην. ¶Ἀνδρὶ τῷδε] ἀντὶ τοῦ, ἐμοί, οὐ μέμψῃ ἐμοὶ ὧν ἀπήγγειλα. ¶Ναυκληρεῖν πόλιν] περιέπειν, φροντίζειν τῆς πόλεως. ¶Ὦ θεομανές τε] ὦ θεοῖς ἐπιμαινόμενε. ἐπιστρατεύῃ γὰρ τῇ πατρίδι καὶ τοῖς πατρῴοις θεοῖς. καὶ ὦ μέγα στύγος καὶ μῖσος τῶν θεῶν, ὦ πολλῶν δακρύων ἄξιε ἄδελφε (λέγει δὲ ταῦτα ὁ Ἐτεοκλῆς πρὸς τὸν Πολυνείκην) φεῦ μοι, αἱ δὲ τοῦ πατρὸς, ἤγουν τοῦ Οἰδίποδος, κατάραι, νῦν τέλος φέρουσιν ἑαυτῶν. κατηράσατο γὰρ ὁ Οἰδίπους διὰ σιδήρου καὶ αἵματος γενέσθαι αὐτοῖς τὴν διανομὴν τῶν χρημάτων. ¶Ἀλλ᾽ οὔτε κλαίειν] ὁ Ἐτεοκλῆς εἰς θρῆνον τραπεὶς διὰ τὰς τοῦ πατρὸς ἀράς, καὶ διὰ τὴν πρὸς τὸν ἀδελ-

φὸν μάχην, ἵνα μὴ ὑπὸ τοῦ θρήνου ταράξῃ τοὺς πολίτας, πάλιν μεταφέρει ἑαυτόν, καί φησιν, δὴ οὔτι κλαίειν οὔτι ὀδύρεσθαι πρέπει νῦν, ἵνα μὴ καὶ ἀφόρητος γόος καὶ χαλεπός τινος ὤφθῃ, ἤγουν αὐξηθῇ, ἐν τῇ πόλει.

ἐπωνύμως δὲ κάρτα Πολυνείκη λέγω,
τάχ' εἰσόμεσθα τοὐπίσημ' ὅποι τελεῖ·
εἴ νιν κατάξει χρυσότευκτα γράμματα,
ἐπ' ἀσπίδος φλύοντα σὺν τύφῳ φρενῶν.
εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
ἔργοις ἐκείνου καὶ φρεσὶν, τάχ' ἂν τόδ' ἦν·
ἀλλ' οὔτε νιν φυγόντα μητρόθεν σκότον,
οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω,
οὔτ' ἐν γενείου συλλογῇ τριχώματος,
Δίκη προσεῖπε καὶ κατηξιώσατο·
οὔτ' ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ
οἶμαί νιν αὐτῷ συμπαραστατεῖν πέλας.
ἦ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.
τούτοις πεποιθὼς εἶμι, καὶ ξυστήσομαι
αὐτός. τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις,
ἐχθρὸς σὺν ἐχθρῷ στήσομαι. φέρ' ὡς τάχος

¶Ἐπωνύμως δὲ] τοῦτό φησιν, ὅτι τάχιστα γνωσόμεθα τὸ ἐπὶ τῆς ἀσπίδος ἐπίσημα ποῦ τελεσθήσεται, τὸ εἰς τί καταστήσει τῷ Πολυνείκει τῷ ἐπωνύμῳ. πάνυ γὰρ τὸ ἐπώνυμον τῇ φιλονεικίᾳ συμφωνεῖ. ἐτυμολογεῖται γὰρ τὸ ὄνομα ἀπὸ τοῦ πολὺ καὶ τοῦ νεῖκος, ἡ φιλονεικία. ¶Χρυσότευκτα γράμματα] ἤτοι εἴπερ, θεὸς ἢ ἄνθρωπος, ἤγουν τὰ χρυσᾶ γράμματα. ¶Φλύοντα] φλυαροῦντα. ¶Εἰ δ' ἡ Διὸς παῖς] ἐὰν δὲ ἡ παρθένος παῖς τοῦ Διὸς ἡ Δίκη (τοῦ Διὸς γὰρ θυγάτηρ λέγεται αὕτη) παρῆν τοῖς ἔργοις ἐκείνου καὶ ταῖς φρεσί, τουτέστιν, ἐὰν τὴν δίκην εἶχεν ὁ Πολυνείκης συμπαροῦσαν τοῖς ἔργοις καὶ λόγοις καὶ ἐνθυμήμασιν ἑαυτοῦ, καὶ οὐ κατὰ πάντα ἦν ἄδικος, τάχα ἂν τοῦτο ὑπῆρχεν, ἤγουν τὸ δίκην βοηθῆσαι αὐτῷ, καὶ εἰσάξαι εἰς τὴν πατρίδα, καὶ νικῆσαι ἡμᾶς. ¶Φυγόντα μητρόθεν σκότον] ἀντὶ τοῦ γεννηθέντα. ¶Συλλογῇ τριχώματος] οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ συλλέγεται κατ' ὀλίγον. ¶Προσεῖπε καὶ κατηξιώσατο] εἶδεν αὐτὸν καὶ ἐφίλησεν. ἀντὶ τοῦ, ἐν οὐδεμιᾷ ἡλικίᾳ ἔπραξε τὸ δίκαιον. ¶Οὔτ' ἐν πατρῴας] καὶ μὴν δὴ οὐδὲ ἐπὶ κακώσει τῆς πατρῴας χώρας, ἐγγὺς αὐτοῦ ἔσται ἡ δίκη.

κνημῖδας, αἰχμὴν, καὶ πετρῶν προβλήματα.

Χο. Μὴ φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ
ὀργὴν ὅμοιος τῷ κάκιστ' αὐδωμένῳ·
ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον.
ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτόκτονος,
οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.

Ετ. Εἴπερ κακὸν φέρει τις, αἰσχύνης ἄτερ,
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσι·
κακῶν δὲ κ' αἰσχρῶν οὔτιν' εὔκλειαν ἐρεῖς.

Χο. Τί μέμονας τέκνον; μή τί σε θυμοπληθὴς
δορίμαργος ἄτα φερέτω·
κακοῦ δ' ἔκβαλ' ἔρωτος ἀρχάν.

Ετ. Ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,

¶Κνημῖδας] τὰς τοῖς ποσὶ καὶ ταῖς σκέλεσι περιβαλλομένας πρὸς φυλακήν. ἢ κνημῖδας, τὰ σκεπάσματα· τὰ γὰρ ταῦτα ὡς περιπεφραγμένος ὀχυρῶς καὶ περικαλυψάμενος φυλάσσει ὅλῳ τῷ ἑαυτοῦ σώματι, καὶ αἱ προσβολαὶ καὶ ῥίψεις συνεχεῖς τῶν βελῶν καταπίπτονται καὶ ἐμβάλλονται τῷ αὐτοῦ σώματι, ὡς περιτετειχισμένῳ καὶ καλῶς ὡπλισμένῳ. ¶Ὀργὴν ὅμοιος] τὸ ἔργον ὅμοιος τῷ ἀδελφῷ σου. ¶Τῷ κάκιστ' αὐδωμένῳ] τῷ βλασφημουμένῳ ὑπὸ σοῦ. ¶Αἷμα γὰρ καθάρσιον] τὸ δὲ αἰτιολογούμενος διὰ τούτου τοῦ λόγου φησὶν ὅτι πᾶς ἄλλος φόνος καθαίρεται. ὁ γὰρ τῶν δημοτείων καὶ πολεμίων γινόμενος φόνος, κάθαρσιν ἐπιδέχεται· ἡ δὲ μιαρὰ ἀδελφοκτονία, οὐδέποτε καθαίρεται. Ἄλλως. καθαρὸν τὸ αἷμα τῶν ἀλληλοκτονούντων ξένων ἐν πολέμῳ, τὸ δ' ἀδελφοκτονεῖν, ἀνήκεστον φονικὸν ἔργον. ὑπερβατὸν δὲ τοῦτο, ἵνα ᾖ, αἷμα γὰρ κάθαρσιν οὐκ ἐπιδέχεται, ὅταν ἀδελφοὶ ἀλληλοκτόνοι γένωνται. ¶Οὐκ ἔστι γῆρας] ἤγουν ἔκλειψις. τοῦτ' ἔστι, διὰ παντὸς γνωσθήσεται τοῦτο τὸ μίασμα. ¶Εἴπερ κακὸν φέροι τις] εἰ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης. ¶Αἰσχύνης ἄτερ] τοῦτό φησι, τὸ ἀκλεῶς ἀποθανεῖν, διὰ τὸ ζημιῶσαι τοὺς ἐχθρούς. ὁ γὰρ ἀνήκεστον καὶ ἀπροσωπον τῶν πολεμίων αἰσθανόμενος καὶ ἀντιπαλαιόμενος, καὶ μὴ ἀποστρέψας τὰ νῶτα διδοὺς τοῖς ἐχθροῖς, ἐκεῖνος, φημὶ, τὸν θάνατον ἐπιδέχεται ἔντιμος καὶ εὐκλεῶς, καὶ ἀεὶ ἐπαινεῖται καὶ μακαρίζεται. ¶Μόνον γὰρ κέρδος] ἡ εὔκλεια ἐν κέρδος, τὸ αὐτὸν ἐκδικῆσαι ἀδικούμενον· ἐὰν δέ τις ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν, ἄδοξος. ¶Τί μέμονας τέκνον] ὁ χορὸς βλέπων Ἐτεοκλέα σπεύδοντα πρὸς Πολυνείκην ἐξελθεῖν, φησὶ πρὸς αὐτὸν, τί μέμονας καὶ ὀργίζῃ; μὴ φερέτω καὶ κινείτω σέ τις ἄτα καὶ βλάβη θυμοῦ γέμουσα καὶ πρὸς πόλεμον μαινομένη. τοῦτο γὰρ τὸ δορίμαργος, ὁ τῷ δορί, ἀφ' οὗ δηλοῖ τὸν πόλεμον, μαινομένη. ¶Ἐπεὶ τὸ πρᾶγμα] ἐπεὶ βούλημά ἐστι τοῦ θεοῦ τοῦ Ἀπόλλωνος τὸ ἡμᾶς ἀποθανεῖν, καὶ αὐτὸς ἐπισπεύδει καὶ βιάζεται τοῦτο, ἴτω ἤτοι πρὸς τὸν ᾅδην ἅπαν τὸ τοῦ Λαΐου γένος, ἤγουν ἡμεῖς οἱ ἀπὸ τοῦ Λαΐου καταγόμενοι. ἴτω οὖν, φησί,

κατ' οὖρον τὸ τοῦ κωκυτοῦ κῦμα (ἔστι δὲ ποταμὸς ᾅδου, οὗ πορθμεὺς ὁ Χάρων) ὅτι πᾶν τὸ Λαΐου γένος κεκλήρωται τοῦτο, ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν. ἐπεὶ γὰρ ὁ θεὸς καθαρὸς καὶ ἀμίαντος ὤν, παρήγγειλε τῷ Λαΐῳ μὴ κοινωνεῖν τῇ γυναικὶ μηδὲ συνουσιάζειν αὐτῇ, ἐπεὶ δὲ παρήκουσεν αὐτοῦ, καὶ ἐγένετο οἰδίποδος πατήρ, διὰ τοῦτο ἐμίσησεν ἅπαν τὸ γένος αὐτοῦ.

ἴτω κατ' οὖρον κῦμα κωκυτοῦ λαχὸν
Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος.

χο. Ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ-
νει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν
αἵματος οὐ θεμιτοῦ.

ἐτ. Φίλου γὰρ αἰχθρά μοι πατρὸς τέλει' ἀρὰ
ξηροῖς ἀκλαύστοις ὄμμασι προσιζάνει,
λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.

χο. Ἀλλὰ σὺ μὴ 'ποτρύνου, κακὸς οὐ κεκλή-
σῃ, βίον εὖ κυρήσας· μελάναιγις δ' οὐκ
εἶσι δόμοι ἐριννὺς, ὅτ' ἂν ἐκ χερῶν
θεοὶ θυσίαν δέχωνται.

ἐτ. Θεοῖς μὲν ἤδη πως παρημελήμεθα,
χάρις δ' ἀφ' ἡμῶν ὀλουμένων θαυμάζεται·
τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον;

¶Ὠμοδακής] ἡ ἄλογος ἄγαν ἐπιθυμία παρορμᾷ καὶ κινεῖ σε τελεῖν καὶ ποιεῖν ἀνδροκτασίαν, πικρὸν καρπὸν καὶ κέρδος ἔχουσαν, ἕνεκεν αἵματος καὶ φόνου οὐ δικαίου. τοῦτ' ἔστι, ὅτι μέλλουσιν οἱ ἀδελφοὶ ἀλλήλους ἀναιρεῖν. ¶Ξηροῖς ἀκλαύστοις ὄμμασι] ἀσυμπαθέσιν, ἀνηλεήτοις. ¶Λέγουσα κέρδος] κέρδος μοι ὑποτιθεμένη τὸ προτιμῆσαι ἀποκτείναντα, ἢ ὑστερῆσαι· ὅτι κρεῖττον τὸ προφθάσαι ἀναιρήσαντα τὸν πολέμιον, ἢ καὶ ἐάσαι ἐκεῖνον ὕστερον ζῆν, καὶ ἀναιρεθῆναι ὑπ' ἐκείνου. ¶Κακὸς οὐ κεκλήσῃ] καλῶς γὰρ καὶ ἐναρέτως ζήσας πρὸς τοὺς θεοὺς καὶ τὸν βίον εὖ διάξας, οὐ νομισθήσῃ φαῦλος. οὐδὲ ἡ πάνυ φοβερὰ καὶ μέλαιναν ἔχουσα αἰγίδα ἐριννὺς εἴσω καὶ εἰσέρχεται ἐπὶ τὸν οἶκον ἐκείνου τοῦ ἀνθρώπου, οὗ ἂν ἐκ τῶν χειρῶν θεοὶ θυσίαν προσδέχονται. ἀντὶ τοῦ καθαρὰς τὰς χεῖρας ἔχοντος. ¶Θεοῖς μὲν ἤδη] τοῖς μὲν θεοῖς, φησίν, ἤδη καταπεφρονήμεθα. ἀγαθοεργία δέ τις ἀφ' ἡμῶν θαυμάζεται, ὀλομένων, ἤγουν ἀποθανόντων, ἡμῶν. μετὰ θάνατον γάρ, φησίν, αἱ πράξεις τῶν ἀνθρώπων θαυμάζονται. τί οὖν οὐχὶ γενναῖόν τι δράσαντες, εὐκλεῶς ἀποθανούμεθα, τὸν πολυνείκην ὡς ἀσεβῆ ἀδελφὸν ἀνελόντες· ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτὸν ἀνδρείως; Ἄλλως. χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται, ἤγουν τὸ ἀπόλλειν ἡμᾶς ἐν χάριτος μοίρᾳ λαμβάνουσι, ἢ μετὰ θάνατον ἴσως εὐκλείας τευξόμεθα. ¶Σαίνοιμεν] κολακεύοιμεν· ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν σαινόντων τὰς οὐρὰς αὐτῶν ὅταν πρὸς ἀρχὰς οἱ δεσπόται κληθῶσι· τούτους λέγομεν σαίνοντας.

χο. Νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ δαίμων
λήματος ἂν τροπαίᾳ χρονίᾳ μεταλ-
λακτὸς, ἴσως ἂν ἔλθοι θαλερωτέρῳ
πνεύματι· νῦν δ' ἔτι ζεῖ.

ἐτ. Ἐξέζεσεν γὰρ Οἰδίπου κατεύγματα·
ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων
ὄψεις, πατρῴων χρημάτων δατήριοι.

χο. Πείθου γυναιξὶ, καίπερ οὐ στέργων ὅμως.

ἐτ. Λέγοιτ' ἂν ὧν ἄνυσις· οὐδὲ χρὴ μακράν.

χο. Μὴ ἔλθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.

ἐτ. Τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.

χο. Νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός.

ἐτ. Οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.

χο. Ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;

ἐτ. Θεῶν διδόντων, οὐκ ἂν ἐκφύγοις κακά.

χο. Πέφρικα τὰν ὠλεσίοικον θεὸν, οὐ θεοῖς ὁμοίαν.
ἃ γὰρ νύκτωρ παρεκελεύσατο καὶ γέγωνε
πανάληθη, κακόμαντιν πατρὸς εὐκταίαν ἐρινὺν
τελέσαι τὰς περιθύμους

¶Νῦν ἔτι σοι παρέστακεν] νῦν κολακευτέον τὸν θάνατον, ὅτι σοι τοῦτο παρέστηκε καὶ ἐπῆλθε, ἐπεὶ ὁ θυμὸς χρονίως καὶ βραδέως ποτὲ ἴσως ἂν ἔλθοι, μεταλλαγμένος ἐν ἀναστροφῇ τῇ μεταλλοιώσει τοῦ φρονήματος, ἐν θαλερωτέρῳ καὶ ἀσθενεστέρῳ τῷ ἀναπεπτωκότι πνεύματι· νῦν δὲ ἀκμαῖον ἀναζέει ὁ θυμός. τοῦτο δὲ λέγει, ὑπολαμβάνουσα ὅτι ἴσως ὀψέ ποτε ἀναπείσεις καὶ ῥαθυμήσεις, τὸν θυμὸν καταστελεῖς, καὶ οὐ θελήσεις ἀποθανεῖν. ¶Κατεύγματα] ἀραί. ¶Ἄγαν δ' ἀληθεῖς] ὡς τοῦτο ἐν τοῖς ὀνείροις ἰδὼν ὁ Ἐτεοκλῆς, ὅτι δι' αἵματος αὐτοῖς ἔσται ἡ τῶν χρημάτων διανομή. ¶Ὧν ἄνυσις] ἀνύσιμα καὶ πληρωθῆναι δυνάμενα. ¶Νίκην γε μέντοι] τοῦτο λέγει, ὅτι ἐὰν μὴ τὸν ἀδελφόν σου φονεύσῃς, τιμωρίας ὑπόσχῃς. τὴν γὰρ κακὴν δίκην ἢ νίκην, λέγω δὲ τὴν γινομένην ἀνόμως, τιμωρεῖται ὁ θεός· ἢ κατ' ἐρώτησιν ἀναγνωστέον, ἀντὶ τοῦ, ἀποδέχεται ὁ θεὸς καὶ τιμᾷ τὴν ἐπὶ κακῷ νίκην; ¶Οὐκ ἄνδρ' ὁπλίτην] οὐ χρὴ τὸν τοιοῦτον ἐμὲ ἀγαπᾶν καὶ στέργειν τὸν ὑμέτερον λόγον, ὡς στρατιώτην ὄντα, καὶ σπεύδοντα τιμωρήσασθαι τὸν ἐχθρόν. ¶Πέφρικα τὰν ὠλεσίοικον] δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὸν ἐρινύν, οὐδὲν ἔχουσαν θεοῖς ὅμοιον. πᾶς γὰρ θεός, ἀγαθοποιός. θεοὶ γὰρ δωτῆρες ἐάων. ¶Πανάληθη, κακόμαντιν] τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν· ἃ γὰρ εἶπε νύκτωρ, ταῦτα ἐγένετο. ¶Πατρὸς εὐκταίαν ἐρινὺν] ἣν ἐπηύξατο Οἰδίπους πληρῶσαι τὰς ἀράς.

κατάρας βλαψίφρονος Οἰδιπόδα.
παιδολέτωρ δ' ἔρις τάδ' ὀτρύνει.
ξένος δὲ κλήροις ἐπινωμᾷ χάλυβος σκυθῶν ἄποικος,
κτεάνων χρηματοδαίτας πικρὸς, ὠμόφρων σίδαρος,
χθόνα ναίειν διαπήλας ὁπόσαν ἂν καὶ φθιμένοισι κατέχειν,
τῶν μεγάλων πεδίων ἀμοίρους.
ἐπειδὰν αὐτοὶ κτάνωσιν, αὐτοδάικτοι θάνωσι,
καὶ χθονία κόνις πίῃ μελαμπαγὲς αἷμα φοίνιον,
τίς ἂν καθαρμοὺς πόροι, τίς ἄν σφε λούσειε;
ὦ πόνοι δόμων νέοι παλαιοῖς ξυμμιγεῖς κακοῖς.
παλαιγενῆ γὰρ λέγω παραιβασίαν ὠκύποινον·
αἰῶνα δ' ἐς τρίτον μένει· Ἀπόλλωνος εὖτε Λάϊος
βίᾳ, τρὶς εἰπόντος ἐν μεσομφάλοις πυθικοῖς
χρηστηρίοις, θνάσκοντα γέννας ἄτερ, σώζειν πόλιν·

¶Παιδολέτωρ δ' ἔρις τάδ' ὀτρ.] ταῦτα παρορμᾷ. δῆλον δὲ ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται. ὑποκοριστικῶς δὲ τὴν ἑαυτῶν ἔριν εἶπεν. ¶Ξένος δὲ κλήροις] ποιητικῶς πάνυ ταῦτά φησι. τὸν γὰρ χαλυβαϊκὸν καὶ σκυθικὸν σίδηρόν φησι ταῦτα πράττειν. σωματοποίηκε γὰρ τὸν σίδηρον, ὅν φασιν οὕτως ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα δάσασθαι βουλομένων, καὶ διὰ ταῦτα πολεμούντων. ὅστις οὖν, φησί, μερίζει τοῖς παισὶ τούτοις καὶ ὥσπερ ἀποκληροῖ οὐχὶ πεδία μεγάλα, ἀλλὰ παντελῶς μικρά, δυνάμενα μόνον αὐτῶν τὰ σώματα χωρῆσαι πεπτωκότα. ὅταν μέντοι αὐτοὺς κτείνωσι, καὶ ἡ πατρία αὐτῶν κόνις πίῃ τὸ αἷμα, τίς ἂν τὸ μύσος αὐτῶν ἀποκαθάρῃ; ἤ, ὅταν ὁ ἕτερος ἀποκτείνας, αὐτὸς ζήσῃ, τίς αὐτὸν καθαρεῖ τοῦ μύσους; ἐάν, φησίν, ἡ πατρία γῆ πίῃ τὸ αὐτῶν αἷμα. ὅθεν καὶ αὐτόχθονας φαμέν. ¶Φθιμένοισι κατέχειν] τάφου μοῖραν ἀπομερίσας αὐτοῖς. ¶Αὐτοδάικτοι θάνωσι] αὐτοὶ ἑαυτοὺς φονεύσαντες, τῷ ἑαυτῶν σιδήρῳ ἑαυτοὺς τρώσαντες. ¶Τίς ἂν καθαρμοὺς πόροι] τίς ἂν καθαρμὸς εὑρεθείη τοῖς αὐτοὺς ἐκλούσει τοῦ τοιούτου μιάσματος; ¶Παλαιγενῆ γὰρ λέγω] παλαιὰν γὰρ λέγω παράβασιν, τὴν παρὰ τοῦ Λαΐου γενομένην (παρέβη γὰρ τὸν χρησμὸν τοῦ Ἀπόλλωνος) τὴν ὠκύποινον, τὴν ταχέως τιμωρήσασαν καὶ μετιοῦσαν ἐκεῖνον. μένει δὲ ἀκμὴ καὶ εἰς τρίτην γενεάν, Λαΐου, Οἰδίποδος, καὶ τῶν τέκνων αὐτοῦ, Ἐτεοκλέους καὶ Πολυνείκους. ¶Ἀπόλλωνος εὖτε Λάϊος] ὁπηνίκα ἦλθεν ὁ Λάϊος. λείπει δὲ τοῦτο, τοῦ Ἀπόλλωνος εἰπόντος τρὶς αὐτὸν ἐν τοῖς πυθικοῖς μαντείοις, σώζειν τὴν πόλιν, θνήσκοντα γέννας ἄτερ. ἤγουν χωρὶς παιδοποιΐας, μὴ τεκνοποιήσαντα. διὰ δὲ τοῦ εἰπεῖν, ὅτι τρὶς εἶπεν ὁ θεὸς τῷ Λαΐῳ, Μὴ σπεῖρε τέκνων ἄλοκα, ἐπεὶ κτενεῖ σε ὁ φύς, τὸ φιλάνθρωπον ἐμφαίνεται καὶ κηδεμονικὸν τοῦ θεοῦ. αὐτὸς δὲ ὁ Λάϊος παρωσάμενος τὰς τοῦ θεοῦ ἐντολάς, ὑπὸ τῶν αὐτοῦ φίλων ἢ ἡδονῆς κρατηθείς, ἢ τῆς γυναικός· κρείσσω γὰρ τὰ πάθη τῶν λογισμῶν· ἢ τῶν συγγενῶν ἐκ φίλων, ὡς ἀνεκοπώθη τὸν χρησμόν· ἐγέννησε τὸν πατροκτόνον Οἰδίποδα, θάνατον ἑαυτοῦ.

κρατηθεὶς δ᾽ ἐκ φίλων ἀβουλίαις,
γείνατο μὲν μόρον αὐτῷ, πατροκτόνον Οἰδιπόδαν,
ὅστε μητρὸς ἁγνὰν σπείρας ἄρουραν, ἵν᾽ ἐτράφη,
ῥίζαν αἱματόεσσαν ἔτλα. παράνοια συνᾶγε
νυμφίους φρενώλεις, κακῶν δ᾽ ὥσπερ θάλασσα κῦμ᾽ ἄγει·
τὸ μὲν πιτνόν, ἄλλο δ᾽ ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύμναν
πόλεως καχλάζει. μεταξὺ δ᾽ ἀλκὰ δι᾽ ὀλίγου
τείνει πύργος ἐν εὔρει. δέδοικα δὲ σὺν βασιλεῦσι
μὴ πόλις δαμασθῇ· τέλεια γὰρ παλαίφατοι ἀραί,
βαρεῖαι καταλλαγαί, τὰ δ᾽ ὀλοὰ τελλόμεν᾽ οὐ παρέρχεται.
πρόπρυμνα δ᾽ ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστῶν

¶Ὅστε μητρὸς] ὅστις ὁ Οἰδίπους ἔτλη καὶ ἐκαρτέρησε καὶ ὑπέμεινε, σπείρας ῥίζαν αἱματόεσσαν, ἤτοι ἄρρενα γόνους, ἵνα καὶ ὅπου ἐτράφη, ἤγουν εἰς τὴν τῆς μητρὸς αὐτοῦ γαστέρα, οὐχὶ πρὸς ἁγνὰν ἄρουραν, τουτέστιν οὐ πρὸς ὁσίαν καὶ νομίμην γυναῖκα. ἡ δὲ ἄνοια συνέμιξε νυμφίους φρενώλεις, καὶ τὰς φρένας ἀπολέσαντας, τὸν Οἰδίποδα καὶ τὴν Ἰοκάστην. Ἄλλως. ἔτλη δὲ ἀγνοίᾳ συναγαγεῖν τοὺς γάμους ὁ τὰς φρένας βλαβείς. ἡ δὲ ἄγνοια, φησί, τὰς φρένας ἀπολλῦσα συνήγαγε νυμφίους. ¶Κακῶν δ᾽ ὥσπερ] τὰ κακά, ὥσπερ θαλάσσης κῦμα, ἔφθασαν, καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν· ἅπερ βρέμει καὶ ἠχεῖ περὶ τὸ ἄκρον τῆς πόλεως. τοῦτο δὲ λέγει ὅτι τὸ μὲν τῶν κακῶν κῦμα πίπτει, τὸ δὲ, ἐγείρεται, τὸ δὲ, περὶ τὴν ναῦν περιρρήγνυται. ¶Μεταξὺ δ᾽ ἀλκά] μεταξὺ δὲ ἡμῶν καὶ τῶν πολεμίων τείνεται ἀλκὴ καὶ βοήθεια ἡμῶν, καὶ ἀποσόβησις τῶν πολεμίων δι᾽ ὀλίγου. τίς δὲ ἐστὶν ἡ ἀλκὴ ἡ μεταξὺ ἑκατέρων; ὁ πύργος τῆς πόλεως. τουτέστι, μόνον τὸν πύργον τῆς πόλεως ἔχομεν βοηθοῦντα ἡμῖν καὶ τοὺς ἐχθροὺς ἀποσοβοῦντα. ¶Ἐν εὔρει] ἐν πλάτει, ἐν μεταιχμίῳ. ¶Δέδοικα δὲ] φοβοῦμαι μὴ σὺν τῷ Πολυνείκει καὶ Ἐτεοκλεῖ ἀφανισθῇ καὶ ἡ πόλις. τέλειαι γὰρ καὶ εἰς τέλος ἐξέρχονται καὶ πληρούμεναι αἱ πάλαι ῥηθεῖσαι τοῦ Οἰδίποδος ἀραί· ὅτι ηὔξατο τοὺς ἑαυτοῦ υἱοὺς διὰ σιδήρου τὴν βασιλείαν διαμερίσασθαι. ἤ, αἱ πάλαι χρησμῳδηθεῖσαι τῷ Λαΐῳ. ¶Τέλεια γὰρ παλαίφατοι] τὸ τέλεια ἀντὶ τοῦ τέλειαι· ὑφῆκε δὲ τὸ ι διὰ τὸ μέτρον. ¶Βαρεῖαι καταλλαγαί] δυσχερὲς τὸ οἰκειωθῆναι αὐτούς, διὰ τὰς κατάρας. ¶Τὰ δ᾽ ὀλοὰ] τὰ δὲ δεινὰ καὶ ὀλέθρια οὐ παρέρχεται ψευδῶς καὶ μάτην, ἀφ᾽ ἡμῶν ὅσον οὔπω τελούμενα καὶ πληρούμενα. ¶Πρόπρυμνα] ὁ δὲ ὄλβος καὶ ὁ πλοῦτος καὶ ἡ εὐτυχία τῶν ἀνδρῶν τῶν ἀλφηστῶν καὶ τῶν φρονίμων καὶ τῶν ἐφευρετῶν τῶν ἀναγκαίων πραγμάτων (τοῦτο δὲ λέγει διὰ τὸν Οἰδίποδα) ἄγαν παχυνθείς, ἤτοι πολὺς καὶ μέγας γενόμενος, ἐκφορεῖται καὶ ἐκβολὴν πάσχει καὶ ὑπομένει. τοῦτο δὲ λέγει, ὅτι ἡ δόξα τοῦ Οἰδίποδος πολλὴ γενομένη καὶ ἄμετρος, νῦν ἀφανίζεται, καὶ ἐκδιώκεται, καὶ ἀπὸ τῆς πόλεως ἐκβάλλεται. ἐκ μεταφορᾶς τῶν ἐμπόρων, οἵτινες πλοῦτον πολὺν σωρεύσαντες, καὶ παχυνθέντες τῷ ὄλβῳ, ὕστερον ἐκβολὴν ποιοῦνται τοῦ ὅλου φόρτου, ναυαγοῦντες καὶ κινδυνεύοντες. Ἄλλως. ὅταν δὲ παχυνθῶσιν οἱ ἄνδρες

πρὸ ὀλέθρου, τότε ὅλον τὸν φόρτον ἐκβολὴν πείσονται. τοῦτο δὲ πρὸς Ἐτεοκλέα. ἐκβολὴν δὲ, τῶν ὑβριστῶν, οἷον δι' ἐκβολῆς ὑβριζόντων.

ὄλβος ἄγαν παχυνθείς. Τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν
θεοὶ καὶ ξυνέστιοι πόλεως, πολύβοτός τ' αἰὼν βροτῶν,
ὅσον τότ' Οἰδίπουν τίον, διαρπαξάνδραν
κῆρ' ἀφελόντα χώρας; ἐπεὶ δ' ἀρτίφρων
ἐγένετο μέλεος ἀθλίων γάμων, ἐπ' ἄλγει δυσφορῶν
μαινομένᾳ κραδίᾳ δίδυμα κάκ' ἐτέλεσε·
πατροφόνῳ χερὶ τῶν κρεισσοτέκνων δ' ἀπ'
ὀμμάτων ἐπλάγχθη· τέκνοις δ' ἀραίας ἐφῆκεν ἐπικότους τροφάς,
(αἲ αἲ, πικρογλώσσους ἀράς) καί σφε σιδαρονόμῳ
διαχειρία ποτὲ λαχεῖν κτήματα· νῦν δὲ τρέω
μὴ τελέσῃ καμψίπους ἐριννύς.

ἀγγ. Θαρσεῖτε παῖδες μητέρων τεθραμμέναι·
πόλις πέφευγεν ἥδε δούλιον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀμβρίμων κομπάσματα·

¶Τίν' ἀνδρῶν γὰρ] τίνα γὰρ ἀπὸ τῶν ὅλων ἀνδρῶν, φησὶ, τοσοῦτον ἐθαύμασαν καὶ οἱ θεοὶ καὶ οἱ κάτοικοι τῆς ἡμετέρας πόλεως, καὶ ἁπλῶς πάντες οἱ ἄνθρωποι (τοῦτο γὰρ δηλοῖ τὸ, πολύβοτος αἰὼν βροτῶν· ἤγουν ἡ ζωὴ, καὶ ὁ βίος τῶν ἀνθρώπων, ὁ πολύβοτος καὶ ὁ πολλοὺς τρέφων, ἢ ὑπὸ τῶν πολλῶν ἐμβατευόμενος, ἢ ἐπὶ πολὺ ἐκτεινόμενος) ὅσον τίον καὶ ἐτίμων καὶ ἐθαύμαζον τότε τὸν Οἰδίποδα, ἀφελόντα ἀπὸ τῆς ἡμετέρας πόλεως τὴν θανατοφόρον μοῖραν τὴν διαρπαξάνδραν, τὴν τοὺς ἄνδρας ἁρπάζουσαν καὶ ἐσθίουσαν. λέγει δὲ τὴν σφίγγα. ¶Ὅσον τότ' Οἰδίπουν τίον] ἴσον θαυμασθῆναι καὶ δοξασθῆναι ἐποίησαν. καὶ Εὐριπίδης, Ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ. ¶Ἐπεὶ δ' ἀρτίφρων] ἐπεὶ ἔμφρων ἐγένετο, ἐπεὶ συνῆκεν ὃ ἔπραξε κατὰ τῆς μητρὸς. ἀδαήμων γὰρ ἦν κατὰ πάντα πρὸ τοῦ μαθεῖν τὸ μητρομίξιον. δίδυμα δὲ κακὰ ἔφη τὸ τῶν δύο ὀφθαλμῶν στερηθῆναι. ἓν γὰρ κακὸν, τὸ ἑνὸς στερηθῆναι, δύο δὲ τὸ ἀμφοτέρων· ἢ τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκη γεννήσας, οἳ ἦσαν τῶν ὀφθαλμῶν κρείσσονες. ¶Ἀπ' ὀμμάτων ἐπλάγχθη] ἀντὶ τοῦ, ἐστερήθη τῶν κρεισσόνων ὀμμάτων, λέγει δὲ τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκην. Ἄλλως. ἐπλάγχθη, ἐχωρίσθη. ¶Ἐπικότους τροφὰς] ἐπιβλαβεῖς δὲ ἀρὰς περὶ τροφῶν ἐφῆκεν αὐτοῖς. ¶Καί σφε σιδ.] καὶ τοῦτο ἐπηράσατο, διὰ σιδήρου αὐτοὺς τὴν οὐσίαν κτήσασθαι. ¶Καμψίπους ἐριννὺς] ἡ κάμπτουσα κολαζομένων τοὺς πόδας. οἱονεὶ ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν. ¶Θαρσεῖτε παῖδες] ἄγγελος ὁ καὶ πρότερον ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος καὶ νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν. ¶Μητέρων τεθραμμέναι] συγγενεῖς, ἢ ἁγναί, ὑπὸ μητέρων ἁπαλῶς τεθραμμέναι. ¶Πόλις πέφευγεν] ἐπὶ τῆς προσβολῆς καὶ συγκρούσεως τῶν πολεμίων, καὶ τῆς ἐκ πόντου ζάλης τροπικῶς τῷ λόγῳ ἐχρήσατο. πολλὰ χειμασθεῖσα ἡ πόλις παρὰ τῶν πολεμίων, ἀπόρθητος μόλις ἔμεινε, καὶ ἀβλαβὴς διεσώθη.

πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίῳ
πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφραξάμεσθα μονομάχοισι προστάταις·
καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι·
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
κραίνων παλαιὰς Λαΐου δυσβουλίας.
χο. Τί δ' ἐστὶ πρᾶγμα νεόκοτον πόλει πέρι;
ἀγ. Πόλις σέσωσται, βασιλέες δ' ὁμόσποροι
ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.
χο. Τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.
ἀγ. Φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένος.
χο. Οἲ ἐγὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.
ἀγ. Οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.
χο. Ἐκεῖθι κἦλθον; βαρέα δ' οὖν, ὅμως φράσον.
ἀγ. Οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.
χο. Οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.
ἀγ. Αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,

¶Πόλις δ' ἐν εὐδίᾳ] ἀλληγορεῖ πάλιν, καὶ λέγει ὅτι πολλῶν προσβαλόντων τῇ πόλει, οὐδεὶς εἰς αὐτὴν εἰσέπεσε. ¶Ἄντλον] ναυάγιον, πλημμύρα τοῦ κύματος, τὸ ὕδωρ. ἄντλον δὲ λέγεται τὸ ἀπὸ τοῦ κλύδωνος εἰσερχόμενον ὕδωρ. ἐπιμόχθως οὖν οἱ ναῦται ἐξαντλοῦσι τὸ ἐκ τῆς θαλάσσης ὕδωρ ἐκφέροντες· ἐξ οὗ καὶ τὸ καλούμενον ἀντλητήριον. ¶Ὁ σεμνὸς ἑβδομαγέτας] τὸν Ἀπόλλωνα λέγει, ὃς ἐν ἑβδόμῃ ἡμέρᾳ τοῦ μηνὸς γεννηθεὶς, ἐκλήθη ἑβδομαγέτας. Ἄλλως. ἀξιοπίστως καὶ τὸν ἀριθμὸν τῶν πυλῶν εἴρηκεν. ἡ ἑβδόμη, φησὶ, πύλη, ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνος τῷ Λαΐῳ δοθέντα, τέλος λάβῃ. ἑβδόμῃ γὰρ ἐγεννήθη Ἀπόλλων. πέπονθεν οὖν οὐχὶ αὕτη ἡ πύλη ἡ ἑβδόμη, ἀλλ' ὁ φυλάττων αὐτὴν Ἐτεοκλῆς. ¶Εἵλετ' Οἰδίπου γένει] ἐνέβαλε, προέκρινεν ὥστε φυλάττεσθαι τῷ Ἐτεοκλεῖ. Ἄλλως. ἔσωσεν. ¶Νεόκοτον] νεωστὶ κατεσκευασμένον. ¶Μάντις εἰμὶ τῶν κακῶν] προέγνων γὰρ αὐτά. ¶Οὐδ' ἀμφιλέκτως] οὐδ' ἀμφιβόλως, ἀλλ' ἀληθῶς εἰσὶ τῇ σποδῷ κεκονιαμένοι, κατακεχωσμένοι, ἀνῃρημένοι. ¶Ἐκεῖθι κἦλθον] εἰς τοσοῦτον ἦλθον ὥστε καὶ φονευθῆναι τὸν βασιλέα; ¶Αὐτὸς δ' ἀναλοῖ] ὁ Ἀπόλλων ἀναλίσκει τὸ τοῦ Οἰδίποδος γένος.

διαὐ στρατηγὼ διέλαχον σφυρηλάτῳ
σκύθῃ σιδήρῳ, κλήματος παμπησίαν.
ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονός,
πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.
πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν
πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.
χο. Ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
δαίμονες, οἳ δὴ Κάδμου πύργους τούσδε ῥύεσθε·
πότερον χαίρω, κἀπολολύξω πόλεως ἀσινεῖ σωτῆρι,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχους·
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ. ὦ μέλαινα καὶ τελεία
γένεος Οἰδίπου τ' ἀρά, κακόν με καρδίαν τι περιπιτνεῖ
ἔτευξα τύμβῳ μέλος ὡς θυιὰς αἱματοσταγεῖς (κρύος·
νεκροὺς κλύουσα δυσμόρους θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός ἐξέπραξεν, οὐδ' ἀπεῖπε

¶Παμπησίαν] τὴν περιουσίαν, διανομήν, ὁλοκληρίαν, ἀπὸ τοῦ πᾶς παντὸς καὶ τοῦ πῶ τὸ κτῶμαι. παμπησία δὲ λέγεται ἡ πᾶσα περιουσία τοῦ ὅλου βίου. ¶Ὦ μεγάλε Ζεῦ] ὦ μέγιστε Ζεῦ, καὶ οἱ τὴν πόλιν συνέχοντες θεοί, οἵτινες δὴ νῦν ῥύεσθε καὶ φυλάττετε τούσδε τοὺς πύργους τοῦ Κάδμου, ἤτοι τῆς πόλεως τῶν Θηβαίων· ἆρα χαίρω καὶ ὑμνήσω καὶ παιανίσω ἐπὶ τῇ τῆς πόλεως σωτηρίᾳ, ἢ θρηνήσω καὶ ἀποκλαύσομαι τοὺς ἀπαῖδας καὶ δυστυχεῖς πολεμάρχους; λέγει δὲ τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην. φρονίμως δὲ ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμεν, καὶ σωτηρίας τῆς πόλεως ἅπτεται ἢ γίνεται τὸ θρηνεῖν, καὶ, Οὐχ ὅσιον κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι. ἐν δὲ τῷ, ὦ μεγάλε Ζεῦ καὶ δαίμονες, ἔστιν ὁ τρόπος ἐξοχή. Ζεὺς γὰρ καὶ οἱ θεοί. ¶Ἀτέκνους] ἐπὶ κακῷ τεχθέντας. ¶Οἳ δῆτ' ὀρθῶς] ὀρθῶς καὶ ἐπωνύμως Ἐτεοκλῆς καὶ Πολυνείκης ἐκλήθησαν. ¶Ὦ μέλαινα καὶ τελεία] ἡ συντελεσθεῖσα ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά. κρύος τι καὶ φόβος κακὸς καὶ χαλεπὸς περιπίπτει τῇ καρδίᾳ μου. ἤ, φόβος κακοῦ, ἀντὶ τοῦ, κινδύνου. ¶Περιπιτνεῖ κρύος] περιπίπτει φόβος κακοῦ. ¶Ἔτευξα τύμβῳ μέλος] ἤτοι κατεσκεύασα καὶ ἐποίησα μέλος ἐπὶ τύμβῳ, ἤτοι θρῆνον ἐπιτύμβιον, ὡς θυιὰς καὶ ὡς βάκχη, κλύουσα καὶ ἀκούουσα αὐτοὺς καὶ μαθοῦσα νεκροὺς αἵματι βεβρεγμένους, δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων. Ἄλλως. κλύουσα αὐτοὺς δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων, ἐπιτύμβιον θρῆνον ἔτευξα, ὡς θυιάς. ¶Ἡ δύσορνις] οὕτως δύσορνις καὶ δυσοιώνιστος, καὶ οὐ κατὰ σκοπὸν γέγονεν αὐτοῖς ἡ συμφορὰ καὶ ἡ συνέλευσις τῆς μάχης. ἐπὶ κακῷ συνῆλθον εἰς μάχην. ἡ δὲ τοῦ Οἰδίποδος κατάρα ἐξέπραξε καὶ εἰς τέλος ἤγαγε τὰ κακά. ¶Οὐδ' ἀπεῖπε] οὐκ ἀπηγόρευσε τὸ ποιῆσαι τὰ δεινά.

πατρόθεν εὐκταία φάτις·
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
μέριμνα δ' ἀμφὶ πόλιν,
καὶ θέσφατ' οὐκ ἀμβλυώνεται. ἰὼ πολύστονοι τόδ' εἰρ-
γάσασθε ἄπιστον· ἦλθε δ' αἰακτὰ πήματ' οὐ λόγῳ·
τάδ' αὐτόδηλα, προὖπτος ἀγγέλου λόγος·
διπλαῖ μέριμναι, δίδυμ' ἀνορέα
κάκ' αὐτοφόνα, δίμοιρα τέλεια τὰ πάθη. τί φῶ;
τί δ' ἄλλο γ' ἢ πόνοι πόνων, δόμων ἐφέστιοι.
ἀλλὰ γόον ὦ φίλαι κατ' οὖρον
ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν
πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται
τὰν ἄστονον, μελάγκροκον ναύστολον θεωρίδα,
τὰν ἀστιβῆ Ἀπόλλωνι, τὰν ἀνάλιον,
πάνδοκον, εἰς ἀφανῆ τε χέρσον.
ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
πικρὸν, Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη

¶Βουλαὶ δ' ἄπιστοι] αἱ βουλαὶ δὲ τοῦ Λαΐου διῆλθον καὶ διεπληρώθησαν. λέγει δὲ τὰς περὶ τὴν μῖξιν τῆς αὐτοῦ γυναικός. ἄπιστοι δὲ, ὅτι οὐκ ἐπείσθη τῷ Ἀπόλλωνι, εἰπόντι αὐτῷ μὴ συνελθεῖν τῇ γυναικὶ Ἰοκάστῃ. ¶Μέριμνα δ' ἀμφὶ πόλιν] ἡ μέριμνα δὲ, ἤτοι ἡ φροντὶς ἣν εἶχεν ὁ Λάϊος περὶ τὴν μῖξιν, καὶ τὰ θεσπίσματα τοῦ Ἀπόλλωνος, οὐκ ἀμβλυώνεται καὶ παρέρχεται, ἀλλ' ἔργοις τελεῖται. ¶Αἰακτὰ] θρηνητικά. ¶Αὐτόδηλα] αὐτὰ δὲ ταῦτα φανερά. ὁρᾷ γὰρ τὰ σώματα βασταζόμενα ὁ χορός. ¶Αὐτοφόνα] ἀλληλοκτόνοι γὰρ ἐγένοντο. ¶Δόμων ἐφέστιοι] τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ τούτοις τοῖς οἴκοις. ¶Ἀλλὰ γόον ὦ φίλαι] ἀλλὰ θρῆνον ἐρέσσετε. ἐκ μεταφορᾶς τῶν πλεόντων σὺν τῇ τοῦ κρατὸς προσοδευούσῃ κρούσει τῶν χειρῶν. ¶Πίτυλον] πίτυλος ὁ θόρυβος. ἀπὸ τοῦ τύπτω τυπτυλος, καὶ πίτυλος. καὶ ἔστι κυρίως ὁ ἀπὸ τῶν ἐρεσσομένων κωπίων γινόμενος θόρυβος. ¶Ναύστολον] τὴν διάγουσαν τοὺς νεκρούς. ¶Θεωρίδα] οἱ Ἀθηναῖοι ἔστελλον ναῦν ἐστεφανωμένην εἰς τὸν Ἀπόλλωνα διὰ μαντείας. θεωρίδα γοῦν ἐκείνην ἐκάλεσαν, ὡς εἰς θεὸν ἀπερχομένην, καὶ τοῦ θεοῦ θέσφατα πάλιν μετακομίζουσαν. ἐξ ἐκείνης οὖν καταχρηστικῶς τὴν ναῦν θεωρίδα ἐκάλεσεν. Ἄλλως. οὐ τὴν τοῦ Χάρωνος ναῦν, θεωρίδα εἶπεν. κυρίως δὲ τοῦ Ἀπόλλωνος ἡ εἰς Δῆλον ἀπερχομένη. λέγει δὲ ὅτι ταύτην τὴν ὁδὸν θεωρητικὴν ὥσπερ οἶδεν ὁ στόνος τῆς ἐπὶ τὸν Ἀχέροντα, τὴν ἀνήλιον, ἣν μηδὲ ἥλιος ὁρᾷ· ἢ, τὴν ἀείπολον. ἁγνὴ γὰρ ἐκείνη ἡ εἰς Δῆλον ἀπιοῦσα. πάνδοκον δὲ, ἐπεὶ πάντας δέχεται τοὺς ἀποθνήσκοντας. ¶Πρᾶγος πικρὸν] ἥκουσιν ἐπὶ πρᾶγμα πικρὸν καὶ συμφορὰν αἱ ἀδελφαὶ τῶν βασιλέων.

θρήνων ἀδελφοῖν, οὐκ ἀμφιβόλως
οἶμαι σφ' ἐρατῶν ἐκ βαθυκόλπων
στηθέων ἥσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυσκέλαδον θ' ὕμνον ἐριννύος
ἰαχεῖν, ἀΐδα τ' ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.
ἡμ. Ἰὼ δυσαδελφόταται πασῶν, ὁπόσαι
στρόφον ἐσθῆσι περιβάλλονται,
κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.
ἡμ. Ἰὼ ἰὼ δύσφρονες φίλων ἄπιστοι, καὶ κακῶν ἀτρύμονες,
πατρῴους δόμους ἑλόν- τες μέλεοι σὺν ἀλκᾷ.
ἡμ. Μέλεοι δῆθ', οἳ μελέους θανάτους
εὕροντο δόμων ἐπὶ λύμῃ.
ἡμ. Ἰὼ ἰὼ δωμάτων ἐρειψίτοιχοι, καὶ πικρὰς μοναρχίας
ἰδόντες, ἤδη διήλ- λαχθε σὺν σιδάρῳ,
οὐκ ἔτ' ἐπὶ φιλίᾳ,
ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε.
κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα καλεύγματα
πότνι' ἐριννὺς ἐπέκρανε.
ἡμ. Δι' εὐωνύμων τετυμμένοι.

¶Ἡμᾶς δὲ δίκη] δίκαιον ἡμᾶς προκατάρχεσθαι, ὡς προακουσάσας. ¶Ἐχθρὸν παιᾶν' ἐπιμέλπειν] ἔστι γὰρ καὶ παιὰν ἐπ' ἀγαθοῖς. ¶Ἰὼ δυσαδελφόταται] ὦ δυσαδελφόταται πασῶν παρθένων αἳ μίτρας κατὰ τὴν φθορὰν λύονται. αὐτὴ δὲ τῆς μίτρας καὶ ζώνης νῦν στρόφον εἶπεν. ¶Ἀτρύμονες] ἐν κακοῖς ἀκμῶντες, τῶν κακῶν ἀκόρεστοι. ταῦτα λέγει ὁ χορὸς πρὸς τὸν Ἐτεοκλέα καὶ Πολυνείκην. Ἄλλως. ἀτρύμονες, ἀδάμαστοι, ἀκαταπόνητοι, ὑπὸ τῶν κακῶν μὴ νικηθέντες, ἢ οἷς πολλὰ κακὰ ἐδάμασαν. ¶Πατρῴους δόμους ἑλόντες] αἴτιοι τῆς ἁλώσεως γενόμενοι. πορθήσαντες, ἐρήμους ποιήσαντες τῷ ξίφει. ¶Διήλλαχθε] κακὴ διαλλαγὴ ἡ διὰ θανάτου. μὴ ὄντες γάρ, οὐδὲ μάχην ἔχετε τὸ ἀπὸ τοῦδε. ἤ, διήλλαχθε ἀντὶ τοῦ ἀπηλλάγητε. Ἄλλως. ἡ διαλλαγὴ ὑμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέσει τοῦ σιδήρου. ¶Κάρτα δ' ἀληθῆ] κάρτα δὲ τὰ λίαν ἀληθῆ ἐπέκρανε, τὰ ἐπλήρωσε τὰ καλεύγματα τοῦ πατρὸς Οἰδίποδος, ἡ σεβασμία καὶ τιμία ἐριννὺς ἐκείνου, ἤτοι τοῦ Οἰδίποδος. ἤγουν, ἐπλήρωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων. ¶Δι' εὐωνύμων τετυμμένοι] τὸ ἑξῆς τοῦ λόγου οὕτως νοητέον, ἤδη διήλλαχθε σιδήρῳ οὐκ ἔτ' ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ

φόνῳ, διεκρίθησαν τετυμμένοι καὶ τετρωμένοι δι' ἀλλήλων. τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις, ὅτι διαμπὰξ ἀλλήλων τὰς πλευρὰς τρώσαντες. ἑκάτερος γὰρ τῶν μονομαχούντων, τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται. ὅτι διὰ τῶν πλευρῶν αὐτῶν τετυμμένοι τεθνήκασιν οἱ ὁμόσπλαγχνοι.

ἡμ. Τετυμμένοι δῆθ', ὁμο- σπλάγχνων τε πλευρωμάτων.
ἡμ. Αἶ αἶ δαιμόνιοι, αἶ αἶ δ' ἀντιφόνων
θανάτων ἀραί. ἡμ. Διανταίαν λέγεις πλαγάν.
ἡμ. Δόμοισι καὶ σώμασι πεπλαγμένους ἐννέπω.
ἡμ. Ἀναυδάτῳ μένει ἀραίῳ τ' ἐκ πατρὸς
διχόφρονι πότμῳ.
ἡμ. Διήκει δὲ καὶ πόλιν στόνος, στένουσι πύργοι,
στένει δὲ πέδον φίλανδρον· μενεῖ κτέανά τ' ἐπιγόνοις,
δι' ὧν αἰνομόροις, δι' ὧν νεῖκος ἔβα,
καὶ θανάτου τέλος· ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ', ὥστ' ἴσον λαχεῖν·
Διαλλακτῆρι δ' οὐκ ἀμεμφία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

¶ Τετυμμένοι δῆθ', ὁμοσπλάγχνων] ἐν τῷ μέσῳ τοῦτο ἔφη τὸ ἕτερον ἡμιχόριον, συμμαρτυροῦν καὶ συμφωνοῦν ἐκείνῳ, ἀληθῶς τετυμμένοι. ¶ Διανταίαν λέγεις πλαγάν] πληγὴν διαμπὰξ γινομένην, καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων. ἀμφοτέρων γὰρ ἔχει κακῶς. ¶ Δόμοισι καὶ σώμασιν.] εἰπόντος τοῦ ἡμιχορίου, αἶ αἶ, ἰσοφόνων θανάτων ἀραί, καὶ πρὸς τοῦτο ἀντιφωνήσαντος τοῦ ἑτέρου ἡμιχορίου, ὅτι διανταίαν λέγεις πληγὴν, ὥσπερ ἑρμηνεῦον τὸ ἡμιχόριον πρότερον τί εἶπεν ἄνωθεν, λέγει, ὅτι φημὶ αὐτοὺς στερηθέντας καὶ οἴκων καὶ σωμάτων, διὰ τὸ ἀναιρεθῆναι αὐτοὺς ὑπ' ἀλλήλων. ¶ Ἀναυδάτῳ μένει] ἀκαθέκτῳ ὀργῇ ἀνῄρηνται ὑπ' ἀλλήλων ἰσχύϊ μεγάλῃ καὶ ἀνεκλαλήτῳ. ¶ Μενεῖ κτέανά τ' ἐπιγόνοις] τοῦτό φησιν, ὅτι τὰ χρήματα, ὧν χάριν φιλονεικία ἐγένετο καὶ θανάτου τέλος τοῖς αἰνομόροις ἀδελφοῖς, μενεῖ καὶ ἐπικτηθήσεται τοῖς ἐπιγόνοις καὶ τοῖς συγγενέσιν ἐκείνων. τουτέστιν, ἄλλοι κερδήσουσι τὰ χρήματα δι' ἃ ἐκεῖνοι ἀπώλοντο. ἢ οὕτως, τὰ κτέανα ταῦτα, οἱονεὶ τὰ ὀνείδη, διήξουσι μέχρι τῶν ἐπιγόνων. κτέανα δὲ εἶπεν, ὡς ἐπὶ οὐσίας, οἱονεὶ κληρονόμοι τῶν παθῶν ἐκείνων καὶ τῶν ὀνειδῶν οἱ παῖδες γενήσονται, ὀνειδιζόμενοι τὴν τῶν προγόνων ἀπώλειαν. ¶ Ἐμοιράσαντο] ὀξυθυμοῦντες ἐμοιράσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσα λαχεῖν. λέγει δὲ τὰς ταφάς· μόνος γὰρ ὁ τάφος αὐτοὺς ἐξ ἴσου μεμέρικε, καὶ τοῦτο μόνον ἐκέρδησαν. ¶ Διαλλακτῆρι δ' οὐκ ἀμεμφία] οὐδεὶς ἔπαινος καὶ τιμὴ τῷ καταλλάξαντι αὐτοὺς σιδήρῳ καὶ διαλύσαντι τὸ νεῖκος, ἀλλὰ μέμψις καὶ ὄνειδος. οἱονεὶ μέμφονται δὲ οἱ φίλοι τῷ διαλλακτῆρι αὐτῶν σιδήρῳ, ὡς οὐδετέρῳ χαρισαμένῳ, ἀλλ' ἀνελόντι καὶ τοὺς δύο.

ἡμ. Σιδηρόπλακτοι μὲν ὧδ' ἔχουσι.
ἡμ. Σιδηρόπλακτοι δὲ τοὺς μένουσι,
τάχ' ἂν τις εἴποι, τίνες.
ἡμ. Τάφων πατρῴων λαχαί.
ἡμ. Δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς
προπέμπει δαϊκτὴρ γόος, αὐτόστονος, αὐτοπήμων,
δαΐφρων, οὐ φιλογαθής, ἐτύμως
δακρυχέων ἐκ φρενός, ἃ κλαιομένας μου, μινύθει,
τοῖνδε δυοῖν ἀνάκτοιν. πάρεστιν δ' εἰπεῖν ἐπ' ἀ-
θλίοισιν, ὡς ἐρξάτην πολλὰ μὲν πολιήταις,
ξένων τε πάντων στίχας πολυφθόρους ἐν δαΐ.
δυσδαίμων σφὶν ἁ τεκοῦσα
πρὸ πασᾶν γυναικῶν, ὁπόσαι τεκνογόνοι κέκληνται.
παῖδα τὸν αὑτᾶς πόσιν αὑτᾷ θεμένα,
τούσδ' ἔτεχ', οἱ δ' ὧδ' ἐτελεύτησαν ὑπ' ἀλ-
ληλοφόνοις χερσὶν ὁμοσπόροισιν.
ἰσμ. Ὁμόσποροι δῆτα καὶ πανώλεθροι,
διατομαῖς οὐ φίλαις, ἔριδι μαινομένᾳ,

¶Τάχ' ἄν τις εἴποι, τίνες] ὡς ἀνοήτως αὐτὸ εἰπούσης, ἐρωτᾷ τίνες αὐτοὺς μένουσι. ¶Τάφων πατρῴων λαχαί] αἱ σκαφαί. ὡς τὸ, φυτὸν ἀμπελαχάνην. ¶Δόμων μάλ' ἀχὼ] ἀπὸ τῶν δόμων ἠχὼ καὶ βοὴν προπέμπει ἐπ' αὐτοὺς γόος καὶ θρῆνος, δαϊκτὴρ, καὶ διακόπτων πάντα, αὐτοπήμων, ὅτι ἀφ' ἑαυτοῦ ἔχων τὰ κακὰ, ἐκ βάθους θρηνῶν. ὅπως ἡ ἠχὼ μινύθει καὶ ἐλαττοῦται ἐμοῦ θρηνούσης, καὶ σφοδρότερον ἦχον καὶ μείζονα ποιουμένης. ¶Αὐτόστονος, αὐτοπήμων] ἐν ἑαυτῷ τὸν στόνον ἔχων. ὁ δὲ γόος, φησὶν, αὐτοπήμων ἐστὶν, ἀφ' ἑαυτοῦ τὰ κακὰ ἔχων καὶ τὰ πολέμια. δαΐφρων δὲ, οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων. ¶Δακρυχέων ἐκ φρενὸς] ἐκ βάθους θρηνῶν. ¶Πάρεστιν δ' εἰπεῖν] ἐπ' ἀμφοτέρων, τοῦ τ' Ετεοκλέους καὶ τοῦ Πολυνείκους, ὅτι πολλὰ κακὰ ἔπραξαν τοῖς πολίταις· τοῖς μὲν θηβαίοις ὁ Ετεοκλῆς, τοῖς δὲ ἀργείοις Πολυνείκης. ὡς ἐναντίοι γενόμενοι εἰσὶ θηβαίοις καὶ ἀργείοις. ¶Πολυφθόροις] μετὰ φθορᾶς ἐλθούσας. ¶Δυσδαίμων σφὶν ἁ τεκοῦσα] μήτηρ αὐτῶν δυστυχεστάτη πασῶν γυναικῶν ὅσαι παῖδας ἐτέκοσαν, θεμένη καὶ ποιήσασα ἄνδρα ἑαυτῆς τὸν ἴδιον παῖδα. τοῦτ' ἔστι, δυσδαίμων, ὅτι ὃν ἔτικτεν, ἄνδρα ἔσχε. λέγει δὲ τὸν Οἰδίποδα, ἐξ οὗ ἐγεννήθησαν ὁ Ετεοκλῆς καὶ ὁ Πολυνείκης. ¶Ὁμόσποροι] ἀληθῶς ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασιν, ἀλλήλους διατεμόντες ἐν μανιώδει ἔριδι πρὸς τῷ τέλει τῆς φιλονεικίας. ἀποθανόντων γὰρ αὐτῶν πέπαυται τὸ ἔχθος.

νείκεος ἐν τελευτᾷ. πέπαυται δ' ἔχθος,
ἐν δὲ γαίᾳ ζωὰ φονορρύτῳ μέμικται·
κάρτα δ' εἰσὶν ὅμαιμοι.
χο. Πικρὸς λυτὴρ νεικέων ὁ πόντιος
ξεῖνος ἐκ πυρὸς συθεὶς θηκτὸς σίδαρος· πικρὸς
δὲ χρημάτων κακὸς δατητὰς Ἄρης ἀρὰν
πατρῴαν τιθεὶς ἀληθῆ.
αν. Ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι,
διοσδότων ἀχέων· ὑπὸ δὲ σώματι γᾶς
πλοῦτος ἄβυσσος ἔσται.
ισμ. Ἰὼ πολλοῖς ἐπανθισάμε- τες πόνοισί γε δόμοι·
τελευταῖ δ' αἵδ' ἐπηλάλαξαν ἀραὶ τὸν ὀξὺν νόμον,
τετραμμένου παντρόπῳ φυγᾷ γένους.
ἕστακε δ' ἄτας τρόπαιον ἐν πύλαις
ἐν αἷς ἐθείνοντο, καὶ δυοῖν κρατήσας
ἔληξε δαίμων. αν. Παισθεὶς ἔπαισας.

¶Εν δὲ γαίᾳ] ἐν δὲ τῇ γῇ ῥανθείσῃ τῷ αἵματι, μέμικται ἡ ζωὴ αὐτῶν. ¶Κάρτα δ' εἰσὶν ὅμαιμοι] τῇ συμφορᾷ. ¶Πικρὸς λυτὴρ νεικέων] χαλεπὸς καὶ πικρὸς καὶ ὀδυνῆς αἴτιος λυτὴρ τῶν νεικέων καὶ τῶν φιλονεικιῶν τοῦ Ἐτεοκλέους καὶ τοῦ Πολυνείκους, ὁ ξένος σίδηρος, ὁ πόντιος, ὁ ἐκ πυρὸς συθεὶς καὶ ὁρμηθεὶς, θηκτὸς καὶ ἠκονημένος. πικρὸς δὲ μεριστὴς τῶν χρημάτων ὁ σίδηρος. πόντιον δὲ τὸν σίδηρον λέγει, ὅτι οἱ χάλυβες, παράλιοί εἰσιν, ἐν οἷς ὁ σίδηρος γίνεται· ἢ ὅτι ἔθνος ἐν τῷ πόντῳ οἱ χάλυβες, ὅθεν ὁ σίδηρος. ἐκ πυρὸς δὲ συθεὶς εἶπεν, ὅτι διὰ πυρὸς ἡ κατασκευὴ τοῦ σιδήρου. τὸ δὲ, ἄρης ἀρὰν πατρῴαν τιθεὶς ἀληθῆ, τοῦτό φησιν, ὅτι ἐπηράσατο ὁ Οἰδίπους διὰ ξιφῶν τὴν οὐσίαν αὐτοῦ μερίσαι καὶ διανείμασθαι τοὺς υἱοὺς αὐτοῦ, ταύτην δὲ τὴν τοῦ Οἰδίποδος ἀρὰν ἐπλήρωσεν ὁ σίδηρος. ¶Ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται] πολλὴ τῆς γῆς ἡ ἀφθονία ὑποκείσεται αὐτοῖς. ἢ οὕτως, ὑπὸ γῆν δὲ ὁ πολὺς πλοῦτος αὐτῶν κέκρυπται. ἤγουν ἐν ἀφανείᾳ. ¶Τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν] ἐπὶ δὲ τῇ τελευτῇ αὐτῶν ἠλάλαξαν καὶ ἤχησαν, κατὰ τὸν ὀξύφωνον καὶ μεγαλόηχον νόμον, ἀραὶ τοῦ Οἰδίποδος. ἀντὶ τοῦ, θόρυβον μέγαν καὶ θρῆνον αἱ ἀραὶ ἐποίησαν ἐπὶ τῷ θανάτῳ τούτων, τοῦ γένους παντὸς τοῦ Οἰδίποδος οὐχ ὑποφέροντος τὰς συμφορὰς, ἀλλ' ἡττηθέντος αὐτῶν, καὶ οἱονεὶ δεδωκότος νῶτα τοῖς ἐχθροῖς, ἤγουν τοῖς κακοῖς τοῖς κατὰ τὸ γένος τοῦ Οἰδίποδος ἀνηρημένοις. τῆς δὲ βλάβης τρόπαιον ἔστηκεν ἐν αἷς πύλαις ἐθείνοντο καὶ ἐτύπτοντο τοῖς ξίφεσιν οἱ ἀδελφοί (λέγει δὲ τὰς ἑβδόμας πύλας τῆς πόλεως) καὶ τοὺς δύο ἀπολέσασα ὁ πότμος ἐπαύθη. ¶Παισθεὶς] ἡ Ἀντιγόνη φησὶ πρὸς τὸν Πολυνείκην, τυφθεὶς καὶ πεσὼν, ἔτυψας. φιλικῶς γὰρ διέκειτο πρὸς αὐτόν.

ἰσμ. Σὺ δ' ἔθανες κατακτανών.
ἀν. Δορὶ δ' ἔκτανες. Ισμ. Δορὶ δ' ἔθανες.
ἀν. Μελεόπονος. Ισμ. Μελεοπαθής.
ἀν. Ἴτω δάκρυα. Ισμ. Ἴτω γόος.
ἀν. Προκείσεται κατακτάς·
ἠὲ ἠὲ, μαίνεται γόοισι φρήν.
ἰσμ. Ἐντὸς δὲ καρδία στένει.
ἀν. Ἰὼ ἰὼ πολυδάκρυτε σύ.
ἰσμ. Σὺ δ' αὖτε καὶ πανάθλιε.
ἀν. Πρὸς φίλου γ' ἔφθισο.
ἰσμ. Καὶ φίλον ἔκτανες.
ἀν. Διπλᾶ λέγειν. Ισμ. Διπλᾶ δ' ὁρᾶν.
ἀν. Ἀχέων τοίων τάδ' ἐγγύθεν.
ἰσμ. Πέλας αἵδ' ἀδελφαὶ ἀδελφεῶν.
ἀν. Ἰὼ μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαινά τ' ἐριννὺς, ἦ μεγασθενής τις εἶ.
ἰσμ. Ἠὲ ἠὲ, δυσθέατα πήματ' ἐ- δείξατ' ἐκ φυγᾶς ἐμοί.
ἀν. Οὐδ' ἵκεθ' ὡς κατέκτανε.
ἰσμ. Σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.
ἀν. Ἀπώλεσε δῆτα. Ισμ. Καὶ τὸ τοῦδ' ἐνόσφισε.

¶Σὺ δ' ἔθανες] φησὶ δὲ πάλιν ἡ Ἰσμήνη, σὺ δὲ ὦ Ἐτεόκλες ὁ θανατώσας τὸν Πολυνείκην, ἔθανες ὑπ' αὐτοῦ. Ἄλλως. σὺ ὁ πλήξας ἐπλήγης. σὺ δὲ κατακτανὼν, ἀνελὼν τὸν ἕτερον, ἀπέθανες. ¶Ἴτω δάκρυα] ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον ἴτω δάκρυα· καὶ ὁ ἀνελὼν τὸν ἕτερον, καὶ αὐτὸς προκείσεται, τοῦτ' ἔστι τεθνήξεται. προκείσεται, δηλονότι νεκρός. ¶Ἀχέων τοίων τάδ' ἐγγύθεν] τοῖς πάθεσιν αἰσχυνόμεθα, ἀντὶ τοῦ, οὐκ ἀλλότρια. ¶Πέλας αἵδ' ἀδελφαὶ] ἐγγὺς δὲ κακῶν ὧν ἔπαθον οἱ ἀδελφοί, ἐσμὲν καὶ ἡμεῖς αἱ ἀδελφαί. ¶Ἰὼ μοῖρα] ἐφύμνιον. φεῦ μοῖρα βαρέα πάθη παρέχουσα, καὶ ὦ σεβασμία Οἰδίπου σκιά, σύ τε ὦ ἐριννὺς, ὄντως μεγαλοδύναμος καὶ ἰσχυρά τις εἶ. ¶Οἰδίπου σκιά] σκιὰν Οἰδίποδος αὐτὸν καλεῖ τὸν Οἰδίποδα τυφλωθεὶς γὰρ εἴδωλον ἦν δοκεῖ καὶ οὐ τέλειος ἄνθρωπος. Ἄλλως. ὁ ἀσθενὴς Οἰδίπους ὅτι δοκεῖν μὲν οὐδὲν ὑπάρχει. ¶Ἠὲ, ἠὲ] φεῦ φεῦ. τοῦτο ὡς πρὸς Πολυνείκην καὶ τοὺς μετ' αὐτοῦ φησὶν, ὅτι ἐκ τῆς φυγῆς ἐπανήκοντες, ἐν τῇ ἐνταῦθα μεινάσῃ ἐδείξατε βλάβας ἀφορήτους. ¶Οὐδ' ἵκεθ' ὡς κατέκτανε] ὁ Ἐτεοκλῆς. πρότερος γὰρ κατέκτανε τὸν Πολυνείκην.

ἀν. Τάλαν γόος. Ισμ. Τάλαινα καὶ πάθει
δύστονα κήδε' ὁμώνυμα.
ἀν. Δίυγρα τριπάλτων πημάτων.
ἰσμ. Ολοὰ λέγειν. Αν. Ολοὰ δ' ὁρᾶν.
ἰὼ μοῖρα βαρυδότειρα μογερὰ,
πότνιά τ' Οἰδίπου σκιὰ,
μέλαινά τ' ἐριννὺς, ἦ μεγασθενής τις εἶ.
σὺ τοίνυν οἶσθα διαπεράσας.
ἰσμ. Σὺ δ' οὐδὲν ὕστερον μαθών.
ἀν. Επεὶ κατῆλθες ἐς πόλιν.
ἰσμ. Δορός γε τῷδ' ἀντηρέτας.
ἀν. Ολοὰ λέγειν. Ισμ. Ολοὰ δ' ὁρᾶν.
ἀν. Ιὼ πόνος οὐφ' ἡμῖν. Ισμ. Ιὼ ἰὼ κακὰ δώμασι
καὶ χθονὶ, πρὸ πάντων δ' ἐμοί.
ἀν. Ιὼ ἰὼ, καὶ πρόσω γ' ἐμοί.
ἰσμ. Ιὼ ἰὼ δυστόνων κακῶν
ἄναξ Ετεόκλεις ἀρχηγέτα.
ἀν. Ιὼ πάντων πολυστονώτατοι.
ἰσμ. Ιὼ δαιμονῶντες ἐν ἄτᾳ.
ἀν. Ιὼ ἰὼ ποῦ σφε θήσομεν χθονός.
ἰσμ. Ιὼ ὅπου τιμιώτατον.
ἀν. Ιὼ ἰὼ πῆμα πατρὶ πάρευνον.
κή. Δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν μὲ χρή

¶ Δίυγρα] πήματα χεόμενα, καὶ πολλά. τριπάλτων δὲ πημάτων, σφοδρῶς πεπληγότων. ¶ Ιὼ μοῖρα βαρυδότειρα] τὸ ἐφύμνιον. ¶ Σὺ τοίνυν οἶσθα] σὺ οἶδας ὦ Πολύνεικες τὴν μοῖραν ὅσον δύναται, διαβὰς δι' αὐτῆς, ἤ δι' αὐτὴν καταβὰς εἰς τὸν ᾅδην. σὺ δὲ ὦ Ετεόκλες, οὐ μετ' οὐ πολὺ, οὐδ' ὕστερον ἔμαθες ἀντηρὴς, τὸν ἀδελφόν σου πολεμήσας. ¶ Αντηρέτας] ἀντηρέτης, ἤγουν ἀντιστάτης τοῦ Ετεοκλεῖ. ¶ Ολοὰ δ' ὁρᾶν] οὐ μόνον ταῦτα λέγειν ὀλοὰ, ἀλλὰ καὶ ὁρᾶσθαι. κεῖται γὰρ τὰ σώματα. ¶ Ιὼ ἰὼ κακὰ δώμασι] ἃ δι' ὑμᾶς ἔχομεν. ¶ Δαιμονῶντες] λυσσήσαντες. ¶ Ιὼ ἰὼ πῆμα] ἀπὸ γὰρ τῆς ἄτης τῆς τοῦ Οἰδίποδος ταῦτα. ἄλλως πάρευνον, παρὰ τὴν εὐνὴν τοῦ πατρός. τοῦτ' ἔστι, πλησίον τοῦ πατρός. ¶ Δοκοῦντα καὶ δόξαντα] ὁ κῆρυξ ἐλθὼν φησὶ πρὸς τὴν Ισμήνην καὶ τὴν Αντιγόνην, πρέπει με ἀπαγγεῖλαι ὑμῖν τὰ ἀρέσκοντα τοῖς στρατηγοῖς καὶ τοῖς προέχουσι τῆς Θη-

βαίων. ταῦτα δέ εἰσι, τὸ τὸν Ἐτεοκλέα μὲν ταφῆναι πρεπόντως καὶ ἐντίμως, διότι ὑπὲρ τῆς πόλεως τέθνηκε· τὸν δὲ Πολυνείκην ἄταφον ῥιφθῆναι, βρωθέντα ὑπὸ τῶν ὀρνέων, διότι ἦλθεν ἀφανίσαι τὴν πόλιν ἡμῶν, εἰμὴ οἱ θεοὶ διεκώλυσαν.

δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·
Ἐτεοκλέα μὲν τόνδ᾽ ἐπ᾽ εὐνοίᾳ χθονὸς
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
στυγῶν γὰρ ἐχθροὺς, θάνατον εἵλετ᾽ ἐν πόλει·
ἱερῶν πατρῴων δ᾽ ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὗπερ τοῖς νέοις θνήσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ᾽ ἐπέσταλται λέγειν.
τούτου δ᾽ ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσὶν,
ὡς ὄντ᾽ ἀναστατῆρα Καδμείων χθονὸς,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ᾽· ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε,
στράτευμ᾽ ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν.
οὕτω πετεινῶν τόνδ᾽ ὑπ᾽ οἰωνῶν δοκεῖ
ταφέντ᾽ ἀτίμως, τοὐπιτίμιον λαβεῖν·
καὶ μήθ᾽ ὁμαρτεῖν τυμβοχόα χειρώματα,
μήτ᾽ ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ᾽ ἐκφορᾶς φίλων ὕπο.

¶Ἱερῶν πατρῴων δ᾽ ὅσιος ὢν μομφῆς ἄτερ τέθνηκεν] λείπει ἡ ὑπὲρ, ἵν᾽ ᾖ, ὑπὲρ ἱερῶν πατρῴων ὁσίως μαχόμενος, ἀπέθανεν ἀμέμπτως. ¶Οὗπερ τοῖς νέοις θνήσκειν καλὸν] πρὸς τὸ, Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. ¶Ὡς ὄντ᾽ ἀναστατῆρα] ὡς ὑπάρχοντα ἀφανιστὴν καὶ πορθητὴν τῆς πόλεως τῶν Θηβαίων. ¶Καὶ μήθ᾽ ὁμαρτεῖν] καὶ μήτε τούτῳ ἐπακολουθῆσαι θύματα ἐπὶ τοῖς νεκροῖς διὰ χειρῶν ἐργαζόμενα τῷ τύμβῳ τοῦ νεκροῦ. ¶Μήτ᾽ ὀξυμόλποις] μήτε θῦσαι τῷ Πολυνείκῃ, μήτε κλαῦσαι πρὸ τοῦ τάφου αὐτοῦ, καὶ ὀξυφώνοις θρήνοις τιμᾶν αὐτόν. καὶ γὰρ καὶ τοῦτο οἱ παλαιοὶ τιμὴν ὑπελάμβανον, εἴ τις ἐπὶ τῷ τύμβῳ τοῦ τεθνεῶτος ἔθυσε καὶ ἐκόψατο· διὰ τοῦτο καὶ ὁ κήρυξ, ἵνα μὴ τιμηθῇ ὁ Πολυνείκης, ἀπείργεται μήτε διὰ θυσιῶν, μήτε δι᾽ οἰμωγμάτων τιμηθῆναι αὐτόν. ¶Ἐκφορᾶς] ἐκκομιδῆς. σημείωσαι ὅτι τὸ συγκομίζειν καὶ ἐκκομίζειν καὶ ἀνακομίζειν ἐπὶ νεκρῶν λέγεται. καὶ συγκομιδὴ μὲν λέγεται ἡ περὶ τοῦ τάφου πᾶσα ἐπιμέλεια· ἐκκομιδὴ, ἡ πρὸς τὸν τάφον ἀπαγωγή· ἀνακομιδὴ, ἡ ἐκ τάφου εἰς τάφον μετάθεσις.

τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.
αν. Ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω, κἀνὰ κίνδυνον βαλῶ,
θάψασ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης, κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν
ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενί.
τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες
λύκοι πάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγώ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος.
κ' αὐτὴ καλύψω· μηδέ τῳ δόξῃ πάλιν·
θάρσει, παρέσται μηχανὴ δραστήριος.
κη. Αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τόδε.
αν. Αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.
κη. Τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

¶Τοιαῦτ' ἔδοξε] τοιαῦτα ἤρεσε τούτῳ τῷ τάγματι πάντων τῶν Θηβαίων καὶ πλήθει. ¶Κἀνὰ κίνδυνον βαλῶ] καὶ εἰς κίνδυνον ἐμβαλῶ ἐμαυτὴν διὰ τοῦτον. Ἄλλως. καὶ βαλῶ αὐτὸν ἐν τῇ γῇ ὥστε μή τινα κίνδυνον ὑποστῆναι παρά τινος Θηβαίων. εἰ δ' ἔχει βαρεῖαν, λέγει τό, καὶ ῥίψω ἐμαυτὴν ἀνὰ κίνδυνον, θάψασα τὸν ἀδελφόν. ¶Τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν] διὰ τοῦτο θέλουσα ὦ ψυχὴ κοινώνει ἀδελφῷ τῷ Πολυνείκει τῷ ἄκοντι καὶ δι' ἀνάγκην γενομένῳ κακῶν. ¶Κοιλογάστορες λύκοι] ἀντὶ τοῦ μεγαλογάστορες. καὶ πάσονται ἀντὶ τοῦ γεύσονται. ¶Μὴ δοκησάτω τινὶ] μὴ τοῦτο ἀρεσάτω. ¶Κόλπῳ φέρουσα] φέρουσα ἐν τῷ κόλπῳ τοῦ βυσσίνου πέπλου. διὰ δὲ τούτου τὴν γῆν αἰνίττεται, ὡς ἐνταφιάσαι τοῦτον τῇ γῇ μέλλουσα. Ἄλλως. τῷ τοῦ βυσσίνου κόλπου πέπλῳ τὴν γῆν παρακομίζουσα, ὡς ἐπιβάλλειν μέλλουσα χῶμα διὰ τοῦ πέπλου, διὰ τὸ μὴ δύνασθαι ὀρύττειν. ¶Μηδέ τῳ δόξῃ πάλιν] μήτε ἀντεστραμμένως ἐμοί, ἤγουν ἐναντίως, τις αἰνηθῇ γενέσθαι τοῦτο. ¶Τραχύς γε μέντοι] τοῦτό φησιν ὁ κῆρυξ, ὅτι ὁ λαὸς τῆς πόλεως ἐλεύθερος τῶν κακῶν γενόμενος, ὡς ἐκποδὼν τῶν πολεμίων γενομένων, τραχὺς καὶ ἀπηνὴς ἔσται κατὰ σοῦ, ὡς παρὰ γνώμην αὐτοῦ τὸν Πολυνείκην θελούσης θάψαι. ἡ δὲ Ἀντιγόνη φησὶ

πρὸς αὐτὸν, τραχέως, ἀντὶ τοῦ, λέγει πολλάκις ὅτι τραχύς ἐστιν ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναστελεῖς με θάψαι τὸν ἀδελφόν.

ἀν. Τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται.
κή. Ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;
ἀν. Ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς.
κή. Οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.
ἀν. Παθὼν κακῶς, κακοῖσιν ἀντημείβετο.
κή. Ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.
Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
ἀν. Ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.
κή. Ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.
ἡμ. Φεῦ φεῦ ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
κῆρες ἐριννύες, αἵτ' Οἰδιπόδα·
γένος ὠλέσατε πρυμνόθεν οὕτως.
ἀν. Τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σε κλαίειν,
μήτε σε προπέμπειν ἐπὶ τύμβον;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι · δεῖμα πολιτῶν.
ἡμ. Σύ γε μὴν πολλῶν πενθητήρων
τεύξῃ· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσι. τίς οὖν ταῦτα πίθοιτο;

¶Ἤδη τὰ τοῦδε] τὰ περὶ τῆς τιμῆς τούτου τοῦ Πολυνείκους ὑπὸ θεῶν κέκριται κακῶς, ἀλλὰ τίμιος ἐστὶ παρὰ θεοῖς. ¶Οὔ, πρίν γε χώραν] φησὶν ὁ κῆρυξ πρὸς αὐτήν, οὐδαμῶς τὰ τοῦ Πολυνείκους ἐτιμήθησαν παρὰ τοῖς θεοῖς, πρὶν κακῶσαι αὐτὸν τὴν πόλιν, ἀλλὰ μετὰ τὸ αὐτὸν τὴν πόλιν ἐμβαλεῖν κακοῖς. ¶Ἀλλ' εἰς ἅπαντας] ἀντὶ αὐτοῦ τοῦ ἑνός, Ἐτεοκλέους δηλονότι (αὐτὸς γὰρ μόνος ἔβλαψεν αὐτόν) πάντας τοὺς πολίτας οὐκ ἔδει ἀμείβεσθαι κακοῖς. ὑπὸ γὰρ μόνου τοῦ Ἐτεοκλέους ἀδικηθείς, πᾶσι τοῖς Θηβαίοις ἐπολέμησεν. ¶Ἀλλ' αὐτόβουλος ἴσθι] τουτέστι, τῇ ἰδίᾳ γνώμῃ, ὃ βούλει, πρᾶττε. ¶Φεῦ φεῦ ὦ μεγ.] διαιρεῖται ὁ χορὸς τῶν γυναικῶν, τὸ μὲν ὑπὲρ Πολυνείκους, τὸ δὲ ὑπὲρ Ἐτεοκλέους νοσῶν· ὥσπερ δὲ μεμέρισται ὁ χορός, οὕτως καὶ αἱ ἀδελφαί· καὶ ἡ μὲν Ἰσμήνη, τῷ Ἐτεοκλεῖ ἀκολουθεῖ καὶ τῇ πόλει· ἡ δὲ Ἀντιγόνη, τῷ Πολυνείκει. ¶Φθερσιγενεῖς] αἱ ἐπὶ τῷ φθείρειν γεγονυῖαι. ¶Σύ γε μὴν πολλῶν πενθητήρων] ἐνταῦθα χωρίζονται γυναῖκές τινες, αἱ μέν, συγκλαίουσαι τῇ Ἀντιγόνῃ ἕνεκεν τοῦ Πολυνείκους· αἱ δέ, τῇ Ἰσμήνῃ, χάριν τοῦ Ἐτεοκλέους. ¶Τίς οὖν ταῦτα] τίς ἂν πεισθείη τοῖς δόξασι τῇ πόλει, καὶ τίς ἡμῶν ἐπὶ ταύτης τῆς γνώμης;

ἡμ. Δράτω πόλις καὶ μὴ δράτω
τοὺς κλαίοντας Πολυνείκην.
ἡμεῖς μὲν ἴμεν, καὶ συνθάψομεν
αἵδε προπομποί. καὶ γὰρ γενεᾷ
κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.
ἡμ. Ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ. μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν,
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ 'νατραπῆναι, μηδ' ἀλλοδαπῶν κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

¶ Δράτω πόλις] λείπει τὸ κακῶς, ἵν' ᾖ οὕτως, δράτω καὶ μὴ δράτω κακῶς ἡ πόλις τοὺς κλαίοντας τὸν Πολυνείκην, καὶ διὰ τοῦτο τιμῶντας. ¶ Ἡμεῖς μὲν ἴμεν] ἴμεν καὶ συνθάψομεν σὺν τῇ Ἀντιγόνῃ τὸν Πολυνείκην. καὶ γὰρ οὐ πάντοτε τῷ δήμῳ καὶ τῇ πόλει ταὐτὰ δοκεῖ. ¶ Μετὰ γὰρ μάκαρας] μετὰ γὰρ τοὺς θεοὺς, καὶ τὴν ἑαυτοῦ ἰσχὺν ὑπὲρ τῆς πόλεως προέθετο, καὶ οὐκ εἴασε τὴν πόλιν ἡμῶν ὑπὸ χειμερινοῦ κύματος κατακλυσθῆναι. κῦμα δὲ τὴν ἔφοδον εἴρηκε τῶν ἀργείων. ἀκολούθως μέντοι τῷ κύματι τὸ κατακλυσθῆναι ἐπήγαγε.

ΤΕΛΟΣ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ Ἣ ἘΠΙΓΡΑΦΕΤΑΙ ΠΕΡΣΑΙ.

Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων, ἐκ τῶν Φοινισσῶν φησὶ Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην, Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων. πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν τοῦ Ξέρξου ἧτταν, στρωννύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις· ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. τῶν δὲ χορικῶν τὰ μὲν, ἐστὶ παροδικὰ, ὡς ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ, Τύριον οἶδμα λιποῦσα· τὰ δὲ στάσιμα· ὡς ὅτε ἵσταται, καὶ ᾄδει τῆς συμφορᾶς τοῦ δράματος· τὰ δὲ κομματικὰ, ὅτε λοιπὸν ἐν

θρήνῳ γίνεται. καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου· ἡ δὲ ὑπόθεσις, Ξέρξης στρατευσάμενος κατὰ τῆς Ἑλλάδος μετὰ δυνάμεως πολλῆς, ἵππων μὲν ἀμέτρων ἐπαγομένων, ναῦς δὲ χιλίας διακοσίας ἑπτά, ἢ καὶ δεκατέσσαρας· καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυμαχῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων, διεπεραιώθη εἰς τὴν Ἀσίαν. ἰστέον δὲ ὅτι οἱ ἕλληνες τριακοσίας μόνον ναῦς εἶχον. πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα· δευτέρα, ἐπὶ Ξέρξου, περὶ Σαλαμῖνα καὶ Πλαταιάς, τοῦ Θεμιστοκλέους στρατηγοῦντος τότε τῶν ἀθηναίων καὶ ῥήτορος, καὶ ναῦς εἰπόντος ποιῆσαι καὶ ἀντιτάξασθαι πρὸς τὸν Ξέρξην. οὗ καὶ γενομένου, περιεγένοντο αὐτοῦ. ὁ Ἀπόλλων γὰρ τοῖς ἀθηναίοις μαντευομένοις πῶς τῶν περσῶν περιγενήσονται, εἶπε τείχη ξύλινα κατασκευάσαι, καὶ οὕτω περιγενέσθαι αὐτῶν. καὶ οἱ μὲν τείχη ἔλεγον ποιῆσαι εἰς τὴν πόλιν ξύλινα ἀντὶ τῶν λιθίνων· ὁ δὲ Θεμιστοκλῆς οὐχ οὕτως, ἀλλὰ ναῦς εἶπε ποιῆσαι, αἳ πολλάκις διὰ τῶν οἰκείων τειχῶν σώζουσι τοὺς ἀνθρώπους. ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ ποτνιεῖ, Προμηθεῖ. τούτου τοῦ Ξέρξου πατὴρ μὲν ἦν Δαρεῖος ὁ Περσῶν βασιλεύς, μήτηρ δὲ Ἄτοσσα. γίνωσκε δὲ ὅτι Δαρεῖοι τρεῖς εἰσι· πρῶτος δὲ τούτων ὁ Ὑστάσπου, προκριθεὶς ὑπὸ τῶν Περσῶν, καὶ βασιλεύσας αὐτῶν, ὃς ἦν καὶ Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς ἕλληνας. δεύτερος δὲ ὁ Ἀρταξέρξου πατήρ, σφόδρα προσαγορευθείς, ἢ νόθος. ἔσχατος δὲ Δαρεῖος ὁ ὑπ᾽ Ἀλεξάνδρου τοῦ Φιλίππου καταλυθείς. τινὲς δὲ καὶ τέταρτον Δαρεῖον λέγουσιν εἶναι.

Τὰ τοῦ δράματος πρόσωπα.

Χορὸς γερόντων. Ἄτοσσα. Ἄγγελος.

Εἴδωλον Δαρείου. Ξέρξης.

προλογίζει δὲ ὁ χορός.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΊΑ ΠΈΡΣΑΙ.

χο. Τ ΑΔΕ μὲν Περσῶν τῶν οἰχομένων
ἑλλάδ᾽ ἐς αἶαν πιστὰ καλεῖται,
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
ἑδραίων φύλακες, κατὰ πρεσβείαν
οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς
Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν. ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ νόστω τῷ βασιλείω
καὶ πολυχρύσου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται θυμὸς ἔσωθεν.
πᾶσα γὰρ ἰσχὺς ἀσιατογενὴς οἴχωκε· νέον δ᾽ ἄνδρα βαΰζει·
κοὔτε τις ἄγγελος, οὔτε τις ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται· οἵ τε τὸ Σύσων, ἠδ᾽ Ἐκβατάνων,
καὶ τὸ παλαιὸν κίσσινον ἕρκος

¶ΤΑΔΕ μὲν Περσῶν] τοῦτο δεικτικῶς ὁ χορὸς φησί τις πρὸς ἑαυτόν, ὅτι ταῦτα, πιστὰ καὶ πιστώματα καλεῖται τῶν Περσῶν τῶν προβάντων εἰς τὴν ἑλλάδα γῆν. ἀντὶ τοῦ, ἡμεῖς πιστοὶ χρηματοφύλακες τῶν Περσῶν καλούμεθα, καὶ ἐσμὲν ἐπόπται τῶν οἴκων αὐτῶν· οὓς τινας ἡμᾶς αὐτὸς ὁ Ξέρξης ὁ βασιλεὺς, ὁ τοῦ Δαρείου υἱὸς, ὡς πρεσβύτας καὶ ἐντίμους ὄντας, (τοῦτο γὰρ δηλοῖ τὸ κατὰ πρεσβείαν) προέκρινε τῶν ἄλλων, ἐφορεύειν, ὅτι ἄρχειν καὶ ἐπόπτας εἶναι καὶ ἐπιτηρητὰς τῆς χώρας αὐτοῦ, μὴ δυναμένους πολεμεῖν. τὸ δὲ πιστὰ, τινὲς φασιν, ὅτι ἀποπλεύσαντες τοὺς κατὰ χορὸν ἑαυτοὺς λέγειν πιστώματα Περσῶν. ἀγνοοῦσι δὲ ὅτι πόλις Περσῶν ἐστιν, Πίστειρα καλουμένη, ἣν συκοφαντεῖ ὁ ποιητὴς, πιστὰ ἔφη. ¶Καὶ τῶν ἀφνεῶν] λείπει τὰ βασίλεια. ¶Δαρειογενὴς] Δαρείου υἱὸς. ¶Ἀμφὶ δὲ νόστῳ] ταράσσεται, φησὶ, καὶ θορυβεῖται ἡ ψυχὴ ἔσωθεν (τοῦτο γὰρ θυμὸς δηλοῖ) κακὰ μαντευομένη περὶ τῆς ὑποστροφῆς τοῦ Ξέρξου, καὶ τῆς πολυχρύσου καὶ πλουσίας στρατιᾶς τῶν Περσῶν. σημειωτέον δὲ πρότερον τὸν βασιλέα ἔταξεν, εἶτα τοὺς ὑπηκόους. φησὶ γάρ, Ἀτρεΐδαί τε καὶ ἄλλοι ἐϋκνήμιδες ἀχαιοί. ¶Πᾶσα γὰρ ἰσχὺς ἀσιατογενὴς οἴχωκε] πᾶσα γὰρ ἡ δύναμις ἡ ἀσιατογενὴς, ἤγουν ἡ στρατιὰ, ἡ ἐν τῇ ἀσίᾳ γεννηθεῖσα, πορεύεται καὶ ἐπορεύθη μετὰ τοῦ βασιλέως εἰς τὴν ἑλλάδα. Ἄλλως. οἴχωκεν, ἀπόλωλεν ἡ πᾶσα δύναμις τῶν Περσῶν. ¶Νέον δ᾽ ἄνδρα βαΰζει] ἤτοι νεότητα πᾶσαν τῶν Περσῶν ἀνακαλεῖται ἡ ἀσία. χάσεται δὲ καὶ ἐπὶ τὸν ἴδιον ἄνδρα. ¶Ἠδ᾽ Ἐκβατάνων] ὅτι ἀκριβέστερα πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκισαίου, τὰ νῦν ἐκβάτανα λεγόμενα. ¶Καὶ τὸ παλαιὸν κίσσινον ἕρκος] ἔστι καὶ τοῦτο πόλισμα Περσῶν οἵ τινες, φησὶ, προλιπόντες τὸ ἄστυ τῶν σούσων καὶ τῶν ἐκβατάνων, καὶ τὸ παλαιὸν κίσσινον ἕρκος, ἔβαν καὶ ἐπορεύθησαν εἰς ἑλλάδα· οἱ μὲν ἔφιπποι, οἱ δὲ διὰ πλοίων, ἄλλοι δὲ πεζοὶ παρέχοντες καὶ ποιοῦντες στίφος καὶ πύκνωμα τοῦ πολέμου. τινὲς δὲ τὸ παρέχοντες, αἴτιοι ὄντες, λέγουσιν· ἔπρει δὲ αἴτιοι διδόντες, καὶ τὸ πολέμου, πολέμῳ φασίν.

προλιπόντες ἔβαν, οἱ μὲν ἐφ' ἵππων,
οἱ δ' ἐπὶ ναῶν, πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης, ἠδ' Ἀρταφρένης,
καὶ Μεγαβάζης, ἠδ' Ἀστάσπης, ταγοὶ περσῶν,
βασιλῆς βασιλέως ὕποχοι μεγάλου,
σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην ἀντὶ τοῦ φοβεροὶ ἰδεῖν·
ψυχῆς ἐν τλήμονι δόξῃ.
Ἀρτεμβάρης θ' ἱππιοχάρμης, καὶ Μασίστρης,
ὅ, τε τοξοδάμας ἐσθλὸς Ἰμαῖος,
Φαρανδάκης θ', ἵππων τ' ἐλατὴρ Σωσθάνης.
ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψε· Σουσισκάνης,
Πηγασταγὼν αἰγυπτιογενής,
ὅ, τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
μέγας Ἀρσάμης, τάς τ' ὠγυγίας
Θήβας ἐφέπων Ἀριόμαρδος,

¶Οἷος Ἀμίστρης] βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ πέρσῃ. τὰ μὲν τῶν ὀνομάτων ἱστόρησεν, τὰ δὲ πλείως ἔπλασεν. οἷος ἦν ὁ Ἀμίστρης, καὶ ὁ Ἀρταφρένης, καὶ ὁ Ἀστάπης, ταγοὶ καὶ ἡγεμόνες τῶν περσῶν· σοῦνται καὶ ὁρμῶσι πρὸς τὴν ἑλλάδα. βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὕποχοι δὲ καὶ ὑποκλινεῖς καὶ ὑποτεταγμένοι μεγάλῳ βασιλεῖ, τῷ πέρσῃ δηλονότι. κατὰ δέ τινας ἐστὶν ὑπέρθεσις ἐν τῷ Ἀρταφρένης, διὰ τὸ μέτρον. ¶Τοξοδάμαντες] τοξόται, διὰ τῶν τόξων δαμάζοντες τοὺς ἀντιπάλους· καὶ ἱππικοί, φοβεροὶ μὲν εἰς τὸ θεάσασθαι, τοῦτ' ἔστιν, ἱκανοὶ φοβεῖν ἐκ τῆς ὄψεως, ἐπιτήδειοι δὲ καὶ δεξιοὶ πρὸς πόλεμον, ἐν τλήμονι καὶ καρτερικῇ καὶ γενναίᾳ δόξῃ καὶ γνώμῃ ψυχῆς. ¶Δόξῃ] γνώμῃ. ἢ φιλοτιμίᾳ. ἤ, ἐν τοσαύτῃ δοκήσει καὶ πείσματι ψυχῆς. ¶Ἱππιοχάρμης] ὁ διὰ τῶν ἵππων εἰς τὴν μάχην προθυμούμενος. ¶Ἄλλους δ' ὁ μέγας] ἄλλους δέ, φησίν, ἔπεμψε συμμάχους τῶν περσῶν ὁ μέγας καὶ ὁ πολλὰ θρέμματα ἔχων Νεῖλος. ὑποχείριοι γὰρ ἦσαν περσῶν τότε οἱ αἰγύπτιοι. εἶτα καταλέγει τίνες ἦσαν οἱ ἀπ' αἰγύπτου, καί φησιν, ὁ Σουσισκάνης, καὶ ὁ Πηγασταγὼν ὁ αἰγυπτιογενής. τινὲς δὲ διαιροῦσι τὸ Σουσισκάνης, καὶ πηγὰς καὶ ταγόν. τὰ γὰρ ὀνόματα ὁ ποιητὴς ἔπλασε, καὶ οὐκ ἔστιν αἰγυπτιακά. ἕτεροι δὲ τὸ πηγὰς καὶ τὸ ταγὸν, ὡς ἓν ἀναγινώσκουσι, πηγασταγών.

καὶ ἑλειοβάται ναῶν ἐρέται δεινοί, πλῆθός τ' ἀνάριθμοι.
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵ τ' ἐπίπαν ἠπειρογενὲς
κατέχουσιν ἔθνος, τοὺς Μητραγάθης
Ἀρκεύς τ' ἀγαθὸς βασιλῆς δίοποι
καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσι,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
φοβερὰν ὄψιν προσιδέσθαι.
στεῦνται δ' ἱεροῦ Τμώλου πελάται
ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες
καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν
δ' ἡ πολύχρυσος πάμμικτον ὄχλον
πέμπει σύρδην, ναῶν τ' ἐπόχους

¶ Ἑλειοβάται] τὸ αἰγύπτιον ἕλος οἰκοῦντες. ἢ κοινῶς αἰγύπτιοι λέγονται· ἑλώδης γὰρ ἡ αἴγυπτος. παρά τισι δὲ ἑλειοβάται λέγονται, οἱ ἐπὶ ἕλους ἐλαύνειν δυνάμενοι ναῦς, ὅπερ ἐστὶ τῶν δυσχερεστάτων. τινὲς δὲ εἰς τὸ ἑλειοβάται στίζοντες, τὸ ἑξῆς, ἐρέται δεινοί, λέγουσιν, διότι τὸ κωπηλατεῖν ποιῶν ἐπιτήδειοι. ¶ Ἁβροδιαίτων] τοιοῦτοι γὰρ ὄντως οἱ λυδοί· οὓς τὰς σάρδεις οἰκοῦντας, Κῦρος ὁ τῶν περσῶν βασιλεὺς, ὁ τοῦ Καμβύσου πατὴρ πολεμήσας, κατεστρέψατο, καὶ ὑποχειρίους ἑαυτῷ πεποίηκεν. ἁβροδίαιτοι δὲ οὗτοι· ὅθεν καὶ τὸ παρ' Ἀνακρέοντι, λυδοπαθεῖς τινές, αἴτι τοῦ ἡδυπαθεῖς. καὶ τὸ περιφερόμενον, μήτε μοι λυδῶν καρύκκας, μήτε μασήσων ψόφους. καὶ ὁ λυδοφοίτης δὲ μυροπώλης ταύτην τὴν τρυφὴν δηλοῖ. καὶ τὴν βάκχαριν δὲ ἔνιοι μύρον λυδῶν ἔφασαν. ¶ Οἵ τ' ἐπίπαν ἠπειρογενὲς] οἱ δὲ ὅλου τὴν ἤπειρον οἰκοῦντες. ¶ Τοὺς Μητραγάθης] οὕστινας λυδοὺς ἐξορμῶσι καὶ ἐξάγουσι καὶ παρακινοῦσι πρὸς τὴν ἑλλάδα, ἐποχουμένους ἐν πολλοῖς ἅρμασι, Μητραγάθης ὁ Ἀρκεύς τε ἀγαθὸς, ἡγεμόνες οἰκονομοῦντες αὐτοὺς, καὶ αἱ πλούσιαι σάρδεις. οὗτοι γὰρ τὰς σάρδεις κατῴκουν. ¶ Δίοποι] οἱ διέποντες, ἡγεμόνες. ¶ Δίρρυμά τε] εἰπὼν πολλοῖς ἅρμασι τοὺς λυδοὺς ἐποχεῖσθαι, παρακαλῶν τὴν ἁρματηλασίαν, καὶ ἐκ πόσων ἵππων αὐτὴ συνίστατο, ἐδήλωσεν, εἰρηκώς, τέλη, ἅρματα δηλαδὴ, ἐξορμῶσι τὰ σάρδεων τέθριππα καὶ ἐξάιππα. ἢ τέλη, τὰ τάγματα. ἐκ τούτου δὲ τῶν ἵππων τὸ πλῆθος δηλοῖ. ¶ Πελάται] ἔνοικοι, γείτονες. ¶ Λόγχης ἄκμονες] ἀκίνητοι ὑπὸ λόγχης, ὡς ἄκμων ὑπὸ σφυρῶν. ¶ Βαβυλὼν δ' ἡ πολύχρυσος] ἡ πλουσία δὲ Βαβυλὼν πέμπει πάμμικτον ὄχλον. εἶτα ἑρμηνεύων τοῦτο, φησί, ναῶν τε ἐπόχους, ἤτοι λαὸν ναυτικὸν, ταῖς ναυσὶν ἐποχούμενον, καὶ πιστοὺς, θαρρεῦντας φρονήμασι τοξικῷ, ἤτοι ἐμπείρους τῆς τοξικῆς.

Lydi molles.

καὶ τοξουλκῷ λήματι πιστούς·
τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται, δειναῖς βασιλέως ὑποπομπαῖς.
τοιόνδ' ἄνθος Περσίδος αἴας οἴχεται ἀνδρῶν,
οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις
θρέψασα, πόθῳ στένεται μαλερῷ·
τοκέες τ' ἄλοχοί θ' ἡμερολεγδὸν
τείνοντα χρόνον τρομέονται.
πεπέρακε μὲν ὁ περσέπτολις ἤδη
βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν,
λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλης,

¶Τὸ μαχαιροφόρον τ' ἔθνος] κοινῶς ἁπάντων Περσῶν. ¶Ὑποπομπαῖς] προπομπαῖς. ¶Τοιόνδ' ἄνθος] τοιοῦτο καλλώπισμα καὶ τὸ ἐξαίρετον μέρος τῶν ἀνδρῶν τῆς γῆς τῆς Περσίδος οἴχεται καὶ πορεύεται πρὸς τὴν Ἑλλάδα· περὶ οὓς πᾶσα γῆ Ἀσιῆτις ἡ ἀναθρέψαμένη αὐτούς, στενάζει ἐν πόθῳ μαραντικῷ καὶ καυστικῷ. ¶Τοκέες τ' ἄλοχοί τε] οἱ πατέρες δὲ αὐτῶν καὶ αἱ ὁμόκοιτοι αὐτῶν γυναῖκες τρομέουσι τὸν χρόνον τείνοντα καὶ μηκυνόμενον τῇ τῶν ἡμερῶν διαφορᾷ, τὸ ἡμερολεγδὸν, ἤτοι τὸν ἐκ τῶν ἡμερῶν καταριθμούμενον, παρὰ τὸ ἡμέρα καὶ τὸ λέγω τὸ ἀριθμῶ. ¶Πεπέρακε μὲν ὁ περσέπτολις] ἐπέρασε μὲν, φησὶν, ἤδη εἰς τὴν ἀντίπορον γείτονα χώραν, ἤτοι τὴν Εὐρώπην (οἱ γὰρ Πέρσαι τῆς Ἀσίας εἰσὶ κάτοικοι) ὁ τοῦ βασιλέως Ξέρξου στρατὸς, ὁ τὰς πόλεις πορθῶν, ἀμείψας καὶ ἀλλάξας τὸν πορθμὸν τῆς θυγατρὸς τοῦ Ἀθάμαντος Ἕλλης, ἤτοι τὸν Ἑλλήσποντον, ἐν σχεδίᾳ λίνῳ δεδεμένῃ. γεφυρώσας γὰρ τὴν θάλασσαν διὰ τῶν νηῶν, πεζῇ ταύτην τὸν στρατὸν αὐτοῦ περᾶσαι πεποίηκεν. ταῦτα δὲ κωμῳδεῖται. Εὔπολις ἐν Μαρικᾷ, Πεπέρακε μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς.

Phryxi et Hellae fabula.

¶Ἀθαμαντίδος Ἕλλης] Ἀθάμας ἔσχε γυναῖκα ἐξ ἧς τὴν Ἕλλην καὶ τὸν Φρύξον ἐγέννησε. τελευτησάσης δὲ τῆς μητρὸς αὐτῶν, ἔλαβε τὴν Ἰνώ, ἥτις τοῖς παισὶ φθονοῦσα τοῦ Ἀθάμαντος, πεπεισμένους τοὺς τῆς χώρας πάντας λαβοῦσα καρποὺς, ἐλυμήνατο αὐτοὺς, ὥστε μηκέτι σπειρομένους ἀναδίδοσθαι. λιμοῦ δὲ ἐπὶ τῆς χώρας ἐπικρατήσαντος, οἱ ἐγχώριοι ἐβουλεύσαντο πρὸς τὸν Ἀπόλλωνα ἀπελθεῖν, καὶ μαθεῖν, ὥστε γνῶναι τὸ αἴτιον. τούτοις δὲ ἡ Ἰνὼ δεξιωσαμένη, πεποίηκε τοὺς μαντεῖα ἐπαναστρέφοντας μηδὲν ἕτερον λέγειν, ἢ ὅτι τὴν Ἕλλην καὶ τὸν Φρύξον αὐτοῦ τυθῆναι ὁ Ἀπόλλων εἴρηκεν. ἐπήκοος οὖν ὁ Ἀθάμας τοῦ τοιούτου χρησμοῦ γενόμενος, τοῖς παισὶν αὐτοῦ ἐν τοῖς ποιμνίοις διατρίβουσιν ἐμήνυσε, κριὸν λαβοῦσι τὸν πρόβατον, θῦσαι τοῦτον τῷ Ἀπόλλωνι. λαβόντων δὲ τὸν κριὸν καὶ ἐπαρχομένων, ὁ κριὸς τὸ κατ' αὐτῶν σκευωρούμενον αὐτοῖς ὑπεδήλωσε. φυγῇ γοῦν, τῇ συμβουλῇ τούτου, ἐχρήσαντο, αὐτοῦ ἐποχούμενοι καὶ τὸν πλοῦν διαπεραιούμενοι. ἐν δὲ τῷ διαπεραιοῦσθαι τούτους, ἡ μὲν Ἕλλη μέσον τοῦ πόντου πέπλωκεν, ἀφ' ἧς ὁ τοιοῦτος ἐκλήθη Ἑλλήσποντος· ὁ δὲ Φρύξος ἔν τινι προσορμισθεὶς λιμένι, ἀφ' οὗ ὁ τοιοῦτος Φρύξου λιμὴν ὀνομάζεται.

πολύγομφον ὅδισμα ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.
πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων
ἐπὶ πᾶσαν χθόνα ποιμα- νόριον θεῖον ἐλαύνει
διχόθεν, πεζονόμοις, ἔκ τε θαλάσσης,
ὀχυροῖσι πεποιθὼς στυφέλοις ἐφέταις,
χρυσογόνου γενεᾶς ἰσόθεος φώς.
κυάνεον δ' ὄμμασι λεύσσων, φονίου δέργμα δράκοντος,
πολύχειρ, καὶ πολυναύτης, σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀν- δράσι τοξόδαμνον ἄρην.
δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν,
ἐχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσης·
ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατὸς, ἀλκίφρων τε λεώς·
δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδή- ματος εὐπετέος ἀνάσσων;

¶Πολύγομφον ὅδισμα] ἀμφὶ τῷ αὐχένι τοῦ πόντου ζυγὸν βαλὼν, πολύγομφον ὅδισμα καὶ βάδισμα, τὴν τῆς θαλάσσης δηλονότι νώτων ἄνωθεν. ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον τῆς θαλάσσης, ταῖς ναυσὶ συνδήσας καὶ γῆν ἐπιβαλὼν ἄνωθεν, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. διὸ πολύγομφον ὅδισμα εἶπε. γράφεται καὶ ἔρεισμα, τὴν ναῦν. ¶Πολυάνδρου] ὁ θούριος δὲ καὶ ὁ πολεμικώτατος ἄρχων ὁ Ξέρξης τῆς πολυάνδρου ἀσίας, ἐπὶ πᾶσαν χθόνα, τὴν ἀνθρωπίνην δηλονότι, ἐλαύνει ποιμανόριον θεῖον· διχόθεν, ἐκ γῆς καὶ θαλάσσης. ποιμανόριον δὲ τὸ πλῆθος τὸ στρατιωτικὸν, τὸ ἀνδρικὸν πλῆθος. σημαίνει δὲ τὸ στράτευμα, παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. ὅθεν ποιμανόριον, τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον. ¶Ὀχυροῖσι πεποιθὼς] πεποιθὼς καὶ θαρρῶν ἐφέταις ἢ τοξόταις καὶ ἡγεμόσι τῆς χρυσονόμου γενεᾶς, ὀχυροῖς, στυφέλοις καὶ σκληροῖς, ὁ ἰσόθεος φὼς καὶ ἀνὴρ, τοῦτ' ἔστιν ὁ Ξέρξης. τὸ δὲ χρυσονόμου, ἀντὶ τοῦ πλουσίας εἶπε. τινὲς δὲ χρυσογόνου λέγουσι, διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγενῆσθαι· ὃ καὶ βέλτιον. ἀπὸ γόνου χρυσοῦ φησὶ τῆς Περσέως γενεᾶς, ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ, πολυχρύσου. ¶Σύριον θ' ἅρμα διώκων] ἀντὶ τοῦ ἀσσύριον. οἱ γὰρ πέρσαι τὸ πρότερον ἀσσύριοι ἐκαλοῦντο. ¶Δουρικλύτοις ἀνδράσι] τοῖς ἀθηναίοις. ¶Τοξόδαμνον ἄρην] τὸν τῶν περσῶν. τοξόται γάρ. ¶Δόκιμος δ' οὔτις] ἀνδρεῖος, δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ¶Ὑποστὰς] ἀντιστὰς, ἀντιμαχεσάμενος. ¶Ἐχυροῖς ἕρκεσιν] τάξεσι. ¶Ἄμαχον κῦμα θαλάσσης] τὴν προσβολὴν τῶν περσῶν. ¶Ἀπρόσοιστος] ἀκαταμάχητος. ¶Δολόμητιν δ' ἀπάταν] ὡς ἤδη παρατέτακται ὁ πέρσης. εἰ δὲ ἡ τοῦ θεοῦ ἐπιβουλὴ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν; ¶Πηδήματος εὐπετέος ἀνάσσων] εὐκινήτου. Ὅμηρος, Ἡ δ' ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν Βλάπτουσ' ἀνθρώπους. ἡ γὰρ ἐκ θεοῦ, φησὶν, ἀμαύρωσις καὶ δόλωσις, ἄφυκτός ἐστι. ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ.

φιλόφρων γὰρ σαίνου- σα τὸ πρῶτον, παράγει
βροτὸν εἰς ἀρκύστατα, τόθεν οὐκ ἔστιν ὑπὲρ θνα-
τὸν ἀλύξαντα φυγεῖν.
θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησε τὸ παλαι-
όν, ἐπέσκηψε δὲ Πέρσαις πολέμους πυργοδαΐκτους
διέπειν, ἱπποχάρμας τε κλόνους, πόλεων τε ἀναστάσεις·
ἔμαθον δ' εὐρυπόροιο θα- λάσσης πολιαινομένης
πνεύματι λάβρῳ ἐσορᾶν πόντιον ἄλσος, πίσυνοι
λεπτοδόμοις πείσμασι, λαοπόροις τε μηχαναῖς.
ταῦτά μοι μελαγχίτων φρὴν ἀμύσσεται φόβῳ,
ὀᾶ Περσικοῦ στρατεύματος τοῦδε, μὴ πόλις πεύθη-
ται κένανδρον μέγ' ἄστυ Σουσίδος· καὶ τὸ Κισσίνων πόλισμ'
ἀντίδουπον ἔσσεται. ὀᾶ τοῦτ' ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων· βυσσίνοις δ' ἐν πέ-

¶Θεόθεν γὰρ] θεόθεν γὰρ ἡ μοῖρα κατεκράτησε τοὺς Πέρσας, ὥστε καὶ πολέμους καὶ μάχας ἐκλίνειν. τοῦτ' ἔστιν, αἰτία θεῶν ἀνδρεῖοί εἰσι, καὶ κατὰ τὴν εἱμαρμένην πολεμοῦσι. πολεμικοὶ δὲ ὄντες, οὐχ ἡττηθήσονται. ¶Ἐπέσκηψε] ἀντὶ τοῦ, εἰδέναι ἐποίησε. ¶Πολέμους πυργοδαΐκτους] οἵτινες πύργους κατακόπτουσι καὶ καταστρέφουσιν. ἱπποχάρμας δὲ κλόνους, τοὺς πολεμικοὺς θορύβους. ¶Ἔμαθον δ' εὐρυπόροιο] ἔμαθον δὲ ἐσορᾶν καὶ βλέπειν πόντιον ἄλσος τῆς εὐρυπόροιο θαλάσσης, ἤτοι διὰ θαλάσσης τὰς ὁδοὺς αὐτῶν ποιεῖν, πολιαινομένης αὐτῆς ἐν πνεύματι λάβρῳ, ἀφριζομένης δηλαδὴ τῇ κωπηλασίᾳ, ἢ τῷ βιαίῳ ἀνέμῳ· πίσυνοι καὶ θαρροῦντες πείσμασι λεπτοδόμοις, τοῖς λεπτῶς κατεσκευασμένοις. ἤτοι ταῖς ναυσί. πλὴν οὐχ οἱ Πέρσαι ναυτικοί, ἀλλ' οἱ ὑπήκοοι αὐτῶν· ὥστε τὸ ἔμαθον, ἀντὶ τοῦ μαθεῖν ἐποίησαν, φησίν, οἱ Πέρσαι τοὺς ὑπηκόους αὐτῶν. ¶Λαοπόροις τε] τε τοῖς λαοὺς διαπορθμευούσαις. ἢ ταῖς ἀπὸ τῶν κωπηλασιῶν πλοίαις, ταῖς ὑπὸ τῶν λαῶν γινομέναις. οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων. ¶Ταῦτά μοι μελαγχίτων] διὰ ταῦτα ἡ φρήν μου ἡ μελαγχίτων καὶ πενθήρης ἐστὶν, ἡ ἀμφιμέλαινα, ἀμύσσεται φόβῳ. ἤτοι διακόπτεται ὑπὸ τοῦ φόβου ἀσυνδέτως. ἢ οὕτως, ἡ φρήν μου ἡ μελαγχίτων, ἤτοι ἡ συνετή, καὶ ἐν βάθει κειμένη, καὶ ἀφανὴς οὖσα, περὶ φόβῳ διακόπτεται. εἴρηται δὲ παρὰ τὸ, σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις. τοῖς γὰρ τοῦ σώματος πάθεσι δοκοῦμεν συμπάσχειν καὶ τὴν ψυχήν. ¶Ὀᾶ] περσικὸν θρήνημα. ¶Μὴ πόλις πύθηται] μὴ πύθηται, φησὶ, καὶ ἀκούσῃ ὡς τῶν ἑτέρων πόλεων κενὸν ἀνδρῶν ὂν τὸ ἄστυ τὸ τῆς Σουσίδος. οὕτω γὰρ αὖ τὸ Κισσίων πόλισμα ἀντίδουπον ἔσται, ἤτοι ἀντηχήσει τοῖς θρήνοις ἐκ τοῦ ἑκατέρου μέρους. μὴ ἀντηχήσῃ, φησὶ, θρῆνον αὐτῶν τελευτησάντων. ¶Ὀᾶ τοῦτ' ἔπος] ὁ γυναικοπληθὴς ὅμιλος ἐκεῖνοι ἀπύων ὀᾶ, τοῦτο δηλοῖ τὸ ἔπος. τὸ δὲ ἀπύων, οὕτως νοητέον· ἤ, ἔσται ἀπύων καὶ φωνῶν, ἔξωθεν λαμβανομένου τοῦ ἔσται. ἢ τὴν μετοχὴν ἀντὶ ῥήματος, ἀντὶ τοῦ ἀπύει.

πλοις πέσῃ λακίς. πᾶς γὰρ ἱππηλάτας τε
καὶ πεδοστιβὴς λεὼς, σμῆνος ὡς ἐκλέλοιπε
μελισσᾶν, σὺν ὀρχάμῳ στρατοῦ, τὸν ἀμφίζευκτον
ἐξαμείψας ἀμφοτέρας ἅλιον πρῶνα κοινὸν αἴ-
ας. λέκτρα δ' ἀνδρῶν πόθῳ, πίμπλαται) δακρύμασι.
περσίδες δ' ἀκροπεν- θεῖς, ἑκάστη πόθῳ
φιλάνορι, τὸν αἰχμή- εντα θοῦρον εὐνα-
τῆρ' ἀποπεμψαμένα, λείπεται μονόζυξ.
ἀλλ' ἄγε πέρσαι, τόδ' ἐνεζόμενοι στέγος ἀρχαῖον,
φροντίδα κεδνὴν καὶ βαθύβουλον
θώμεθα, χρεία δὲ προσήκει·
πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
δαρειογενὴς, τὸ πατρωνύμιον γένος ἀμέτερον·
πότερον τόξου ῥῦμα τὸ νικῶν, ἢ δορυκράνου
λόγχης ἰσχὺς κεκράτηκεν.

¶Πέσῃ λακίς] ἀπὸ κοινοῦ πάλιν τὸ μὴ, ἵν' ᾖ οὕτως, μὴ πέσῃ ῥῆξις ἐν τοῖς πέπλοις τοῖς βυσσίνοις, ἤτοι μὴ διαρρήξωσι τὰ ἱμάτια αὐτῶν. ¶Πᾶς γὰρ ἱππηλάτας] πᾶς γὰρ ἱππικὸς λαὸς, καὶ πεδοστιβὴς, ἤτοι τοῖς ποσὶ καὶ τὴν γῆν πατεῖ αὐτῶν, καὶ πεζῇ βαδίζων, καταλελοίπασι τὴν πόλιν, ἀκολουθοῦντες τῷ Ξέρξῃ, ὥσπερ τὸ σμῆνος τῶν μελισσῶν ἕπεται τῷ ἀρχηγῷ αὐτῶν. λέγεται γὰρ ὡς εἰ μὴ ἀρχηγὸς τῶν μελισσῶν πρότερον πετάσῃ, ἄλλως οὐχ ἵπταται. ¶Τὸν ἀμφίζευκτον] ἐξαμείψας καὶ περάσας τὸν ἀμφίζευκτον ἅλιον πρῶνα τὸν κοινὸν τῆς ἀμφοτέρας γῆς, τῆς εὐρώπης δηλαδὴ καὶ τῆς ἀσίας. ἀμφίζευκτον δὲ, τὸν ζευγνύντα ἀμφοτέρας ἠπείρους, ἢ ζευγνύμενον ἐξ ἀμφοῖν. ἢ τὸν ἀποζευχθέντα· βατὸν γὰρ αὐτὸν ἐποίησεν ὁ Ξέρξης. ¶Πρῶνα] τὸν προσήκοντα καὶ εἰς τὰς ἀμφοτέρας ἠπείρους. ἢ, τὸν κοινὸν ἑκατέρας γῆς. μεταξὺ γάρ ἐστιν εὐρώπης καὶ ἀσίας. Ἄλλως. πρῶνα ἀμφοτέρας αἴας κοινὸν, οἱ μὲν, τὸν ἑλλήσποντον, οἱ δὲ ταῦρον τὸ ὄρος. ¶Λέκτρα δ' ἀνδρῶν] τὰ λέκτρα δὲ τῶν ἀνδρῶν, τῇ αὐτῶν ἀποδημίᾳ καὶ ἀπουσίᾳ, πίμπλαται) καὶ πληροῦνται τοῖς δάκρυσιν. αἱ δὲ περσίδες γυναῖκες, ἀκροπενθεῖς καὶ ἐπιμελῶς πενθοῦσαι. ¶Ἑκάστη πόθῳ] ἑκάστη γυνὴ περσὶς γυνὴ τὸν ἑαυτῆς ἐραστὴν καὶ ἄνδρα ἀποπεμψαμένη τὸν αἰχμήεντα καὶ θοῦρον καὶ πολεμικὸν, λείπεται αὐτὴ τοῦ λοιποῦ μονόζυξ καὶ μόνη. ¶Ἀλλ' ἄγε πέρσαι] ἀλλὰ φέρε ὦ πέρσαι, ἐνεζόμενοι καὶ ἐγκαθήμενοι εἰς τοῦτο τὸ ἀρχαῖον στέγος, ἤγουν εἰς ταύτην τὴν ἀρχαίαν καθέδραν, φροντίσωμεν καὶ βουλευσώμεθα πῶς πράσσει καὶ τί ποιεῖ ἐν ἑλλάδι ὁ Ξέρξης. χρεία δὲ προσήκει. τὸ δὲ, ἀντὶ τοῦ γάρ. ἡ χρεία γὰρ προσῆκον ποιεῖ τὸ βουλεύεσθαι. ¶Τὸ πατρωνύμιον] τὸ πατρωνύμιον γένος, ἤτοι ὁ κατὰ πατέρα συγγενὴς ἡμῖν, τοῦτ' ἔστιν, ὁ ἐκ περσῶν ἰθαγενής. ¶Πότερον τόξου ῥῦμα] πότερον ἄρα, φησὶν, ἡ ὁρμὴ τοῦ τόξου ἐστὶ τὸ νικῆσαν καὶ ἡττῆσαν τοὺς ἀθηναίους, ἢ ἰσχὺς τῆς δορυκράνου λόγχης κεκράτηκε καὶ ἐνίκησε

τοὺς πέρσας δηλαδή. οἱ μὲν γὰρ πέρσαι, τοξόται· οἱ δ' ἀθηναῖοι, λογχηφόροι. ἢ δὲ λέγει, τὸ ποιοῦντι, ἆρα οἱ πέρσαι ἐνίκησαν τοὺς ἀθηναίους, ἢ οἱ ἀθηναῖοι τοὺς πέρσας;

ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή, προσπίτνω·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.
χο. Ὦ βαθυζώνων ἄνασσα περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε Δαρείου γύναι,
θεοῦ μὲν εὐνάτειρα περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.
ἄτ. Ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμοις·
καὶ τὸ Δαρείου τε κἀμοῦ κοινὸν εὐνατήριον,
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός·
ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσί,

¶ Ἀλλ' ἥδε θεῶν] ἀλλ' αὕτη ἡ τοῦ βασιλέως μήτηρ, ἡ δέσποινα δὲ ἐμή, ὑπάρχουσα φῶς τοῖς ὀφθαλμοῖς ἡμῶν ἴσον τῶν θεῶν, ὁρμᾶται ἤτοι ἔρχεται. λέγει δὲ τὴν Ἄτοσσαν, ἥτις ἦν θυγάτηρ μὲν Κύρου, γυνὴ δὲ Δαρείου, μήτηρ δὲ Ξέρξου, κατὰ Ἡρόδοτον. ¶ Καὶ προσφθόγγοις δὲ] καὶ προσηγόροις δὲ λόγοις πρέπον αὐτὴν προσφωνεῖν, ἤτοι πρέπει χαιρετίσαι αὐτήν. εἶτα κοινῶς ὁ χορὸς χαιρετίζων αὐτήν, φησίν, ὦ χαῖρε βασίλισσα τῶν περσίδων τῶν βαθυζώνων. βαθύζωνοι δὲ αἱ περσίδες, διὰ τὸ κροσσωτὰς ζώνας ἔχειν. ταῦτα δὴ ἀκούσασα ἡ Ἄτοσσα τοῦ χοροῦ εἰπόντος, εἴ τι μὴ ἡ πρὶν ἀτυχία μετέστη, φησί, διὰ ταῦτα καὶ ἐγὼ παραγίνομαι ἐνταῦθα πρὸς ὑμᾶς, καταλείψασα τοὺς χρυσῷ κεκοσμημένους οἴκους, καὶ τὸν βασιλικὸν κοιτῶνα· καὶ ἐμὲ κατὰ τὴν καρδίαν ἔσωθεν κόπτει φροντίς· εἰς ὑμᾶς δὲ ἐρῶ λόγον, οὐδαμῶς ἐμαυτῆς οὖσα, ἤτοι οὐδόλως ἐμαυτῆς κυρία τυγχάνουσα, ἢ ἄφοβος. δονοῦμαι γὰρ καὶ τῶν φρενῶν ἐξίσταμαι, τῷ ὀνείρῳ. ¶ Θεοῦ μὲν εὐνάτειρα περσῶν] τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ πέρσαι. ¶ Δαίμων παλαιὸς] ἡ εὐδαιμονία. ¶ Μέγας πλοῦτος] δέδοικα, φησί, μήπως ὁ μέγας πλοῦτος καὶ ἡ εὐδαιμονία, κονίσας, ἢ κονιαθεὶς καὶ βληθεὶς ἐν τῷ ποδί, καὶ ῥιφεὶς καὶ λακτισθεὶς εἰς οὖδας, ἀνατρέψῃ τὸν ὄλβον ὃν ὁ Δαρεῖος εἶχεν. ἤτοι τὸ κλέος ὃ ἔλαβεν ὁ Δαρεῖος καὶ εἰς μέγα ὕψωσεν, οὐ χωρὶς τῶν θεῶν. ¶ Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστος] ἤτοι ἄρρητος. ἡ δὲ τοιάδε, μήτε χρημάτων πλῆθος σέβειν ἀνάνδρων, ἤτοι ἀνδρῶν ἐκεῖσε μὴ παρόντων· μήτε τοῖς ἀχρημάτοις ἀνδράσι, δηλονότι τοῖς πένησι, λάμ-

πω φῶς ἀτυχές, ὅ ἐστι σθένος· ὅτι ἔστιν, οὐ πάσης ἀπολαύουσι τῆς τοῦ φωτὸς ἡδονῆς αἱ πένητες. ἑτέρου γὰρ λείποντος, τὸ τῆς εὐδαιμονίας, δυσχερές. χωρὶς μὲν ἀνδρῶν ἄχρηστα εἰσὶ τὰ χρήματα, χωρὶς δὲ χρημάτων οἱ ἄνδρες καὶ ἁπλῶς οἱ μὴ ἔχοντες ταῦτα, ἀνίσχυροι.

μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν,
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.
ὄμμα γὰρ δόμων νομίζω, δεσπότου παρουσίαν. — Oculus domus, praesentia domini.
πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
τοῦδέ μοι γένεσθε πέρσαι, γηραλέα πιστώματα.
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
χο. Εὖ τόδ' ἴσθι γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ·
εὔνους γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.
ἀτ. Πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι
ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν,
ἰαόνων γῆν οἴχεται πέρσαι θέλων·
ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην,
ὡς τῆς πάροιθεν εὐφρόνης, λέξω δέ σοι·
ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,

¶Ἔστι γὰρ πλοῦτος] ἔστι γὰρ ἡμῖν πλοῦτος ἀμεμφὴς καὶ ἄφθονος· δεδοίκαμεν δὲ διὰ τὸ μὴ ἔχειν ἄνδρας. ὀφθαλμὸν γὰρ καὶ φῶς τὴν τοῦ δεσπότου παρουσίαν νομίζω. ¶Ἀμφὶ δ' ὀφθαλμοῖς] ἤγουν ἀμφὶ τὸν Ξέρξην. ὀφθαλμὸν γὰρ ἐκεῖνον καλεῖ. ¶Πρὸς τάδ' ὡς οὕτως ἐχόντων] πρὸς ταῦτα, φησί, γένεσθέ μοι σύμβουλοι τούτου τοῦ λόγου, ὦ πέρσαι, γηραλέα πιστώματα. ἤτοι ὦ ἀρχαῖοι γέροντες πιστοί, ὡς τούτων, ὧν εἶπον, οὕτως ἐχόντων, ἀντὶ τοῦ ἀληθῶν ὄντων. ¶Εὖ τόδ' ἴσθι γῆς ἄνασσα] γίνωσκε ὦ βασίλισσα, ἐπὶ λόγου καὶ ἔργου, ἐφ' οὗ ἂν δυνώμεθα πρᾶξαι καὶ εἰπεῖν, οὐ δίς σε φράσαι, ὥστε μὴ ἐν λόγῳ καὶ ἔργῳ βοηθῆσαί σοι. ¶Πολλοῖς μὲν αἰεί] ἡ Ἄτοσσα φησὶ πρὸς τὸν χορόν, πολλὰ μὲν νυκτερινὰ ὀνείρατα φαντάζομαι, ἐξ οὗ καιροῦ ὁ ἐμὸς παῖς ὁ Ξέρξης διακομίσας στρατόν, περβ'(ε) καὶ ἀπιὼν εἰς τὴν γῆν τῶν ἰαόνων, θέλων ἐκπορθῆσαι αὐτήν· ἀλλ' οὐδαμῶς τοιοῦτον ὄναρ φανερὸν εἶδόν ποτε, ὥσπερ ἐπὶ τῆς παρελθούσης νυκτός. λέξω δέ σοι τοῦτο. Ἰστέον δὲ ὅτι ἰάονες οἱ ἀθηναῖοι λέγονται, ἐκ τοῦ Ἰάονος βασιλεύσαντος αὐτῶν. ¶Στείλας στρατὸν] τοῦτ' ἔστι κοσμήσας. ὁ μάρτυμος γὰρ ἐπὶ λέξις. ἔστι γὰρ στέλλω τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή· στέλλω τὸ πλέω, ἐξ οὗ καὶ στόλος· στέλλω τὸ ἀποστέλλω, ἐξ οὗ καὶ ἀπόστολος. ¶Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε] ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τό, Ἐδοξάτην μοι τάδ' ὑπείρῳ μολεῖν. καὶ Εὐριπίδης, Ἔδοξας ὕπνῳ τῆσδ' ἀπαλλαχθεῖσα γῆς. πρόσεχε δὲ τῇ τοῦ ὀνείρου ἀναγνώσει.

τοὺς πέρσας δηλαδή. οἱ μὲν γὰρ πέρσαι, τοξόται· οἱ δ' ἀθηναῖοι, λογχοφόροι. ὃ δὲ λέγει, τοιοῦτον· ἆρα οἱ πέρσαι ἐνίκησαν τοὺς ἀθηναίους, ἢ οἱ ἀθηναῖοι τοὺς πέρσας;

Ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή, προσπίτνω·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.

χο. Ὦ βαθυζώνων ἄνασσα περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε Δαρείου γύναι,
θεοῦ μὲν εὐνάτειρα περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.

ἄτ. Ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους·
καὶ τὸ Δαρείου τε κἀμοῦ κοινὸν εὐνατήριον,
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός·
Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσί,

¶Ἀλλ' ἥδε θεῶν] ἀλλ' αὕτη ἡ τοῦ βασιλέως μήτηρ, ἡ δέσποινα δὲ ἐμή, ὑπάρχουσα φῶς τοῖς ὀφθαλμοῖς ἡμῶν ἴσον τῶν θεῶν, ὁρμᾶται ἤτοι ἔρχεται. λέγει δὲ τὴν Ἄτοσσαν, ἥτις ἦν θυγάτηρ μὲν Κύρου, γυνὴ δὲ Δαρείου, μήτηρ δὲ Ξέρξου, κατὰ Ἡρόδοτον. ¶Καὶ προσφθόγγοις δὲ] καὶ προσηγόροις δὲ λόγοις πρέπον αὐτὴν προσφωνεῖν, ἤτοι πρέπει χαιρετίσαι αὐτήν. εἶτα κοινῶς ὁ χορὸς χαιρετίζων αὐτήν, φησίν, ὦ χαῖρε βασίλισσα τῶν περσίδων τῶν βαθυζώνων. βαθύζωνοι δὲ αἱ περσίδες, διὰ τὸ χρυσωτὰς ζώνας ἔχειν. Ταῦτα δὴ ἀκούσασα ἡ Ἄτοσσα τοῦ χοροῦ εἰπόντος, εἴ τι μὴ ἡ πρὶν ἀτυχία μεθέστηκε, φησί, διὰ ταῦτα καὶ ἐγὼ παραγίνομαι ἐνταῦθα πρὸς ὑμᾶς, καταλείψασα τοὺς χρυσῷ κεκοσμημένους οἴκους, καὶ τὸν βασιλικὸν κοιτῶνα· καὶ ἐμὲ κατὰ τὴν καρδίαν ἔσωθεν κόπτει φροντίς· εἰς ὑμᾶς δὲ ἐρῶ λόγον, οὐδαμῶς ἐμαυτῆς οὖσα, ἤτοι οὐδόλως ἐμαυτῆς κυρία τυγχάνουσα, ἵνα ἄφοβος. δονοῦμαι γὰρ καὶ τῶν φρενῶν ἐξίσταμαι, τῷ ὀνείρῳ. ¶Θεοῦ μὲν εὐνάτειρα περσῶν] τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ πέρσαι. ¶Δαίμων παλαιὸς] ἡ εὐδαιμονία. ¶Μέγας πλοῦτος] δέδοικα, φησί, μήπως ὁ μέγας πλοῦτος καὶ ἡ εὐδαιμονία, κονίσας, ἢ κονισθεὶς καὶ βληθεὶς ἐν τῷ ποδί, καὶ ῥιφεὶς καὶ καταβληθεὶς εἰς οὖδας, ἀνατρέψῃ τὸν ὄλβον ὃν ὁ Δαρεῖος εἷλεν. ἤτοι τὸ κλέος ὃ ἔλαβεν ὁ Δαρεῖος καὶ εἰς μέγα ὕψωσεν, οὐ χωρὶς τῶν θεῶν. ¶Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστος] ἤτοι ἄρρητος. ὃ δὲ τοιάδε, μήτε χρημάτων πλῆθος σέβειν ἀνάνδρων, ἤτοι ἀνδρῶν ἐκείνων μὴ παρόντων· μήτε τοῖς ἀχρημάτοις ἀνδράσι, δηλονότι τοῖς πένησι, λάμ-

πειν φῶς ἀνυχὲς, ὅ ἐστι σθένος· ὅτ' ἔστιν, οὐ πάσης ἀπολαύουσι τοῦ φωτὸς ἡδονῆς οἱ πένητες. ἑτέρου γὰρ λείποντος, τὸ τῆς εὐδαιμονίας, δυσχερές. χωρὶς μὲν ἀνδρῶν ἄχρηστα εἰσὶ τὰ χρήματα, χωρὶς δὲ χρημάτων οἱ ἄνδρες καὶ ἁπλῶς οἱ μὴ ἔχοντες ταῦτα, ἀνίσχυροι.

μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν,
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφὴς, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.
ὄμμα γὰρ δόμων νομίζω, δεσπότου παρουσίαν.
πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
τοῦδέ μοι γένεσθε πέρσαι, γηραλέα πιστώματα.
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
Χο. Εὖ τόδ' ἴσθι γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ·
εὔνους γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.
Ἄτ. Πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι
ξυνέιμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν,
ἰαόνων γῆν οἴχεται πέρσαι θέλων·
ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην,
ὡς τῆς πάροιθεν εὐφρόνης, λέξω δέ σοι·
ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,

¶Ἔστι γὰρ πλοῦτος] ἔστι γὰρ ἡμῖν πλοῦτος ἀμεμφὴς καὶ ἄφθονος· δεδοίκαμεν δὲ διὰ τὸ μὴ ἔχειν ἄνδρας. ὀφθαλμὸν γὰρ καὶ φῶς τὴν τοῦ δεσπότου παρουσίαν νομίζω. ¶Ἀμφὶ δ' ὀφθαλμοῖς] ἤγουν ἀμφὶ τὸν Ξέρξην. ὀφθαλμὸν γὰρ ἐκεῖνον καλεῖ. ¶Πρὸς τάδ' ὡς οὕτως ἐχόντων] πρὸς ταῦτα, φησὶ, γένεσθέ μοι σύμβουλοι τούτου τοῦ λόγου, ὦ πέρσαι, γηραλέα πιστώματα. ἤτοι ὦ ἀρχαῖοι γέροντες πιστοὶ, ὡς τούτων, ὧν εἶπον, οὕτως ἐχόντων, ἀντὶ τοῦ ὄντων. ¶Εὖ τόδ' ἴσθι γῆς ἄνασσα] γίνωσκε ὦ βασίλισσα, ἐπὶ λόγου καὶ ἔργου, ἐφ' οὗ ἂν δυνώμεθα πρᾶξαι καὶ εἰπεῖν, οὐ δὶς σὲ φράσαι, ὥστε μὴ ἐν λόγῳ καὶ ἔργῳ βοηθῆσαί σοι. ¶Πολλοῖς μὲν αἰεὶ] ἡ Ἄτοσσα φησὶ πρὸς τὸν χορὸν, πολλὰ μὲν νυκτερινὰ ὀνείρατα φαντάζομαι, ἐξ οὗ καιροῦ ὁ ἐμὸς παῖς ὁ Ξέρξης διακομίσας στρατὸν, πορθεῖ καὶ ἄπεισιν εἰς τὴν γῆν τῶν ἰαόνων, θέλων ἐκπορθῆσαι αὐτήν· ἀλλ' οὐδαμῶς τοιοῦτον ὄναρ φανερὸν εἶδόν ποτε, ὥσπερ ἐπὶ τῆς παρελθούσης νυκτός. λέξω δέ σοι τοῦτο. Ἰστέον δὲ ὅτι ἴαονες οἱ ἀθηναῖοι λέγονται, ἐκ τινος Ἴαονος βασιλεύσαντος αὐτῶν. ¶Στείλας στρατὸν] τουτέστι κοσμήσας. ὁ μέντοι μοι γὰρ ἐστὶ λέξις. ἔστι γὰρ στέλλω τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή· στέλλω τὸ πλέω, ἐξ οὗ καὶ στόλος· στέλλω τὸ ἀποστέλλω, ἐξ οὗ καὶ ἀπόστολος. ¶Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε] ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τὸ, Ἐδοξάτην μοι τάδ' ὑπείρω μολεῖν. καὶ Εὐριπίδης, Ἐδοξάς ὕπνῳ τῆσδ' ἀπαλλαχθεῖσα γῆς. πρόσεχε δὲ τῇ τοῦ ὀνείρου ἀναγνώσει.

Oculus domus, praesentia domini.

ἡ μὲν πέπλοισι περσικοῖς ἠσκημένη,
ἡ δ' αὖτε δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολὺ,
κάλλει τ' ἀμώμω, καὶ κασιγνήτα γένους
ταυτοῦ· πάτραν δ' ἔναιον, ἡ μὲν ἑλλάδα
κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.
τούτω στάσιν τιν' ὡς ἐγὼ 'δόκουν ὁρᾶν
τεύχειν ἐν ἀλλήλησι· παῖς δ' ἐμὸς μαθὼν
κατεῖχε, κἀπράϋνεν, ἅρμασιν δ' ὕπο
ζεύγνυσιν αὐτὼ, καὶ λέπαδν' ἐπ' αὐχένων
τίθησι. χ' ἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ,
ἐν ἡνίαισι δ' εἶχεν εὔαρκτον στόμα·
ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἐν τῇ δίφρου
διασπαράττει, καὶ ξυναρπάζει βίᾳ
ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον·
πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφε· τὸν δ' ὅπως ὁρᾷ

¶Γένους ταυτοῦ] Ἄνδρων ὁ ἁλικαρνασσεὺς φησὶ τὸν Ὠκεανὸν γῆμαι Πομφολύγην καὶ Παρθενόπην· σχεῖν δὲ ἐκ μὲν Παρθενόπης, Εὐρώπην καὶ Θρᾴκην, ἐκ δὲ Πομφολύγης, Ἀσίαν καὶ Λιβύην· ἀφ' ὧν τὰς ἠπείρους ὀνομασθῆναι συμβέβηκεν. ἡ γοῦν Ἄτοσσα φησὶ δύο γυναῖκας κατ' ὄναρ ἰδεῖν, τὰς δύο ἠπείρους ταύτας, ἀσίαν καὶ εὐρώπην. ¶Τούτω στάσιν] τούτω, φησὶ, τὼ γυναῖκε τὴν ἀσίαν καὶ τὴν Εὐρώπην, ὥσπερ ἐγὼ ἐδόκουν ὁρᾶν στάσιν τινὰ καὶ φιλονεικίαν τεύχειν καὶ κατασκευάζειν καὶ ποιεῖν ἐν ἀλλήλαις. παῖς δὲ ὁ ἐμὸς μαθὼν στασιαζούσας ταύτας, κατεῖχε καὶ ἐπράϋνε καὶ ἡμέρου αὐτάς (ἤθελε γὰρ ὁ Ξέρξης εἰς ἓν ἀγαγεῖν κράτος τὴν εὐρώπην καὶ τὴν ἀσίαν) ὑπὸ ἅρμασι δὲ ζεύγνυσιν αὐτὼ, ἀντὶ τοῦ αὐτάς, καὶ λέπαδνα, ἤτοι ζυγόλουρα τίθησιν ἐπὶ τῶν αὐχένων αὐτῶν. ¶Λέπαδνα] οἱ παχεῖς ἱμάντες, οἷς ἀναδεσμοῦνται) οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸ ζυγόν. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ λέπω τὸ λεπίζω, λέπανον, καὶ λέπαδνον· τινὲς δὲ λέπαδνα τοὺς μασχαλιστῆρας φασί. ¶Χ' ἡ μὲν] καὶ ἡ μὲν, ἤγουν Ἀσία, ἐπυργοῦτο καὶ ἐκοσμεῖτο καὶ ἤρετο τῇ στολῇ ταύτῃ. δεικτικῶς δὲ τοῦτο, ἀντὶ τοῦ περσικῇ ταύτῃ, ἣν φορεῖ. εἶχε δὲ στόμα εὔαρκτον καὶ ὑπήκοον καὶ πειθήνιον ἐν τοῖς χαλινοῖς. ¶Η δ' ἐσφάδαζε] ἡ δὲ Εὐρώπη ἐσφάδαζε, καὶ ὥρμα καὶ ἐπήδα, καὶ διὰ τῶν χειρῶν ἐν τῇ τοῦ δίφρου βίᾳ, ῥήσσει τὸν δίφρον, καὶ ξυναρπάζει ἄνευ χαλινῶν, ἤτοι ἀχαλίνωτον γενόμενον καὶ τὸν ζυγὸν συνθλᾷ. πίπτει δὲ ἐκ τοῦ ἅρματος ὁ Ξέρξης· ἐστὼς γὰρ ἦν ὁ ὑπὸ ζυγὸν ἔχων αὐτάς. καὶ πατὴρ Δαρεῖος παρίσταται οἰκτείρων αὐτόν. ἐπεὶ δὲ τοῦτο εἶδεν ὁ Ξέρξης, αἰδεσθεὶς τὸ πλάσμα, διαρρηγνύει τοὺς οἰκείους πέπλους. Ἄλλως. ἐσφάδαζε. ἐσκάριζε.

Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
ἐπεὶ δ' ἀνέστην, καὶ χεροῖν καλλιρρόου
ἔψαυσα πηγῆς, σὺν θυηπόλῳ χερὶ
βωμῷ προσέστην, ἀποτρόποισι δαίμοσι
θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε·
ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἐστάθην φίλοι·
μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
πτεροῖς ἐφορμαίνοντα, καὶ χηλαῖς κάρα
τίλλονθ'· ὁ δ' οὐδὲν ἄλλογ' ἢ πτήξας δέμας
παρεῖχε. ταῦτ' ἔμοιγε, δείματ' ἐστ' ἰδεῖν,
ὑμῖν δ' ἀκούειν, εὖ γὰρ ἴστε, παῖς ἐμὸς
πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνήρ·
κακῶς δὲ πράξας, οὐχ ὑπεύθυνος πόλει·
σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.
χο. Οὔ σε βουλόμεσθα μῆτερ οὔτ' ἄγαν φοβεῖν λόγοις,

¶ Καλλιρρόου πηγῆς] πηγή τις ἱερὰ ἀφ' ἧς ἀνιμᾶν τὸ νᾶμα ταῖς θυσίαις ἐπιχέεσθαι. διὰ γοῦν τὸ ἐξ αὐτῆς τὰς θυσίας γίνεσθαι, καλλίρροον αὐτὴν ὠνόμασεν. ἀποτροπὴν δὲ τῶν ὀνείρων φασὶν εἶναι τὸν ἥλιον. τούτου γὰρ ἐπιλάμψαντος, οἱ ὄνειροι διασκεδάζονται. ¶ Ἀποτρόποισι δαίμοσι] οἷς ἀποτροπιαζόμεθα τοὺς ὀνείρους. ¶ Θέλουσα θῦσαι πέλανον] πέλανος κυρίως, ὁ πεπηγὼς ῥύπος λέγεται. Ἄλλως. ὁ ἀφρὸς ὁ γινόμενος ἐν τῇ χύτρᾳ. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ πέλω τὸ ἀναστρέφομαι. ἐνταῦθα δὲ πέλανον, τὴν θυσίαν φησί. ¶ Μεθύστερον] μετὰ δὲ τοῦτο ὁρῶ κίρκον, ἤτοι ἱέρακα, σφαδάζοντα καὶ ὀξέως κινούμενον ἐν τοῖς πτεροῖς, καὶ χηλαῖς, ἤτοι τοῖς ὄνυξι, τὸ κάρα καὶ τὴν κεφαλὴν τοῦ αἰετοῦ διακόπτοντα. ὁ δὲ αἰετός, ἤγουν ὁ Ξέρξης, οὐδὲν ἄλλο ἐποίει, ἢ μόνον παρεῖχε τῷ ἱέρακι τὸ σῶμα χρῆσθαι ὡς βούλεται. αἰετὸν οὖν τὸν Ξέρξην φησί, διὰ τὸ βασιλικὸν καὶ γενναῖον· ἱέρακα δέ, τὸ τῶν Ἀθηναίων στράτευμα, διὰ τὸ πρὸς τοὺς Πέρσας ἐλάττονα ἔχειν κατὰ πολὺ τὴν δύναμιν. ¶ Οὐχ ὑπεύθυνος πόλει] οὐ τιμωρητέος, οὐ δίκας ὀφείλων, διὰ τὸ ὑμᾶς αὐτὸν παρορμῆσαι, καὶ κοινῷ δόγματι γενέσθαι τὴν ἐκείνου ἔξοδον καὶ πρὸς τοὺς Ἀθηναίους ἄφιξιν. ¶ Οὔ σε βουλόμεσθα] ὁ χορὸς ἀκούσας τὸ ὄνειρον τῆς Ἀτόσσης, φησὶ πρὸς αὐτήν, ὦ μῆτερ τοῦ Ξέρξου, οὐδαμῶς θέλομεν οὔτε ἄγαν ἐκφοβεῖν ἐν λόγοις σε, ἤτοι λέγειν ὅτι κακὰ ταῦτά εἰσιν ἃ εἶδες οὔτε παραθαρσύνειν, ὡς οἴεσθαι ὅτι καλά. τοὺς θεοὺς δὲ τοὺς ἱκεσίους προσελθοῦσα ἐν ἱκεσίᾳ παρακαλέσασα, εἴ τι κακὸν καὶ μισητὸν εἶδες, ζήτει αὐτοὺς ποιεῖν ἀποστρέψαι τοῦτον, τὰ καλὰ δὲ πεπληρωμένα γενέσθαι καὶ σοὶ καὶ τῷ Ξέρξῃ καὶ τῇ πόλει. δεύτερον δὲ πρέπει

σὲ ἐπιθῦσαι θυσίας τῇ γῇ τε καὶ τοῖς κάτω νεκροῖς. αἰτοῦ δὲ καὶ ζήτει καὶ παρακάλει τὸν Δαρεῖον, ὃν λέγεις ἰδεῖν κατ᾽ ὄναρ, ταῦτά σοι ἀγαθὰ κάτωθεν ἀπὸ τῆς γῆς πέμπειν εἰς φάος. ἤτοι ἀναδιδόναι σοι ἀγαθὰ τὰ ἐναντία ὧν εἶδες. οἱ γὰρ ὄνειροι ἐκ τῆς γῆς ἀνέρχεσθαι λέγονται.

οὕτε θαρσύνειν. θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ᾽ ἀποτροπὴν λαβεῖν·
τὰ δ᾽ ἀγάθ᾽ ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν,
καὶ πόλει, φίλοις τε πᾶσι· δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ᾽ αἰτοῦ τάδε,
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ᾽ εὐφρόνην,
ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος·
τἄμπαλιν δὲ τῶνδε, γαίας κάτοχ᾽ ἀμαυροῦσθαι σκότῳ.
ταῦτα θυμόμαντις ὤν, σοὶ πρευμενῶς παρῄνεσα.
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
ἀτ. Ἀλλὰ μὴν εὔνους γ᾽ ὁ πρῶτος τῶνδ᾽ ἐνυπνίων κριτὴς,
παιδὶ, καὶ δόμοις ἐμοῖσι τήνδ᾽ ἐκύρωσας φάτιν·
ἐξιλεοῖτο δὲ τὰ χρηστά· ταῦτα δ᾽ ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι, τοῖς τ᾽ ἔνερθε γῆς φίλοις,
εὖτ᾽ ἂν εἰς οἴκους μόλωμεν· κεῖνα δ᾽ ἐκμαθεῖν θέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρύσθαι χθονός.
χο. Τῆλε πρὸς δυσμαῖς ἄνακτος ἡλίου φθινασμάτων.

¶Τἄμπαλιν δὲ] καὶ τὰ ἐναντία τούτων τῶν ἀγαθῶν αἰτοῦ κατεχόμενα τῇ γῇ ἀμαυροῦσθαι. ἤτοι ὑπὸ τῆς γῆς κρατηθέντα, ἀφανισθῆναι τῷ σκότει. ¶Ταῦτα θυμόμαντις] ταῦτα, φησί, παρῄνεσα, ὁ φύσει μάντις ὤν, δηλαδὴ ἀπὸ λογισμοῦ κρίνων καὶ ἀπὸ ἐνθυμήσεως. τοῦτο γὰρ δηλοῖ τὸ θυμόμαντις. ¶Τῶνδε κρίνομεν πέρι] τὸ φανερὸν κρίνομεν, εἰς καλὸν τὰ ὀφθέντα μοι ὀνείρατα ἐκβιβασθῆναι. τὸ δ᾽ ἄλλο κρίνομεν, τόδε καλὸν γενέσθαι, τὸ, ἐὰν ἀπελθοῦσα θύσῃς τοῖς θεοῖς, ὡς προείρημεν. ¶Ἀλλὰ μὴν εὔνους] ἀλλὰ δὴ σὺ ὁ πρῶτος ἀκούσας τοῦ ὀνείρου, εὐνοϊκῶς συνεβούλευσας ἐξιλεώσασθαι οὐρανίους καὶ καταχθονίους δαίμονας. ¶Ἐξιλεοῖτο δὲ] σὺ μὲν, φησὶν, ἐκύρωσας καὶ ἐβεβαίωσας ταύτην τὴν φήμην, τὸ θῦσαι δηλονότι τοῖς θεοῖς ὑπὲρ τοῦ παιδὸς τοῦ ἐμοῦ καὶ τῶν ἐμῶν οἴκων· εἴθε δὲ ἡ ἐξιλέωσις εἰς ἀγαθὸν ἀποβαίνοι. ταῦτα δὲ ὡς λέγεις, πάντα ποιήσομεν τοῖς θεοῖς καὶ τοῖς κάτω νεκροῖς, ὁπόταν ἀπέλθωμεν εἰς τοὺς οἴκους ἡμῶν. ¶Τῆλε πρὸς δυσμαῖς] ἐρωτηθεὶς ὁ χορὸς ποῦ λέγουσι τὰς Ἀθήνας κρατεῖσθαι, καὶ ἐν ποίῳ μέρει τῆς γῆς, φησὶν, ὅτι μακρὰν πρὸς ταῖς δυσμαῖς τῶν φθινασμάτων τοῦ θεοῦ ἡλίου. ὁ ἥλιος γὰρ παρὰ πέρσαις τιμᾶται. φθινασμάτων δὲ τῶν λήξεων, τῶν δυσμῶν. ἢ τῶν ἐκλείψεων· ὅτι γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. ἔνθα καὶ λὶψ ὁ ἄνεμος ἀπὸ δυσμῶν.

ἄτ. Ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.

χο. Πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.

ἄτ. Ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπληθία στρατοῦ;

χο. Καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ μήδους κακά.

ἄτ. Καὶ τί πρὸς τούτοισιν ἄλλο, πλοῦτος ἐξαρκὴς δόμοις;

χο. Ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.

ἄτ. Πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερὸς γ' αὐτοῖς πρέπει.

χο. Οὐδαμῶς· ἔγχη σταδαῖα, καὶ φεράσπιδες σαγαί.

ἄτ. Τίς δὲ ποιμάνωρ ἔπεστι, κἀπιδεσπόζει στρατοῦ;

χο. Οὔτινος δοῦλοι κέκληνται φωτὸς, οὐδ' ὑπήκοοι.

ἄτ. Πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;

χο. Ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.

ἄτ. Δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.

χο. Ἀλλ' ἐμοὶ δοκεῖν, τάχ' εἴσῃ πάντα νημερτῆ λόγον·
τοῦδε γὰρ δράμημα φωτὸς περσικὸν πρέπει μαθεῖν·
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

ἄγ. Ὦ γῆς ἁπάσης ἀσιάδος πολίσματα,

¶ Πᾶσα γὰρ] ἐὰν ἀθήνας κρατήσῃ ὁ Ξέρξης, τηνικαῦτα καὶ τὴν ἑλλάδα πᾶσαν καταδουλώσει. αἱ γὰρ ἀθῆναι εἰσὶν ἰσχυρόταται τῆς ἑλλάδος. τοῦτο λέγει, θέλων ἐπαγεῖραι ταῖς ἀθήναις. ¶ Ἔρξας πολλὰ] τῆς ἐν μαραθῶνι πεζομαχίας μέμνηται. μήδους δὲ τοὺς πέρσας εἴρηκεν. ¶ Ἀργύρου πηγή τις] ἐν θορικῷ γὰρ καὶ ἐν λαυρείῳ μέταλλα ἀργύρου τυγχάνουσιν. ¶ Πότερα γὰρ] ἆρα, φησὶ, διὰ τῶν χειρῶν αὐτοῖς πρέπει ἡ βολὴ ἡ τοξική; ἀντὶ τοῦ, ἆρα οἴδασι τοξεύειν οἱ ἀθηναῖοι; ἀποκριθεὶς δὲ ὁ χορὸς λέγει, οὐδαμῶς τόξα ἕλκειν οἴδασιν. ἔγχη δὲ σταδαῖα, ἤτοι ξίφη σταδαῖα, δι' ὧν συστάδην καὶ ἐγγύθεν καὶ πλησίον μάχονται. τοὺς γὰρ ἐν διαστήμασιν μαχομένους καταπτύουσι (?). ¶ Τίς δὲ ποιμάνωρ] τίς δὲ, φησὶν, ἐστὶ ποιμάνωρ, ἤτοι βασιλεὺς τοῦ λαοῦ καὶ τοῦ στρατεύματος; ποιμένες γὰρ οἱ βασιλεῖς λέγονται. ὁ δὲ χορὸς ἀποκριθεὶς λέγει, οὐχί τινος ἀνδρὸς ὀνομάζονται δοῦλοι οὐδ' ὑπήκοοι. ¶ Πῶς ἂν οὖν μένοιεν] ἀκούσασα ἡ Ἄτοσσα ὅτι οὐδένος ἀνδρὸς εἰσὶ δοῦλοι οὐδὲ ὑπήκοοι οἱ ἀθηναῖοι, φησὶ, πῶς ἂν οὖν εἰ ἀναρχίαν εἶχον, μὴ ἔχοντες ἐφεστηκότα, καὶ πρὸς διάφορα διὰ τοῦτο θελήματα μετατρέποντο, ἴσχυσαν πολεμῆσαι τοὺς ἐπελθόντας αὐτοῖς, ὡς ἐξ ἑνὸς συνθήματος, πέρσας; ¶ Δεινά τοι λέγεις] χαλεπὰ λέγεις τοῖς γονεῦσι τῶν ἰόντων καὶ ἐλθόντων εἰς ἀθήνας (ἀντὶ τοῦ ἡμῖν) ὥστε φροντίσαι αὐτῶν. ¶ Ἀλλ' ἐμοὶ] ἰδὼν ὁ χορὸς τὸν ἄγγελον ἐρχόμενον, φησὶ πρὸς τὴν Ἄτοσσαν, ἀλλ' ὡς ἐμοὶ δοκεῖ, ἤτοι κατὰ τὴν ἐμὴν δόξαν καὶ δόκησιν, πάντως γνώσῃ ἀληθῆ λόγον. τοῦδε γὰρ, τούτου τοῦ ἀνδρὸς, τὸ δράμημα καὶ τὸ βάδισμα περσικὸν φαίνεται, καὶ φέρει ἡμῖν ὥστε ἀκούειν φανερόν τι πρᾶγμα, ἀγαθὸν ἢ κακόν.

ὦ περσὶς αἶα καὶ πολὺς πλούτου λιμὴν,
ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
ὄλβος, τὸ περσῶν δ' ἄνθος οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος,
πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.
χο. Ἄνια, ἄνια κακὰ, νεό- κοτα καὶ δάϊα. αἲ αἲ,
διαίνεσθε πέρσαι τόδ' ἄχος κλύοντες.
ἀγ. Ὡς πάντα γ' ἐστ' ἐκεῖνα διαπεπραγμένα·
κ' αὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.
χο. Ἡ μακροβίοτος ὅδε γέ τις αἰὼν ἐφάνθη
γεραιοῖς, ἀκούειν τόδε πῆμ' ἄελπτον.
ἀγ. Καὶ μὴν παρών γε, κ' οὐ λόγους ἄλλων κλύων,
πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.
χο. Ὀτοτοτοῖ μάταν τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ' ἀσίδος ἦλθ' ἐπ' αἶαν δίαν ἑλλάδα χώραν.
ἀγ. Πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ, πᾶς τε πρόσχωρος τόπος.
χο. Ὀτοτοτοῖ φίλων ἁλίδονα σώματα πολυβαφῆ
κατθανόντα λέγεις φέρεσθαι

¶Τὸ περσῶν δ' ἄνθος] τὸ κάλλος, τὸ στράτευμα. ¶Ὤμοι κακὸν μὲν] φεῦ μοι, κακὸν μὲν ἐστιν ἀγγέλλειν καὶ μηνύειν καὶ λέγειν κακά (στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν εἶναι) ὅμως δὲ ἀναγκαῖόν ἐστιν ἀναπτύξαι καὶ ἀνακαλύψαι καὶ φανερὸν ποιῆσαι ὅλον τὸ πάθος. ἅπας γὰρ στρατὸς τῶν περσῶν ὄλωλεν. ¶Ἄνια δάϊα] λυπηρὰ καὶ ἀνιαρά. ¶Νεόκοτα] νεωστὶ μηνυθέντα ἡμῖν ὑπὸ ξένου τῶν δαιμόνων. ¶Διαίνεσθε] δακρύετε κλύοντες καὶ ἀκούοντες τόδ' ἄχος ὃ εἶπον, ἀντὶ τοῦ ταύτην τὴν λύπην. ¶Ὡς πάντα γ' ἔστ' ἐκεῖνα] τὸ ὡς ἀντὶ τοῦ ὅτι, καὶ ἀντὶ τοῦ λίαν. πάντα ἐκεῖνα ὅσα ἔφην διαπεπραγμένα ἐστί· κἀγὼ δὲ ἀέλπτως νόστιμον βλέπω φάος, ἀντὶ τοῦ, ἀνελπίστως ὑποστρέψας ζῶ, καὶ βλέπω τὸ φῶς. ¶Ἡ μακροβίοτος] ὄντως μακροβίοτος καὶ πολυχρόνιος ὅδε καὶ οὕτως ὁ αἰὼν καὶ χρόνος καὶ βίος ἐφάνη ἡμῖν τοῖς γεραιοῖς, διὰ τὸ ἀκούειν τοῦτο τὸ πῆμα καὶ τὸ βλάβος τὸ ἀνέλπιστον. καὶ ἄλλως, εἰς τοῦτο ἐμακρύνθη ὁ βίος ἡμῶν, εἰς τὸ ἀκοῦσαι τὰ τοιαῦτα κακά. ¶Καὶ μὴν] αὐτὸς ἐκεῖσε παρὼν καὶ αὐτοψεὶ ὁρῶν τὰ τελούμενα, καὶ μὴ ἐξ ἑτέρων ἀκηκοώς, φράσαιμι ἂν οἷα καὶ πόσα τὰ κακὰ ἐπορσύνθη καὶ κατεσκευάσθη καὶ ἐγένετο. ¶Παμμιγῆ] διαφόρων ἐθνῶν. ¶Ἐπ' αἶαν] ἐπ' αἶαν ἑλλάδα, δίαν χώραν. ¶Πολυβαφῆ] ὑπὸ τοῦ αἵματος.

πλαγκτοῖς ἐν διπλάκεσσιν.
ἀγγ. Οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
στρατὸς, δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.
χο. Ἴυζ' ἄποτμον βοὰν δυσαιανῆ πέρσαις δαΐοις,
ὡς παγκάκως πάντα ἔθεσαν, αἲ αἲ, στρατοῦ φθαρέντος.
ἀγγ. Ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν·
φεῦ τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.
χο. Στυγναὶ δ' Ἀθῆναι δαΐοις,
μεμνῆσθαί τοι πάρα ὡς πολ-
λὰς περσίδων μάταν ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους.
ἀτ. Σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορὰ,
τὸ μήτε λέξαι, μήτ' ἐρωτῆσαι πάθη.
ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν, 
θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος 
λέξον καταστὰς (κεἰ στένεις κακοῖς ὅμως)
τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
τῶν ἀρχελείων, ὅστ' ἐπὶ σκηπτουχίᾳ
ταχθεὶς, ἄνανδρον τάξιν ἠρήμου θανών.
ἀγγ. Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ φάος βλέπει. superatq. et vescitur aura aetheria.

¶Πλαγκτοῖς ἐν διπλάκεσσι] πλαγκτοῖς ὡς ἂν εἴποι τις δισαύλοις. τὰ γὰρ κύματα ἐγχεῖται καὶ ὑπονοστεῖ. διπλάκεσσι δὲ, ταῖς δύο πλαξὶ, τῆς θαλάσσης τε καὶ γῆς. ἢ, ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς. ¶Ἐμβολαῖς] ἀντὶ τοῦ προσβολαῖς. ¶Δυσαιανῆ] δυσθρήνητον. ¶Δαΐοις] διακεκομμένοις. ¶Στυγναὶ δ' Ἀθῆναι] αἱ Ἀθῆναι, στυγναὶ γεγόνασι τοῖς πολεμικοῖς πέρσαις. τινὲς δὲ τὸ, στυγναὶ δ' Ἀθῆναι, τοῦτό φασιν, ὅτι ἡμῖν τοῖς δαΐοις στυγνότητος αἴτιαι πάρεισιν εἰς μνήμην αἱ Ἀθῆναι. ὅ ἐστι, τῶν Ἀθηνῶν ἡ μνήμη στυγνοὺς ἡμᾶς ποιεῖ. ἔστι δὲ τὸ πρότερον κάλλιον. ¶Ὡς πολλὰς περσίδων μάταν] ματαίως, μηδὲν βλαψάσας. ¶Ἔκτισαν] ἐποίησαν. ¶Εὔνιδας ἠδ' ἀνάνδρους] ὀρφανὰς, ἐστερημένας. καὶ ἀνάνδρους, ἤτοι οὐκ ἐχούσας ἄνδρας. ¶Τὸ μήτε λέξαι] λείπει ἡ πρός. τοιοῦτοι δὲ οἱ συμφοραῖς μεγάλαις κατισχόμενοι. ¶Καταστὰς] κατάστασιν λαβὼν τοῦ θορύβου, μὴ θορυβούμενος. ¶Τίς οὐ τέθνηκε] καλῶς πρότερον περὶ τῶν ζώντων ἐρωτᾷ ἡ Ἄτοσσα τὸν ἄγγελον, ὡς ὄντων ὀλίγων· ὁ δὲ παρίστησι καὶ τὸ πλῆθος τῶν ἀποθανόντων. ¶Τῶν ἀρχελείων] λαῶν ἀρχόντων. Ἄλλως. τῶν βασιλέων, ἀπὸ τοῦ τῶν λαῶν ἄρχειν. ¶Ὅστ' ἐπὶ σκηπτουχίᾳ] τινὲς ὥσπερ διὰ τοῦ ω μεγάλου γράφουσι, καί φασι, πῶς τέθνηκος· ἤγουν ἐπὶ σκηπτουχίᾳ ταγών.

ἄτ. Ἐμοῖς μὲν εἶπας δώμασι φάος μέγα,
καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.
ἄγγ. Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
στύφλους παρ' ἀκτὰς θείνεται σιληνίων·
χὠ χιλίαρχος Δαδάκης, πληγῇ δορὸς,
πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ' ἄριστος Βακτρίων ἰθαγενὴς,
θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ,
Λίλαιος, Ἀρσάμης τε, κ' Ἀργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
πηγαῖς τε Νείλου γειτονῶν αἰγυπτίου
Ἀρκτεὺς, Ἀδεύης, καὶ Φερεσσεύης τρίτος,
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον·
χρυσεὺς Μάταλλος μυριόνταρχος θανὼν
ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,

¶Ἐμοῖς μὲν εἶπας] ἡ Ἄτοσσα, ἀκούσασα τοῦ ἀγγέλου εἰπόντος ὅτι ὁ Ξέρξης ζῇ, φησὶν, εἶπας φῶς μέγα τοῖς ἐμοῖς οἴκοις, καὶ λαμπρὰν ἡμέραν ἐκ νυκτὸς μελαίνης. ἐνόμιζε γὰρ καὶ αὐτὸν τεθνάναι. ¶Ἀρτεμβάρης δὲ] ὁ Ἀρτεμβάρης δὲ ἡγεμὼν καὶ ὁ διοικητὴς τῆς μυρίας καὶ πολλῆς ἵππου, ἤτοι ὁ ἔχων ἵππους πολλούς, θείνεται καὶ τύπτεται καὶ σφάττεται παρὰ τὰς ἀκτὰς καὶ τοὺς αἰγιαλοὺς τοὺς σκληροὺς καὶ τραχεῖς. σιληνίαι αἰγιαλός ἐστι τῆς Σαλαμῖνος τῆς λεγομένης Τροπαίας ἄκρας, ὡς Τιμόξενος ἐν τῷ περὶ λιμένων, φησί. ¶Χὠ χιλίαρχος] καὶ ὁ χιλίων στρατιωτῶν ἄρχων Δαδάκης ἐκ τῆς νηὸς ἀφήλατο καὶ ἐπήδησε πήδημα κοῦφον καὶ ἐλαφρὸν καὶ σύντομον καὶ ταχὺ, ἐν πληγῇ δορός. ἤγουν, τῷ δόρατι πληγεὶς ἐξετινάχθη ἔξωθεν τῆς νεώς. ¶Τενάγων τ' ἄριστος ἰθαγενὴς Βακτρίων] καὶ ὁ πολίτης τῶν Βακτρίων (Βάκτρα δὲ πόλις Περσίδος) πολεῖ καὶ ἀναστρέφεται τὴν θαλασσόπληκτον νῆσον τοῦ Αἴαντος. ἐμφαίνεται γὰρ διὰ τούτου ὡς ὑπὸ καλῶς μαχεσάμενος καὶ ἀναιρεθεὶς, πρὸς τὰς τῶν μακάρων νήσους αὐλίζεται. φαίνεται δὲ ὁ Αἰσχύλος κωμῳδῶν τοῦτο. Ἄλλως. ἀφήρμοσε· κεῖται ἐν Σαλαμῖνι. ¶Λίλαιος, Ἀρσάκης] ταῦτα τὰ ὀνόματα οὐκ ἔχει τὸν τῆς αἰγύπτου χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται. ¶Οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα] οὗτοι περὶ τὴν νῆσον τὴν πελειοθρέμμονα (ἤτοι τὴν Σαλαμῖνα· πολυτρήρων γὰρ αὕτη) συνέκρουον ἀλλήλοις. ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων τῶν συγκρουόντων τοῖς κέρασι. Ἄλλως. τὴν πολυτρήρωνα Σαλαμῖνα, παρὰ τὸ Ὁμηρικὸν, πολυτρήρωνά τε Θίσβην. ¶Ἀδεύης, καὶ Φερεσσεύης] οὐδὲ ταῦτα τὰ ὀνόματα τὸν αἰγύπτιον ἔχει χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται. ¶Μάταλλος μυριόνταρχος θανὼν, ἵππου μελαίνης] καὶ ὁ Μάταλλος ὁ ἡγεμὼν καὶ ἄρχων τῆς μελαίνης

ἵππου τῆς πελιομένης, θανὼν ἔτεγγε καὶ ἔβρεχεν ἐν πορφυρέᾳ βαφῇ, ἤτοι τῇ διὰ τοῦ αἵματος, τὴν πυῤῥὰν γενειάδα τὴν ζαπληθῆ καὶ ἄγαν πολλὴν καὶ δασύτριχον. τινὲς δὲ ἀπὸ γενικῆς, πυῤῥᾶς γενειάδος· καὶ τὸ ἑξῆς, ἔτεγγε χρῶτα, ἔβρεχε τῷ αἵματι.

πυῤῥὰν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ᾽, ἀμείβων χρῶτα πορφυρέᾳ βαφῇ.
καὶ μάγος Ἄραβος, Ἀρτάμης τὲ βάκτριος,
σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμιστρις, Ἀμφιστρεὺς τε πολύπονον δόρυ
νωμῶν, ὅ,τ᾽ ἐσθλὸς Ἀριόμαρδος σάρδεσι
πένθος παρασχὼν, Σεισάμης ὁ μύσιος,
Θαρύβις τε πεντήκοντα πεντάκις νεῶν
ταγὸς, γένος λυρναῖος, εὐειδὴς ἀνήρ,
κεῖται θανὼν δείλαιος οὐ μάλ᾽ εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
κιλίκων ἄπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχὼν, εὐκλεῶς ἀπώλετο.
τοιῶνδέ γ᾽ ἀρχόντων νῦν ὑπεμνήσθην πέρι·
πολλῶν παρόντων δ᾽ ὀλίγ᾽ ἀπαγγέλλω κακά.
Ατ. Αἶ αἶ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
αἴσχη τὲ πέρσαις καὶ λιγέα κωκύματα.
ἀτὰρ φράσον μοι τοῦτ᾽ ἀναστρέψας πάλιν,
πόσον δὴ πλῆθος ἦν νεῶν ἑλληνίδων,
ὥστ᾽ ἀξιῶσαι περσικῷ στρατεύματι

¶ Καὶ μάγος Ἄραβος] μάγος ἐθνικὸν, Ἄραβος κύριον. ¶ Σκληρᾶς μέτοικος γῆς] ἐκεῖ ἀπελθὼν κατῴκησε τὴν σαλαμῖνα τὴν σκληρὰν καὶ πετρώδη. ἢ καὶ οὕτως, ἐν σαλαμῖνι μετοικήσας, ἀφύκτως· παρόσον ἀνυπόστροφος αὐτῷ ἡ εἰς ταύτην ἔφοδος γέγονεν. ¶ Ὅ,τ᾽ ἐσθλὸς] ὁ ἐσθλὸς δὲ καὶ ἀγαθὸς Ἀριόμαρδος ὁ παρασχὼν καὶ δοὺς πένθος καὶ θρῆνον τῇ σάρδεσι· πατρὶς γὰρ αἱ σάρδεις αὐτοῦ. ὁ Θάρυβίς τε ὁ ταγὸς καὶ ἡγεμὼν νεῶν πεντήκοντα πεντάκις, ὅτ᾽ ἐστὶ διακοσίων πεντήκοντα· τὸ γένος ὢν ἀπὸ λύρνης τῆς χώρας, κεῖται δείλαιος καὶ ἄθλιος θανὼν οὐ μάλα εὐτυχῶς. ¶ Συέννεσίς τε πρῶτος] Συέννεσίς δὲ πρῶτος εἰς θαῤῥαλεότητα καὶ ἀνδρείαν, ὁ ἡγεμὼν τῶν κιλίκων, εὐκλεῶς ἀπώλετο, ἀντὶ τοῦ, καλῶς καὶ ἀνδρείως μαχεσάμενος ἀπώλετο, εἷς ἀνὴρ ὢν, καὶ πολλοὺς πόνους ἐμποιήσας τοῖς ἐχθροῖς, ὡς κατὰ πολλῶν μαχεσάμενος. ¶ Πολλῶν παρόντων] λείπει τὸ κακῶν. ¶ Ἀναστρέψας] ἀναλαβών. ¶ Ἀξιῶσαι] ἄξιον ἡγήσασθαι, τολμῆσαι.

μάχῃ ξυνάψαι ναΐοισιν ἐμβολαῖς.
ἄγ. Πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι, βάρβαρος
ναυσὶ κρατῆσαι. καὶ γὰρ Ἕλλησι μὲν ἦν
ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
ναῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος.
Ξέρξῃ δὲ (καὶ γὰρ οἶδα) χιλιὰς μὲν ἦν,
ὧν ἦγε, πλῆθος, αἱ δ' ὑπέρκομποι τάχει,
ἑκατὸν δὶς ἦσαν, ἑπτά θ'· ὧδ' ἔχει λόγος.
μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ;
ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατόν,
τάλαντα βείσας οὐκ ἰσορρόπῳ τύχῃ.
ἄτ. Θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.
ἄγ. Ἔστ' ἄρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις.
ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.
ἄτ. Ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν φράσον,
τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν.
ἄγ. Ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ,
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.

¶Ἐμβολαῖς] προσβολαῖς. ¶Δεκὰς δ' ἦν] ἐκ τῶν τ' δέκα ἦσαν αἱ ἡγούμεναι, ὡς βελτίονες. ¶Ἑκατὸν δὶς] σζ' αἱ ἄρισται, ἢ σιη', ἵνα ᾖ τὸ δὶς ἐκ κοινοῦ. ¶Μή σοι δοκοῦμεν] μὴ δοκεῖ ἡμᾶς ἡττηθῆναι ἐν ταύτῃ τῇ μάχῃ, ἤτοι τῇ ναυμαχίᾳ· ἀλλ' οὕτω τὶς δαίμων κατέφθειρε τὸν λαὸν, ἤτοι τὸν στρατὸν τῶν περσῶν. ¶Τάλαντα βείσας] τὰ τῶν περσῶν ζυγὰ βαρήσας. —ῥέπε δ' αἴσιμον ἦμαρ ἀχαιῶν. ¶Ἕρκος] Ἀλκαῖος, ἄνδρες γὰρ πόλεως πύργος ἀρήϊος. ¶Ἀρχὴ δὲ ναυσὶ] ἀρχὴ δὲ τῆς συμβολῆς τῶν νεῶν, ἤτοι τῆς ναυμαχίας, ἆρα οἱ ἕλληνες, ἢ ὁ παῖς ὁ ἐμὸς Ξέρξης, καταυχήσας, ἐπαρθεὶς καὶ θαρσήσας τῷ πλήθει τῶν νεῶν; ¶Ἦρξεν μὲν] ἀρχή τις ἐγένετο τοῦ παντὸς κακοῦ ποθὲν ἢ θεῶν πλαγίως, ἢ δαίμων. εἶτα διηγεῖται τὸ γεγονὸς, καὶ λέγει, ὅτι τὶς ἕλλην ἀπὸ τοῦ στρατεύματος τῶν ἀθηναίων ἐλθὼν, εἶπε τῷ Ξέρξῃ ταῦτα· ἃ καὶ κατὰ μικρὸν ἐξεῖπε. νῦν δὲ τὴν ἱστορίαν ἐροῦμεν. βουλευθέντων τῶν ἑλλήνων, ἤτοι τῶν λακεδαιμονίων τῶν τοῖς ἀθηναίοις συμμαχούντων, ἀπελθεῖν πρὸς τὴν ἑαυτῶν πατρίδα, διὰ τὸ μὴ παραδοθῆναι ταύτην τῷ Ξέρξῃ, τῶν αὐτῆς ἀνδρῶν οὖσαν ἄμοιρον, Θεμιστοκλῆς Σίκιννον τὸν παιδαγωγὸν ἔπεμψε πρὸς τὸν Ξέρξην, λέγων ὅλως τὰ περὶ αὐτοῦ φρονεῖν, καὶ φροντίζειν ἀσφαλείας πῶς αὐτῷ τὰς ἀθήνας προδώσει· εἶτα οὕτως εἰπεῖν τὸν Σίκιννον πρὸς αὐτὸν ὡς μέλλουσι φυγεῖν οἱ ἕλληνες (τοῦτο δὲ ἐ-

Viri pro moenibus.

Themistoclis stratagema

ποίησεν ἵνα ἐν ἀπογνώσει μάχοιντο οἱ ἕλληνες) τοῦτο γνοὺς ὁ Ξέρξης ἀκούσας, πρὸς τὰς διεξόδους τῶν λακεδαιμονίων πέπομφως νῆας, τὴν ἔξοδον αὐτῶν ἀπέφραξεν. οὕτω δὲ μὴ ἔχοντες ὅποι βαίνοιντο, στάντες γενναίως, τὸν μὲν Ξέρξου στόλον ἠφάνισαν ἅπαντα, αὐτοὶ δ' οὕτως καὶ πρὸς τοὺς ἐπιπλέοντας ἐκείνους ἐλθόντες, ἐκεῖσε τούτους ἀπέκλεισαν.

ἀνὴρ γὰρ ἕλλην ἐξ ἀθηναίων στρατοῦ
ἐλθὼν, ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασι
νεῶν ἐπενθορόντες, ἄλλος ἄλλοσε
δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.
ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
ἕλληνος ἀνδρὸς, οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσι προφωνεῖ τόνδε ναυάρχοις λόγον,
εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
τάξαι νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν,
ἔκπλους φυλάσσειν, καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ.
ὡς εἰ μόρον φεύξοιαθ' ἕλληνες κακὸν,
ναυσὶ κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.

¶ Ἀνὴρ γὰρ ἕλλην] ἀνήρ, φησίν, ἕλλην ἐκ τοῦ στρατοῦ τῶν ἀθηναίων (ἦν δ' οὗτος Σίκιννος ὁ τοῦ Θεμιστοκλέους παιδαγωγός) ἐλθὼν εἶπε τῷ Ξέρξῃ ταῦτα, ὅτι εἰ τὸ σκότος τῆς μελαίνης καὶ τῆς ἀφεγγοῦς καὶ σκοτεινῆς νυκτὸς παραγένοιτο καὶ ἔλθοι, ἤτοι εἰ γένοιτο νύξ, οἱ ἕλληνες οὐ καρτερήσαιεν καὶ ὑπομένοιεν, ἀλλὰ τοῖς καταστρώμασι τῶν νηῶν, περιφραστικῶς ταῖς ναυσίν, ἐπιπηδῶντες, ἄλλος ἀλλαχοῦ, ἐν φυγῇ κρυφίᾳ τὴν ζωὴν φυλάξουσιν. ὁ δὲ Ξέρξης οὐ ξυνεὶς καὶ νοήσας τὸν δόλον τοῦ ἕλληνος ἀνδρός, ὃν ἄνωθεν εἴπομεν, εὐθὺς πᾶσι τοῖς ἄρχουσι τῶν νεῶν προσφωνεῖ τοῦτον τὸν λόγον, ὁπηνίκα ἂν δύνῃ ἥλιος τὴν γῆν καίων ἐν ταῖς οἰκείαις ἀκτῖσι, τὸ κνέφας δὲ καὶ τὸ σκότος λάβῃ τὸ τέμενος τοῦ αἰθέρος (περιφραστικῶς αὐτὸν τὸν αἰθέρα) τότε τάξαι τὰς νῆας ἐν τρισὶ τάξεσι, φυλάσσειν τοὺς ἔκπλους, ἤγουν τὰς ἐξόδους καὶ τὰς ἐξελάσεις τῶν ἀθηναίων, καὶ τόπους θαλασσίους· ἄλλας δὲ νῆας τάξαι, ἀπὸ κοινοῦ, κύκλωθεν περὶ τὴν τοῦ Αἴαντος νῆσον, τοῦτ' ἔστι τὴν Σαλαμῖνα. ¶ Εὖτ' ἂν φλέγων ἀκτῖσιν] ὡς ἀπὸ Ξέρξου ὁ λόγος. ¶ Στῖφος] πλῆθος. ¶ Ὡς εἰ μόρον φεύξοιαθ' ἕλληνες κακόν,] ἀπὸ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν. ὡς ἐὰν οἱ ἕλληνες φεύξοιντο καὶ φύγοιεν τὸν θάνατον τὸν χαλεπόν, εὑρόντες τινὰ δρασμὸν καὶ φυγὴν κρυφίως διὰ τῶν νηῶν, πᾶσι ἦν

περιῃρημένοι, τῆς κεφαλῆς στερίσκεσθαι. τοῦτ' ἔστι, πᾶσιν ἠπείλει τοῖς ταχθεῖσι παρ' αὐτοῦ φυλάξαι τοὺς ἕλληνας, στερίσκεσθαι τῆς κεφαλῆς, ἐὰν οἱ ἕλληνες ἐκφύγωσιν. ἄτοπον δὲ ἀπειλεῖν τοσούτῳ πλήθει θάνατον. βέλτιον οὖν εἰπεῖν τὸ κράτος, ἀντὶ τοῦ κράτους, κα[illegible]. ἢ τὸ, στερίσκεσθαι τοῦ κράτους, ἤτοι τῆς τιμῆς καὶ τῆς ἀρχῆς.

Τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενός.
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
δεῖπνόν τ' ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο,
καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ — Hanc metaphorā reprehendit Aristoteles 3 rhetor.
ἐς ναῦν ἐχώρει, πᾶς θ' ὅπλων ἐπιστάτης,
τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς.
πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος,
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο.
ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα
μολπηδὸν εὐφήμησεν, ὄρθιον δ' ἅμα
ἀντηλάλαξε νησιώτιδος πέτρας
ἠχώ. φόβος δὲ πᾶσι βαρβάροις παρῆν
γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,

¶Τοσαῦτ' ἔλεξε] τοσαῦτα, φησὶν, εἶπεν ὁ Ξέρξης, ὑπὸ ἀλαζόνος καὶ [illegible] διανοίας λίαν. οὐ γὰρ τὸ μέλλον ἠπίστατο. οἱ δὲ, οἱ ὑπ' αὐτὸν δηλονότι, οὐκ ἀτάκτως, ἀλλ' ἐν [illegible] καὶ πειθηνίῳ λογισμῷ ἐπορσύνοντο καὶ κατεσκεύαζον καὶ ἡτοίμαζον δειπνεῖν, ἵνα πρότερον δειπνήσωσιν, εἶθ' οὕτως ἐξέλθωσι πρὸς τὴν ναυμαχίαν. πᾶς τε ἀνὴρ ναυτικὸς τὴν εὐήρετμον κώπην ἐδέσμευεν ἀμφὶ τὸν σκαλμὸν, τὸ ξύλον ἐν τῷ τροπωτῆρι καὶ τῷ λώρῳ. Ἄλλως. κώπην εὐήρετμον ἀμφὶ σκαλμὸν ἐδέσμευεν. τροπωτὴρ δὲ, ὁ δεσμεύων τὴν κώπην πρὸς τὸν σκαλμόν. ¶Ὅπλων ἐπιστάτης] ἐπιστήμων. ¶Νεὼς μακρᾶς] πολεμικῆς. ¶Κρυφαῖον ἔκπλουν] ὡς ἡμεῖς ᾠόμεθα.

ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει.
σάλπιγξ δ' ἀυτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν·
ἐπεὶ δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος,
θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν·
τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ὑπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν, ὦ παῖδες ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.
καὶ μὴν παρ' ἡμῶν περσίδος γλώσσης ῥόθος
ὑπηντίαζε, κ' οὐκ ἔτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
ἔπαισεν. ἦρξε δ' ἐμβολῆς ἑλληνικὴ
ναῦς, κἀποθραύει πάντα φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.

¶Πάντ' ἐκεῖν' ἐπέφλεγεν] τὰ τῶν ἑλλήνων ἐξέκαιεν καὶ ἀνήγειρεν ἡ σάλπιγξ. ¶Κώπης ῥοθιάδος] τῆς ἠχητικῆς, ἢ τῆς ἐν ὕδατι ἐλαυνομένης. ¶Τὸ δεξιὸν μὲν] τὸ δεξιὸν κέρας καὶ μέρος τὸ ὑπὸ Θεμιστοκλέους μετ' εὐταξίας προηγεμόνευε τῶν ἄλλων, καὶ προήρχετο· δεύτερον δὲ ὑπεξεχώρει καὶ ἐξήρχετο καὶ ὁ πᾶς στόλος, καὶ παρῆν ἀκούειν βοὴν πολλὴν, ὑπὸ τῶν ταῦτα, ἔλθετε ὦ ἕλληνες, ἐλευθεροῦτε ἀπὸ τῶν βαρβάρων τὴν πατρίδα ὑμῶν καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας, καὶ πάντα τὰ ὑμέτερα. ¶Θήκας τε προγόνων] τάφους. ¶Καὶ μὴν παρ' ἡμῶν ὑπηντίαζε] καὶ δὴ καὶ ἐναντίως τούτοις ἐφέρετο ὁ ῥόθος καὶ ὁ ἦχος καὶ κραυγὴ τῆς περσικῆς γλώσσης, τουτέστιν, ἀντεφωνοῦμεν ἐκείνοις· καὶ οὐκ ἔτι ἦν ἀκμὴ καὶ καιρὸς τοῦ μέλλειν καὶ βραδύνειν. ¶Χαλκήρη στόλον] ἡνίκα ταῦτα γὰρ ναῦς ἀθηναϊκὴ ἔπαισε καὶ ἔτυψε τὸν χαλκήρη στόλον, ἤτοι τὸ ἔμβολον, τὸ ἐν νηῒ περσικῇ δηλονότι. στόλος δὲ λέγεται τὸ ἔμβολον, παρὰ τὸ εἰς ὀξὺ συνεστάλθαι· στόλον γὰρ ἔλεγον τὰ ἀπωξυμμένα. λέγει δὲ χαλκήρη, τὸν χαλκῷ περιβεβλημένον. ¶Ἦρξε δ' ἐμβολῆς] ἀρχὴν ἐποίησε τοῦ πρώτου πολέμου ναῦς ἀθηναϊκὴ, ἤγουν ὁ Λυκομήδης ὁ Αἰσχραίου παῖς, καὶ διέκοπτεν ἡνίκα αὐτὰ πάντα τὰ κόρυμβα καὶ τὰ ἀκροστόλια τῆς φοινίσσης ἤγουν τῆς περσικῆς νεώς· οἱ γὰρ φοίνικες τῶν περσῶν εἰσιν· ἄλλος δὲ ἐπ' ἄλλην ναῦν περσικὴν ἐπιτηδείως ἦγε τὸ δόρυ. τὴν γὰρ ναῦν λέγει δόρυ.

τὰ πρῶτα μὲν δὴ ῥεῦμα περσικοῦ στρατοῦ
ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
αὐτοὶ δ' ὑπ' αὐτῶν ἐμβολαῖς χαλκοστόμοις
παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως
κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
σκάφη νεῶν, θάλασσαν οὐκ ἔτ' ἦν ἰδεῖν,
ναυαγίων πλήθουσαν καὶ φόνου βροτῶν·
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐκπλήθυνον·
φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος·
τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγαῖσι κωπῶν, θραύσμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον, οἰμωγὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα·
ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.

¶Τὰ πρῶτα μὲν] κατὰ τὴν ἀρχὴν μέν, φησί, τὸ συγκίνημα τοῦ περσικοῦ στρατοῦ ἀνθίστατο καὶ ἀντεμάχετο τοῖς ἀθηναίοις· ἐπεὶ δὲ ἐν στενῷ συνηθροίσθη τὸ πλῆθος τῶν νεῶν (μεταξὺ δὲ σαλαμῖνος καὶ αἰγίνης ἦν τὸ στενὸν) καὶ οὐδαμοῦ τις βοήθεια ἀλλήλοις παρῆν (οὐ γὰρ ἠδύνατο ἕτερος ἑτέρῳ συμμαχῆσαι διὰ τὴν στενότητα τοῦ τόπου) αὐτοὶ δὲ οἱ πέρσαι ὑπ' αὐτῶν ἐτύπτοντο ταῖς συγκρούσεσι καὶ προσαράξεσι τῶν νεῶν, καὶ συνέθλασαν πάντα κωπήρη στόλον, οἱ ἕλληνες δὲ οὐκ ἀβούλως καὶ ἀδιδάκτως κυκλόθεν ἔτυπτον τοὺς πέρσας, ἔπιπτον δὲ αἱ νῆες· θάλασσα δὲ οὐκ ἔτι ἦν ὥστε ἰδεῖν αὐτήν, ἤτοι οὐκ ἐφαίνετο ἡ θάλασσα, γέμουσα τῶν νεκρῶν· οἱ αἰγιαλοὶ δὲ καὶ αἱ θαλάσσιαι πέτραι ἔγεμον τῶν πτωμάτων, πᾶσα δὲ ναῦς περσικὴ ἠρέσσετο καὶ ἐκωπηλατεῖτο ἐν φυγῇ, ἀκόσμως καὶ ἀτάκτως. οἱ γὰρ φεύγοντες οὐκ ἀτάκτως πορεύονται. ¶Παίοντ' ἔθραυον] παράλογον τὸ δυϊκόν. ¶Οὐκ ἀφραδμόνως] οὐχ ἁπλῶς, οὐδὲ ἀδιδάκτως. ¶Σκάφη νεῶν] ἀντὶ τοῦ, αἱ νῆες. ¶Ναυαγίων] ναυαγία αὐτὸ τὸ πάθος, ναυάγιον δέ, αὐτὸ τὸ ναυαγῆσαν σκάφος. ναυαγίων δὲ ἐνταῦθα, τῶν πτωμάτων. ¶Τοὶ δ' ὥστε θύννους] οὗτοι δὲ οἱ ἕλληνες ἔπαιον καὶ ἔκοπτον, ὥσπερ θύννους, ἀγαῖσι κωπῶν (ἤγουν κλάσμασι) θραύσμασίν τ' ἐρειπίων. ¶Ἰχθύων βόλον] ἄγραν. ¶Θραύσμασί τ' ἐρειπίων] ἐρείπια κυρίως τὰ παραπτώματα τῶν οἴκων λέγεται, ἢ τὰ σώματα τὰ θνησιμαῖα τὰ πλοίων ὑποπεσόντα. καταχρηστικῶς δὲ ἐνταῦθα, ἐρείπιά φησι θραύσματα τῶν νεῶν τῶν ἀφανισθεισῶν. ¶Ἕως κελαινῆς νυκτὸς] λείπει τὸ τὴν μάχην, ἵν' ᾖ οὕτως, ἕως τὸ ὄμμα τῆς μελαίνης καὶ σκοτεινῆς νυκτός, ἤτοι αὐτὴ ἡ νὺξ ἐπιγενομένη, ἔπαυσεν αὐτοὺς τῆς μάχης.

κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
εὖ γὰρ τόδ' ἴσθι, μηδ' ἂν ἡμέρᾳ μιᾷ
πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.
ἄτ. Αἰ αἶ, κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα
πέρσαις τε καὶ προπάντι βαρβάρων γένει.
ἄγ. Εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακῶν·
τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.
ἄτ. Καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ
ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.
ἄγ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
ψυχήν τ' ἄριστοι κ' εὐγένειαν ἐκπρεπεῖς,
αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί,
τεθνᾶσιν οἰκτρῶς δυσκλεεστάτῳ μόρῳ.
ἄτ. Οἲ ἐγὼ τάλαινα συμφορᾶς κακῆς φίλοι·
ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι;
ἄγ. Νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων,
βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος

¶Κακῶν δὲ πλῆθος] τὸ πλῆθος δὲ τῶν κακῶν οὐκ ἂν ἐκπλήσαιμί σοι καὶ ἐκπληρώσαιμι, οὐδ' ἂν εἰ δέκα ἡμέρας στοιχηγοροίην, ἤτοι μετὰ σπουδῆς καὶ ἐφεξῆς καὶ κατὰ τάξιν λέγοιμι, στοιχειομυθοίην. ¶Αἰ αἶ] φεῦ φεῦ, μέγα πλῆθος τῶν κακῶν ἐρράγη πέρσαις, καὶ πᾶσι τοῖς βαρβάροις. εὔκαιρος δὲ ἡ τροπὴ ἀπὸ τῶν ἐν θαλάσσῃ κυμάτων. ¶Ὡς τοῖσδε καὶ δὶς] γίνωσκε γὰρ ὅτι ὅσα εἶπον, δὶς τόσα εἰσί. ἃ ὑπέμειναν κακά, ἀντισήκωσιν καὶ ἀντιστάθμησιν δὶς τόσα ἔχουσιν, ἢ ὅσα εἶπον. ¶Ῥοπῇ] τῇ κακῶν δηλονότι. ¶Καὶ τίς γένοιτ' ἂν] καὶ τίς ἂν τύχη γένοιτο ἐχθίων καὶ χείρων ταύτης; λέξον τίν' αὖ λέγεις ταύτην τὴν συμφορὰν ἐλθεῖν ὁρμῶσαν μείζονα τῶν κακῶν. ¶Μάσσονα] μείζονα. ¶Αὐτῷ τ' ἄνακτι] καὶ αὐτῷ τῷ ἄνακτι, ἤτοι βασιλεῖ τῷ Ξέρξῃ. ¶Πίστιν ἐν πρώτοις] εἰς πίστιν ἐν πρώτοις. ἤτοι πιστότατοι αὐτῷ ἦσαν. ¶Νῆσός τις ἐστὶν] τὴν ψυττάλειαν φησίν, ἥτις ἀπέχει τῆς σαλαμῖνος ρε σταδίους, ὅπου φυγόντες οἱ ἡγεμόνες τῶν περσῶν, ὑπὸ τῶν ἀθηναίων ἀπώλοντο. ¶Ἣν ὁ φιλόχορος Πὰν] φιλόχορον τὸν πᾶνα τὸν θεὸν λέγει, τὸν αὐλητήν· ἐμβατεύει δὲ ταύτην τὴν νῆσον τοῦτον φησιν, ἢ ὡς ἱερᾶς πανὸς οὔσης τῆς νήσου, ἢ ὡς ἐρήμου. ἐρήμοις γὰρ τόποις τοῦτο ὁ θεὸς ἐνδιατρίβειν εἴωθε.

Παὶ ἐμβαλεῖ, ποντίας ἀκτῆς ἔπι·
ἐνταῦθα πέμπει τούσδ', ὅπως ὅταν νεῶν
φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο,
κτείνοιεν εὐχείρωτον ἑλλήνων στρατὸν,
φίλους δ' ὑπεκσώζοιεν ἐναλίων πόρων·
κακῶς τὸ μέλλον ἱστορῶν. ὡς γὰρ θεὸς
ναῶν ἔδωκε κῦδος ἕλλησιν μάχης,
αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας
ὅπλοισι, ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
ὅποι τράποιντο. πολλὰ μὲν γὰρ ἐκ χερῶν
πέτρησιν ἠράσσοντο, τοξικῆς δ' ἄπο
θώμιγγος ἰοὶ προσπίπτοντες ὤλλυσαν·
τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
παίουσι, κρεωκοποῦσι δυστήνων μέλη,

¶ Ἐνταῦθα πέμπει τούσδ'] ἐνταῦθα, φησὶ, πρὸς τὴν εἰρημένην νῆσον τὴν ψυτταλίαν, πέμπει τούτους ὁ Ξέρξης, ὅπως ὅταν οἱ ἐχθροὶ τῇ φθορᾷ τῶν νεῶν φθαρέντες πρὸς τὴν νῆσον ἐκσωζοίατο, ἤγουν, μετὰ φθορᾶς καὶ βλάβης ἐκσωθῶσι καὶ ἐξέλθωσι πρὸς τὴν νῆσον, κτείνοιεν καὶ φονεύσωσι ῥαδίως κρατηθέντα τὸν στρατὸν τῶν ἑλλήνων, τοὺς φίλους δὲ πέρσας ὑπεκσώζοιεν ἀπὸ τῶν θαλασσίων πόρων. κακῶς ἱστορῶν, προβλέπων καὶ νοῶν καὶ σκοπῶν τὸ μέλλον. Ἄλλως. ἐκεῖ γὰρ ἔπεμψε τοὺς ἡγεμόνας ὁ Ξέρξης, ἵνα ἐὰν φεύγοντες οἱ ἀθηναῖοι ἔλθωσιν ἐκεῖσε, ἀποκτανθῶσι παρ' αὐτῶν. ἐγένετο δὲ τοὐναντίον. τὸ δὲ ἱστορῶν σημείωσαι ἀντὶ τοῦ προβλέπων. ¶ Ὡς γὰρ] ἐπεὶ γὰρ, φησὶν, ὁ θεὸς ἔδωκε τοῖς ἕλλησι κῦδος καὶ δόξαν νεῶν, ἤτοι ἐν τῇ ναυμαχίᾳ ἐτίμησεν, αὐθημερὸν καὶ ἐν αὐτῇ ἐκείνῃ τῇ ἡμέρᾳ ἐξέθρωσκον καὶ ἐπήδων ἀπὸ τῶν νεῶν, φράξαντες τὸ σῶμα ἑαυτῶν ὅπλοις καλῶς κατεσκευασμένοις· περιεκυκλοῦντο δὲ καὶ συνεῖχον πᾶσαν τὴν νῆσον, ὥστε ἀμηχανεῖν τοὺς πέρσας ποῦ φύγοιεν. ¶ Πολλὰ μὲν γὰρ ἐκ χερῶν πέτρησιν ἠράσσοντο] ἤγουν λίθοις ἐβάλλοντο καὶ συνετρίβοντο λιθοβολούμενοι· ἀπὸ τῆς τοξικῆς τε θώμιγγος ἰοὶ καὶ βέλη προσπίπτοντες ἔλυσαν καὶ ἔφθειραν τοὺς πέρσας. θώμιγξ δέ ἐστιν ὁ λεπτότατος σχοῖνος. μεταφορικῶς δὲ ἐνταῦθα λέγει τὴν νευρὰν τοῦ τόξου. ¶ Τέλος δ' ἐφορμηθέντες] ὕστερον δὲ κινηθέντες ὁμοῦ πάντες οἱ ἕλληνες ἐξ ἑνὸς ῥόθου καὶ ἐκ μιᾶς ῥοπῆς, κρεοκοποῦσι τὰς σάρκας τῶν ἀθλίων περσῶν, ἕως ἐθανάτωσαν ἅπαντας. ὁ Ξέρξης δὲ ἐθρήνησεν, ὁρῶν βάθος κακῶν. ἡ μεταφορὰ ἀπὸ τῶν ὑδάτων. ἕδραν γὰρ εἶχεν καὶ ἐκάθητο ἐν ὑψηλῷ, φησὶ, τόπῳ. καὶ διὰ τοῦτο ἑώρα τὸν στρατὸν ὁ Ξέρξης καὶ τὰ αὐτῷ συμβαίνοντα. ἕδραν γὰρ εἶχε πλησίον τῆς πλαγιζούσης θαλάσσης.

ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
ῥήξας δὲ πέπλους, κἀνακωκύσας λιγὺ,
πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,
ἵησ' ἀκόσμῳ ξὺν φυγῇ. τοιάνδε σοὶ
πρὸς τῇ πάροιθε συμφορὰν πάρα στένειν.
ἀτ. Ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
κλεινῶν Ἀθηνῶν εὗρε, κ' οὐκ ἀπήρκεσαν
οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν,
τοσόνδε πλῆθος πημάτων ἐπέσπασε.
σὺ δ' εἰπὲ ναῶν αἳ πεφεύγασι μόρον,
ποῦ τάσδ' ἔλειπες; οἶσθα σημῆναι τορῶς;
ἀγ. Ναῶν δὲ ταγοὶ τῶν λελειμμένων σύδην
κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγήν·
στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ

Ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ, ὑψηλὸν ὄχθον] ὅθεν ἐδύνατο καλῶς ἄγειν τὸν ὀφθαλμὸν πανταχοῦ, καὶ βλέπειν· ὑψηλὸς γὰρ ἦν. τὸ δὲ εὐαγῆ παντὸς στρατοῦ, ἀντὶ τοῦ καθαρὰν, κεχωρισμένην, εὖ ἔχουσαν δὴ τὴν ἄποψιν, καὶ ἐπιτηροῦσαν τὸν λεὼν ἅπαντα. ἢ αὐγάζοντα καὶ ὁρῶντα. ὑψηλὸν δὲ ὄχθον λέγει τὸ ἀντικρὺ σαλαμῖνος ὄρος τὸν αἰγάλεων, ὥς φησιν Ἡρόδοτος. ¶Ῥήξας δὲ πέπλους] διαρρήξας δὲ τὰ ἱμάτια ἑαυτοῦ, καὶ αἰάξας ὀξὺ καὶ μέγα, ὥρμα σὺν φυγῇ, ἤτοι ἔφευγε ταχέως, ἄφαρ καὶ ἀδεῶς παραγγείλας καὶ συμβουλευσάμενος δηλαδὴ τὸ φεύγειν. ¶Ὦ στυγνὲ δαῖμον] ὦ τύχη ἡ στυγνάζειν καὶ αἰάζειν ποιοῦσα ἡμᾶς, ψευσθῆναι ἐποίησας τῶν φρενῶν τοὺς πέρσας, καὶ ἀποτυχεῖν ὧν ἤλπιζον. ¶Οὓς πρόσθε μαραθὼν] μαραθὼν ὄρος ὅπου πολλοὶ τῶν βαρβάρων ἀπώλοντο, οὓς ὁ Δαρεῖος πολεμῆσαι τοὺς ἀθηναίους ἀπέστειλε, τὸν ἀριθμὸν ὡσεὶ μυριάδας λ. ἐφ' ᾧ Ξέρξης μανεὶς, καὶ τοὺς πέρσας πάντας καὶ τοὺς ἀπὸ τῶν πέριξ πόλεων συναγαγὼν, ταῖς ἀθήναις ἐπιχωρίαζε. ¶Ναῶν δὲ ταγοὶ] οἱ ταγοὶ δὲ καὶ ἡγεμόνες τῶν λελειμμένων νεῶν, σύδην καὶ ὁρμητικῶς αἱροῦνται φυγὴν κατ' οὖρον οὐκ εὔκοσμον· ἤτοι, οὐκ ἐν ἐπιτηδείῳ καιρῷ ἔφυγον. τροπικῶς ἀπὸ τῶν ἐν χειμῶνι πλεόντων, ὅτι πνέουσιν ὀλέθριοι ἄνεμοι. τινὲς δὲ τοῦτο φασὶν οὕτως, ὅτι ἐκεῖσε, φησὶν, ἀπίασιν ὅπου αὐτοὺς ὁ ἄνεμος φέρει.

διώλλυθ᾽, οἱ μὲν ἀμφὶ Κρηναῖον γάνος
δίψῃ πονοῦντες, οἱ δ᾽ ὑπ᾽ ἄσθματος κενοὶ
διεκπερῶμεν ἔς τε Φωκέων χθόνα,
καὶ δωρίδ᾽ αἶαν, μηλιᾶ τε κόλπον, οὗ
σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ·
κἀνθένθεν ἡμᾶς γῆς ἀχαιΐδος πέδον
καὶ θεσσαλῶν πόλισμ᾽ ὑπεσπανισμένους
βορᾶς ἐδέξατ᾽· ἔνθα δὴ πλεῖστοι θάνον
δίψῃ τε λιμῷ τ᾽· ἀμφότερα γὰρ ἦν τάδε.
μαγνητικὴν δὲ γαῖαν, ἔς τε μακεδόνων
χώραν ἀφικόμεσθ᾽, ἐπ᾽ Ἀξίου πόρον,
Βόλβης θ᾽ ἕλειον δόνακα, Παγγαῖόν τ᾽ ὄρος,
ἠδωνίδ᾽ αἶαν· νυκτὶ δ᾽ ἐν ταύτῃ θεὸς
χειμῶν᾽ ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
ῥέεθρον ἁγνοῦ Στρυμόνος. θεοὺς δέ τις
τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ᾽ ηὔχετο
λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
στρατὸς, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·

¶ Οἱ μὲν ἀμφὶ Κρηναῖον γάνος] τῆς Βοιωτίας ἡ κρήνη. οἱ μὲν οὖν, φησὶν, ἐς τὴν Βοιωτῶν χθόνα, τῇ δίψῃ φθειρόμενοι καὶ ἀποθνήσκοντες· οἱ δὲ ἀπολειφθέντες, παρειμένοι, καὶ ἔτι μικρὸν ἀσθμαίνοντες, ἐκπερῶμεν πρὸς τὴν φωκίδα καὶ τὴν δωρίδα γῆν, καὶ τὸν μηλιᾶ κόλπον, ὅπου ῥέει ὁ σπερχειὸς ποταμός. ἔστι γὰρ ἐξ οἰταίων ὀρέων, εἰς τὸν μηλιακὸν ἐμβάλλει κόλπον. ¶ Κἀνθένθεν ἡμᾶς γῆς] ἀπὸ δὲ τῆς γῆς τῶν φωκέων ἐδέξατο ἡμᾶς ἡ γῆ τῶν ἀχαιῶν, καὶ ἡ πόλις τῶν θετταλῶν, ἐνδεεῖς ὄντας καὶ χρήζοντας τροφῆς· ὅπου πολλοὶ ἀπέθανον ἀπό τε δίψης καὶ πείνης· ταῦτα γὰρ ἦν τότε. ¶ Βόλβης θ᾽ ἕλειον] Βόλβη ὄνομα λίμνης θρακικῆς, ἥτις ἑλώδης καὶ τελματώδης οὖσα καὶ καθυγρὸς, δόνακας πολλοὺς ἀναδίδωσι. ¶ Ἁγνοῦ Στρυμόνος] ἁγνοῦ διὰ τὸ καθαρὸν καὶ διειδὲς φυλάττειν τὸ ὕδωρ αὐτοῦ. ἔστι δὲ ποταμὸς θράκης. ¶ Θεοὺς δέ τις τὸ πρὶν νομίζων οὐδαμοῦ] ὅστις δὲ τῶν ἀφρόνων πρὶν οὐκ ἐγίνωσκε τοὺς θεοὺς, τότε προσκυνεῖ τὸν οὐρανὸν καὶ τὴν γῆν μετὰ λιτῶν καὶ παρακλήσεων. ἐπεὶ δὲ πολλὰ παρακαλῶν καὶ γονυπετῶν ὁ στρατὸς ἐπαύσατο, διαπερᾷ τὸν πόρον καὶ τὸν ποταμὸν τὸν κρυστάλλῳ πεπηγότα. λέγει δὲ τὸν στρυμόνα. Ἄλλως. καὶ ὁ πάνυ ἀσεβὴς, τότε προσκυνεῖ τὸν οὐρανὸν καὶ τὴν γῆν.

Χὤστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
Φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος,
μέσον πόρον διῆκε, θερμαίνων φλογί·
πῖπτον δ' ἐπ' ἀλλήλοισιν· εὐτυχὴς δέ τοι
ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.
Ὅσοι δὲ λοιποὶ, κἄτυχον σωτηρίας,
Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ,
ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
Ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
κακῶν, ἃ πέρσαις ἐγκατέσκηψεν θεός.
Χο. Ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
ποδοῖν ἐνήλου παντὶ περσικῷ γένει.
Ἀτ. Οἲ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.

¶Χὤστις μὲν] ὅστις μὲν ὡρμήθη καὶ ὥρμησε περάσαι τὸν πεπηγότα ποταμὸν, πρὶν σκεδασθῆναι πανταχοῦ τὰς ἀκτῖνας τοῦ ἡλίου, ἤγουν πρὸ τοῦ τὸν ἥλιον διαπῖλαι καὶ τὸ πεπηγὸς θερμᾶναι, κυρεῖ καὶ ὑπάρχει σεσωσμένος. ἀντὶ τοῦ, ἐσώθη. κυρίως δὲ σκεδασθῆναι, τὸ ἀφανισθῆναι καὶ παυθῆναι ἐστί. ¶Φλέγων γὰρ αὐγαῖς] ὁ γὰρ λαμπρὸς κύκλος τοῦ ἡλίου, περιφραστικῶς ὁ ἥλιος, φλέγων καὶ λάμπων ἐν αὐγαῖς καὶ ταῖς οἰκείαις ἀκτῖσι, διῆκε τὸν ποταμὸν μέσον, ἤγουν διῆλθε καὶ ῥεῦσαι καὶ λυθῆναι τὸ πεπηγὸς ἐποίησε, θερμαίνων ἐκεῖνον. ἔπιπτον δὲ καὶ ἀπεπνίγοντο ἐν τῷ ποταμῷ συνεχῶς. εὐτυχὴς δὲ ἦν ὅστις ταχιώτερον τῶν ἄλλων ἀπέθανεν. ¶Ὅσοι δὲ λοιποὶ, κἄτυχον] ὅσοι δὲ ἐπίλοιποι, καὶ ὅσοι ἔτυχον σωτηρίας (ἤτοι ἐκ ἐπέζησαν) τὴν θράκην διελθόντες, μόλις ἥκουσιν ἐπὶ τὴν πατρίδα γῆν, τὴν ἑστιοῦχον καὶ ἔχουσαν αὐτῶν τὴν ἑστίαν· ὥστε στένειν μετὰ τοσαῦτα κακὰ τὴν πόλιν αὐτῶν, τὴν τοὺς αὐτῆς φιλοῦσαν πολίτας, οὓς ἀνεθρέψατο. πρὸς δὲ τὸ, ὥστε στενάζειν, ἐπὶ τῆς πόλεως ἀποδίδωσι, καί φασιν, ἥκουσιν οὗτοι πρὸς τὴν αὐτῶν πατρίδα, ὥστε τὴν πόλιν τούτους στενάζειν. ¶Ταῦτ' ἔστ' ἀληθῆ] ταῦτα ὅσα εἶπον, ἀληθῆ· πολλὰ δὲ καὶ ἄλλα παρίημι τῶν κακῶν ἃ ὁ θεὸς ἐπελθὼν ἐποίησε τοῖς πέρσαις. ¶Ὦ δυσπόνητε] ὦ δαῖμον δυσπόνητε, καὶ χαλεποὺς πόνους ἡμῖν ἐμποιήσας, ὡς λίαν βαρὺς ἐνήλου καὶ ἐπήδησας πᾶσι τοῖς πέρσαις. ἤγουν, ὦ χαλεπὴ τύχη, ὡς ἄγαν βαρεῖα ἐπῆλθες τοῖς πέρσαις. ¶Οἲ ἐγὼ τάλαινα] φεῦ ἐγὼ ἡ ἀθλία ἕνεκεν τοῦ ἀπολομένου καὶ ἀφανισθέντος στρατοῦ.

ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
ὅμως δ' ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις
ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν·
ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις,
πιστοῖς γε πιστὰ ξυμφέρειν βουλεύματα·
καὶ παῖδ', ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ,
παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους,
μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν·
χο. Ἀλλ' ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν
τῶν μεγαλαύχων καὶ πολυάνδρων στρατιὰν ὀλέσας,
ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων
πένθει γνοφερῷ κατέκρυψας·
πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι, διαμυδαλέοις
δάκρυσι κόλποις τέγγουσ', ἄλγους μετέχουσαι.

¶Ὑμεῖς δὲ φαύλως] πρὸς τὸν χορὸν ἡ Ἄτοσσα φησίν, ὑμεῖς δὲ οὐκ ἀληθῶς αὐτὰ τὰ ὀνείρατα ἐκρίνατε. ὀνείρατα δὲ φησὶν ἃ εἴρηκεν ἐν τῇ ἀρχῇ, λέγουσα, πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι. καί, Ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν Φοίβου. ¶Ὅμως δ' ἐπειδὴ] ὅμως ἐπειδὴ ἡ ὑμετέρα φάτις καὶ κρίσις οὕτως ἐκύρωσε, δηλαδὴ κελεύσασά μοι εὔξασθαι θεοῖς, θέλω τοῦτο ποιῆσαι πρῶτον, ἔπειτα ἥξω λαβοῦσα ἀπὸ τῶν ἐμῶν οἴκων δωρήματα τῇ γῇ τε καὶ νεκροῖς, πέλανον. πέλανος δέ ἐστιν ὁ ἐζυμωμένος ἢ πεπηγὼς πλακοῦς. Ἄλλως. πέλανον, πεπεμμένον πλακοῦντα. ¶Ἐπίσταμαι μὲν] οἶδα μέν, φησίν, ἐγώ, ὅτι ἐπὶ ἐξειργασμένοις καὶ ἤδη φθάσασι γενέσθαι πράγμασι, καὶ φόνοις τῶν Περσῶν, μέλλω θύειν αὐτά (τὸ κακὸν γὰρ ἤδη ἐγένετο) ἀλλ' ὅμως κἂν ἐπὶ τοῖς ζῶσιν ἀνδράσιν εὔξομαι, ὅπως τὸ μέλλον καλῶς ἀποβαίνῃ. ¶Ἀλλ' ἐς τὸ λοιπὸν] ἤγουν διὰ τοὺς ζῶντας χρὴ θυσίας ποιεῖν, εἴπου τινὲς εἶεν ζωοί, ἤτοι ζῶντες. ¶Πιστοῖς γε πιστὰ] συνεισφέρειν πιστὰς βουλὰς ἡμῖν πιστοῖς οὖσιν εἰς ὑμᾶς. εἰ δὲ γράφεται πιστούς, λέγει, ὑμᾶς δὲ χρὴ πιστοὺς ὄντας πιστὰ βουλεύεσθαι. ¶Πολλαὶ δ' ἁπαλαῖς] πολλαὶ δὲ γυναῖκες κατερειπόμεναι καὶ σχίζουσαι τὰς καλύπτρας καὶ τοὺς ἰδίους χιτῶνας, τέγγουσι καὶ βρέχουσι τοὺς κόλπους ἐν δάκρυσι μυδαλέοις καὶ δυσχέσι, θλιβόμεναι. οὕτως δὲ ἔμελλεν εἰπεῖν, ὅτι πολλαὶ νέαι γυναῖκες καὶ ἁπαλόχροοι νυμ-

φαι τε νῦν ἐπ' ἀνδράσι συζυχθεῖσαι, ποιοῦσι τάδε τε τάδε. εἰπὼν δέ, ἁπαλαῖς χερσί, τὸ ὅλον ἀπὸ μέρους ἐδήλωσε συνεκδοχικῶς.

αἱ δ' ἁβρογόοι Περσίδες, ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
λέκτρων τ' εὐνὰς ἁβροχίτωνας,
χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορεστοτάτοις·
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
αἴρω δοκίμως πολυπενθῆ.
νῦν γὰρ δὴ πρόπασα μὲν στένει
γαῖ' Ἀσίας ἐκκενουμένα. Ξέρξης μὲν γὰρ ἤγαγεν ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν τοτοῖ,
Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως
βαρίδεσσι ποντίαις. τί ποτε Δαρεῖος μὲν οὕ-
τω τότ' ἀβλαβὴς ἐπῆν τόξαρχος πολιήταις,
Σουσίδος φίλος ἄκτωρ; πεζούς τε γὰρ καὶ θαλασσίους
αἱ δ' ὁμόπτεροι κυανώπιδες νᾶες μὲν ἄγαγον ποποῖ,

¶ Αἱ δ' ἁβρογόοι Περσίδες] καὶ αἱ τοῖς γόοις θρυπτόμεναι, ποθοῦσαι ἰδεῖν τὴν ἀρτισυζυγίαν, ἤτοι τὴν πρὸ μικροῦ γενομένην αὐταῖς σύζευξιν καὶ συνάφειαν μετὰ τῶν ἀνδρῶν. ἢ ἀρτιζυγίαν, τὴν νεοζυγίαν τῶν ἀνδρῶν· καὶ ἀφεῖσαι καὶ καταλείψασαι τὰς ἐν τοῖς λέκτροις εὐνὰς τὰς ἁβροχίτωνας, τὴν τέρψιν καὶ ἡδονὴν τῆς αὐτῶν τρυφερᾶς καὶ διακεχυμένης ἡλικίας, πενθοῦσιν ἐν θρήνοις ἀπληρώτοις καὶ ἀκαταπαύστοις. Ἄλλως. ἁβρογόοι, αἱ ἐντρυφῶσαι τοῖς δάκρυσι. ¶ Κἀγὼ δὲ μόρον] κἀγὼ δὲ διὰ μόρον τῶν οἰχομένων αἴρω τε κινῶ πολυπενθῆ δηλονότι γόον. λείπει δὲ τοῦτο. Ἄλλως. αἴρω, βαστάζω. ¶ Ἐκκενουμένα] τῶν ἀνδρῶν. ¶ Ἤγαγε ποποῖ] ποποῖ καὶ τοτοῖ, ἐπιρρήματα σχετλιαστικά, ἢ δηλοῦντα τὸ ποῦ καὶ τὸ ἐκεῖσε. εἰ μὲν οὖν ἀναγνώσῃ πόποι, εἴπῃς ἀντὶ τοῦ φεῦ· εἰ δὲ ποποῖ, ἀντὶ τοῦ ἀορίστως, καὶ ἐκεῖσε, ἐν ταῖς Ἀθήναις δηλαδή. ὁμοίως δὲ καὶ εἰ μὲν τότοι, ἀντὶ τοῦ φεῦ· εἰ δὲ τοτοῖ, ὡς εἴπομεν. Ἄλλως. ποποῖ, εἰς τὸν πόλεμον. ¶ Ξέρξης δ' ἀπώλεσεν] ὁ Ξέρξης δὲ πάντα τὰ κακὰ δηλονότι ἐπέσπε καὶ ἐπεσπάσατο ταῖς βαρίδεσσι ναυσί, ταῖς ἀπὸ τοῦ βάρεως οὔσαις (ἥτις ἐστὶ πόλις Περσίδος, ἐξ ἧς τε αἱ νῆες βαρίδες) πάσας γὰρ κατέθραυσεν ἐκεῖσε. ὁ γοῦν πατὴρ αὐτοῦ Δαρεῖος ἀβλαβὴς ἦν τόξαρχος καὶ ἡγεμὼν μὴ βλάβην ἐπενεγκὼν τῷ αὐτοῦ στρατεύματι, ὁ φίλος ἄκτωρ καὶ βασιλεὺς τῆς Σουσίδος. ¶ Πεζούς τε γὰρ] πεζούς τε γὰρ τε θαλασσίους αἱ κυανώπιδες νῆες τε αἱ μέλαιναι, αἱ ὁμόπτεροι, καὶ τοῖς αὐτοῖς πτεροῖς κουφιζόμεναι, ἢ αἱ ὁμοίως πτεροῖς θέουσαι, ἤγαγον ποποῖ, ἤγουν εἰς τὴν Ἑλλάδα, καὶ αὐτοὺς ἀπώλεσαν ἐκεῖ.

οἱ.

νᾶες δ' ἀπώλεσαν τοτοῖ,
νᾶες πανωλεθρίοισιν ἐμβολαῖς.
Διὰ δ' ἰαόνων χέρας τυτθὰ δ' ἐκφυγεῖν ἄνα-
κτ' αὐτὸν ὡς ἀκούομεν Θρήκης ἀμπεδιήρεις
δυσχειμέρους τε κελεύθους. τοὶ δ' ἄρα πρωτόμοροι (φεῦ)
ληφθέντες πρὸς ἀνάγκην, (ἠὲ)
ἀκτὰς ἀμφὶ κυχρείας. ὀὰ,
στένε καὶ δακνάζου, βαρὺ δ' ἀμβόασον
οὐράνι' ἄχη. ὀά. τεῖνε δὲ δυσβαΰκτον
βοᾶτιν τάλαιναν αὐδάν.
γναμπτόμενοι δ' ἁλὶ δεινᾷ, (φεῦ)
σκύλλονται πρὸς ἀναύδων (ἠὲ) παίδων τᾶς ἀμιάντου. ὀά.
πενθεῖ δ' ἄνδρα δόμος στερηθείς.
τοκῆες δ' ἄπαιδες ἔρρανται ἐν δάκρεσι,
δαιμόνι' ἄχη (ὀά) ὀδυρόμενοι γέροντες.
τὸ πᾶν δὴ κλύουσιν ἄλγος. τοὶ δ' ἀνὰ γᾶν ἀσίαν δὴν
οὐκ ἔτι περσονομοῦνται, οὐκ ἔτι δασμοφοροῦσι

¶Διὰ δ' ἰαόνων χέρας τυτθὰ δ' ἐκφυγεῖν ἄνακτ' αὐτὸν ὡς ἀκούομεν] περιττοὶ οἱ δύο δὲ σύνδεσμοι, καὶ τὸ ὡς. τὸ δὲ ἑξῆς δηλοῖ οὕτως, μόλις καὶ μικρὸν (τοῦτο γὰρ δηλοῖ τὸ τυτθὰ) ἀκούομεν αὐτὸν τὸν ἄνακτα καὶ τὸν βασιλέα διεκφυγεῖν τὰς χέρας τῶν ἰαόνων καὶ τῶν ἀθηναίων, ἀνὰ τὰς πεδιήρεις κελεύθους καὶ ὁδοὺς τῆς θράκης τὰς δυσχειμέρους. οὗτοι δὲ, ἤγουν οἱ πέρσαι, ἄρα πρωτόμοροι, πρῶτοι ληφθέντες πρὸς ἀνάγκην τοῦ μόρου καὶ τοῦ θανάτου δηλαδὴ, περὶ τὰς κυχρείας ἀκτὰς, ἤγουν τὰς ἀττικὰς, ἢ τὰς τῆς σαλαμῖνος. ἢ τὸ λειφθέντες, διὰ διφθόγγου, ἀντὶ τοῦ ἀπομείναντες, καὶ κείμενοι τεθνεῶτες περὶ τὰς ἀκτὰς τῆς κυχρείας καὶ τῆς σαλαμῖνος, διὰ τὴν ἀνάγκην τοῦ θανάτου. τὸ δὲ ἠὲ, καὶ τὸ ἐᾶ, ἀντὶ τοῦ φεῦ. Ἄλλως. τοὶ δ' ἄρα πρωτόμοροι. περὶ τῶν τεθνηκότων ἐν σαλαμῖνι. ἤτοι οἱ πρῶτοι ἀποθανόντες· τὸ δὲ ἑξῆς τούτου, ἐστὶ, σκύλλονται παρ' ἀναύδων. ¶Πρὸς ἀνάγκαν] τὴν τοῦ θανάτου. Ὅμηρος, - κατὰ μοῖρ' ἐπέδησε. ¶Ὀᾶ, στένε καὶ δακνάζου] πρὸς ἑαυτὸν τοῦτο λέγει ὁ χορὸς, στέναζε, καὶ δακνάζου, (παραγώγως ἀντὶ τοῦ δάκνου) βαρὺ δ' ἀμβόασον οὐράνι' ἄχη, ἀντὶ τοῦ ὀξέως κάπυσον οὐράνια, ἤγουν μέχρι τοῦ οὐρανοῦ διηκέτω τὸ βόημα ἐπὶ τὰ νῦν καταλαβόντα ἡμᾶς ἄχη. ¶Τεῖνε δὲ δυσβαΰκτον] τεῖνε δὲ αὐδὰν καὶ φωνὴν, τάλαιναν καὶ ταπεινὴν, δυσβαΰκτον καὶ θρηνητικὴν, βοᾶτιν καὶ βοητικήν. ¶Γναμπτόμενοι δ' ἁλὶ] γναμπτόμενοι δὲ καὶ συμπελεβόμενοι οἱ πέρσαι τῇ δεινῇ θαλάσσῃ, σκύλλονται καὶ σύρονται καὶ ἐσθίονται πρὸς τῶν ἀναύδων καὶ ἀφώνων παίδων τῆς ἀμιάντου δηλαδὴ θαλάσσης. οὐ γὰρ μιαίνεται πώποτε, καὶ πολλῶν μολυσμάτων ἐπιχυθέντων αὐτῇ. ἀναύδων δὲ παίδων τῆς θαλάσσης, τῶν ἰχθύων λέγει. ¶Τοκῆες δ' ἄπαιδες] οἱ τοκῆες δὲ καὶ οἱ γονεῖς οἱ γέροντες

ἔῤῥανται καὶ βρέχονται τοῖς δάκρυσιν, ὀδυρόμενοι τὰ ἐκ τοῦ δαίμονος καὶ τῆς τύχης αὐτοῖς ἐπελθόντα ἄχη, τὸ πᾶν δὴ κλύουσι καὶ μανθάνουσιν ἄχος. οἱ δὲ οὐκ ἔτι προσκυνοῦνται, καὶ κατὰ τοὺς περσῶν νόμους πολιτεύονται, καὶ ὑπὸ τῶν περσῶν ἄρχονται καὶ δασμοφορεῖν καὶ τοῖς πλέοσι προσέχονται, ἃ ἔθος ἦν αὐτοῖς διδόναι τοῖς ἄρχουσιν. ἐφθάρησαν γάρ.

δεσποσύνοισιν ἀνάγκαις, οὔτ' ἐς γᾶν προσπίτνοντες

ἄρξονται. βασιλεία γὰρ διόλωλεν ἰσχύς.

οὐδ' ἔτι γλῶσσα βροτοῖσιν

ἐν φυλακαῖς· λέλυται γὰρ λαὸς ἐλεύθερα βάζειν,

ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.

αἱμαχθεῖσα δ' ἄρουρα Αἴαντος περικλύστα

νᾶσος ἔχει τὰ περσῶν.

ἀντ. Φίλοι, κακῶν μὲν ὅστις ἔμπορος κυρεῖ,

ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων

κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·

ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι

τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης.

ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα

¶Οὔτ' ἐς γᾶν] οὔτε εἰς τὴν γῆν προσπίπτοντες, ἤγουν προσκυνοῦντες τὸν βασιλέα, ἄρξονται καὶ ὑποκλιθήσονται. ἡ γὰρ βασιλικὴ ἰσχὺς ὤλετο. ¶Βασίλεια γάρ] τὰ τοιαῦτα πάντα κτητικὰ μακρὸν ἔχει τὸ α. ¶Οὐδ' ἔτι γλῶσσα] οὐδ' ἔτι ἡ τῶν περσῶν γλῶσσα ἐν φυλακαῖς· ἠλευθέρωται γὰρ αὐτοῖς ἡ γλῶσσα πρὸς τὸ κακηγορεῖν βασιλέα. οὐδένα γὰρ νῦν δεδίασιν οἱ ὑπήκοοι· ὅτι λαὸς ἐλύθη ὑπὸ τῆς αὐτοῦ δυνάμεως τὸν ζυγὸν ὑφ' οὗ συνείχετο τὰ πλεῖστα καὶ ὑπεκλίνετο. ἢ, ἔλυσε τὸν ζυγὸν τῆς ἀλκῆς, ἤτοι τῆς βασιλικῆς δυνάμεως. ἡ γὰρ βασιλικὴ διόλωλεν ἰσχὺς, τῶν ἡγεμόνων καὶ τῶν ἀρχόντων δηλαδή. Ἄλλως. ζυγὸν ἰσχύος, ἡ ἀλκή. ¶Αἱμαχθεῖσα] ἡ ἄρουρα καὶ ἡ γῆ καὶ ἡ χώρα τοῦ Αἴαντος ἡ περικλύστα καὶ περικλυζομένη τῇ θαλάσσῃ δηλαδὴ νῆσος, ἤγουν ἡ σαλαμὶν, ἔχει τὰ σώματα τῶν περσῶν. ¶Φίλοι, κακῶν] ὦ φίλοι, ὅστις κυρεῖ καὶ ὑπάρχει ἔμπορος τῶν κακῶν, ἤγουν ἐμπλέων τοῖς κακοῖς, γινώσκει ὅτι ὅταν ἐπέλθῃ κλύδων καὶ ζάλη τῶν κακῶν τοῖς ἀνθρώποις, φιλεῖ καὶ ἔθος ἔχει φοβεῖσθαι εἰς πάντα, ἤγουν καὶ εἰς τὰ μετὰ ταῦτα· ὅταν δὲ ὁ δαίμων καὶ τύχη εὐροῇ, καὶ καλῶς καὶ εὐτυχῶς ῥέῃ καὶ ἐπέρχηται, ἔθος ἔχει, ἀπὸ κοινοῦ πάλιν, θαῤῥεῖν τὴν αὐτὴν εὐτυχίαν οὐριοδρομεῖν καὶ εἰς τὸ μετέπειτα. Ἄλλως. κακῶν μὲν ὅστις, καὶ τὰ ἑξῆς. ὁ νοῦς, ὅτι ἔθος ἔχουσιν οἱ δυστυχοῦντες δυστυχίαν φαντάζεσθαι, οἱ δὲ εὐτυχοῦντες, εὐτυχίαν. ¶Δαίμον' οὐριεῖν τύχης] πρὸς τὸ Ὁμηρικὸν, Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε. ¶Ἐμοὶ γὰρ ἤδη] ἐμοὶ, φησὶ, φόβου γέμοντα τὰ πάντα φαίνεται ἐν τοῖς ἐμοῖς ὄμμασιν ἀνταῖα καὶ ἐμφανῆ καὶ ἀντία, ἃ δὴ καὶ κατὰ πρόσωπον, ἀπὸ θεῶν δηλονότι εἰς τὰ πλεῖα σίζοντες, ὡς ἐξ ἀρχῆς τοῦτο συντάσσουσιν.

τἀνταῖα λέγοντες, ὅτι ἐν τοῖς ὄμμασι τὰ τῶν θεῶν ἐναντία φαίνεται. τουτέστιν, ἀντικειμένους ἡμῖν ὁρῶ τοὺς θεούς.

ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν·
βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος.
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
τοιγὰρ κέλευθον τήνδ' ἄνευ ὀχημάτων,
χλιδῆς τε τῆς πάροιθεν, ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια·
βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα·
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα.
ἀλλ' ὦ φίλοι χοαῖσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ' ἐγὼ

¶ Οὐ παιώνιος] ἀλλὰ φθαρτικός. ¶ Βοός τ' ἀφ' ἁγνῆς] ἁγνὴν τὴν βοῦν καλεῖ, ἢ διὰ τὸ ταῖς θεαῖς ἀεὶ ταῖς βοῦς θύεσθαι· ἢ διὰ τὸ ταύτην εἶναι λευκήν· τὰ γὰρ λευκά, καὶ καθαρὰ καὶ φαιδρὰ καὶ ἀρρύπωτα· ἢ διὰ τὸ ἀγελαίαν εἶναι· τὰ γὰρ ἐν τοῖς ὄρεσι διαβιβοῦντα, καθαρώτερα καὶ ὑγιεινότερα τῶν ἄλλων. ἢ ἁγνῆς, τῆς ἀσινοῦς, τῆς μηδέ τινα βλάβην ἐχούσης, καὶ ποδὸς ἢ στερηθείσης ἢ ὀφθαλμοῦ. ¶ Παμφαὲς] φαιδρόν. ¶ Παρθένου πηγῆς μέτα] καθαρᾶς· ἀντὶ τοῦ, σὺν ὕδατι κρηναίῳ. σημείωσαι δὲ τὸ εἶδος τῶν χοῶν. ¶ Ἀκήρατόν τε ποτὸν] γάνος τόδε ἀπὸ τῆς μητρὸς τῆς παλαιᾶς ἀμπέλου. ἀκήρατον ποτὸν τὸν οἶνον λέγει, τὸν ἔχοντα μητέρα τὴν ἄμπελον. ἀγρείας δέ, τῆς ἀγριοποιοῦ, διὰ τὴν μέθην· ἤγουν τῆς ἀγρίους ποιούσης τοὺς μεθύοντας. ἢ, τῆς ἐν τῷ ἀγρῷ οὔσης. καὶ γὰρ ἐν τοῖς ἀγροῖς αἱ ἄμπελοι. ¶ Ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα.] πάρεστι γοῦν ταῖς ἐμαῖς χερσὶ καὶ καρπὸς ἐλαίας ξανθῆς τῆς αἰὲν θαλλούσης τοῖς φύλλοις. ἀειθαλὴς γάρ, καὶ ἀεὶ τὰ φύλλα ἔχει. διὸ προσέθηκεν, ἐν φύλλοισι θαλλούσης, πρὸς τὸν καρπόν. οὐ γὰρ διηνεκὴς ὁ καρπός. ξανθῆς δέ, διὰ τὸ τὸ ὄπισθεν μέρος τοῦ φύλλου ὡς προσαστίζον ἐμφαίνεσθαι. ¶ Ἄνθη τε πλεκτὰ] στέμματα. ¶ Τόν τε δαίμονα] ὡς θεὸς γὰρ παρὰ Πέρσαις τιμᾶται.

τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.
Χο. Βασίλεια γύναι, πρέσβος πέρσαις
σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς·
ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα
φθιμένων πομποὺς εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλὰ χθόνιοι δαίμονες ἁγνοὶ
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,
πέμψατ' ἔνερθεν ψυχὴν ἐς φάος·
εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.
ἦ ῥ' ἀΐει μου μακαρί- τας ἰσοδαίμων βασιλεὺς
βάρβαρα σαφηνῆ ἱέντος τὰ παναίολ'
αἰανῆ δύσθροα βάγματα;
παντάλαν' ἄχη διαβοάσω. νέρθεν ἆρα κλύει μου;
ἀλλὰ σύ μοι γᾶ τε καὶ ἄλλοι
χθονίων ἁγεμόνες δαίμονα μεγαλαυχῆ
ἰόντ' αἰνέσατ' ἐκ δόμων, περσᾶν σουσιγενῆ θεόν·
πέμπετε δ' ἄνω οἷον οὔπω περσὶς αἶ' ἐκάλυψεν.

¶Πρέσβος πέρσαις] τιμία. ¶Σύ τε πέμπε] ὁ χορός φησι πρὸς τὴν Ἄτοσσαν, ὅτι σὺ θυσίαζε τοῖς καταχθονίοις θεοῖς· ἡμεῖς δὲ αἰτησόμεθα ἐν ὕμνοις τοὺς πομποὺς τῶν φθιμένων, ἤγουν τοὺς θεοὺς τοὺς κάτω, τοὺς πέμποντας ἄνω τοὺς νεκροὺς, εἶναι κάτω τῆς γῆς πραεῖς πρὸς τὸν Δαρεῖον, ὥστε συγχωρῆσαι αὐτὸν πρὸς ἡμᾶς ἐλθεῖν. ¶Ἀλλὰ χθόνιοι δαίμονες] ἀλλ' ὦ χθόνιοι θεοὶ, Γῆ τε καὶ Ἑρμῆ καὶ ὦ Πλούτων, βασιλεῦ τῶν νεκρῶν, πέμψατε ἐς φῶς, ἤγουν ἐνταῦθα πρὸς ἡμᾶς ἀπὸ τῶν κάτω, τὴν ψυχὴν τοῦ Δαρείου. εἰ γάρ τι ἄκος τῶν ἡμετέρων κακῶν πλέον καὶ ἐπέκεινα οἶδεν, ἤγουν γνῶσον τὰ ἡμῶν κακὰ, μόνος ἂν τοῦτο ἀπὸ τῶν ἀνθρώπων εἴποι τὸ πέρας, καὶ πῶς αὐτὰ τὸ πότε καὶ τίνι τρόπῳ ἐκφύγωμεν. ¶Ἦ ῥ' ἀΐει μου μακαρίτας] ἆρα ἀκούει μου ὁ μακαρίτης θεὸς Δαρεῖος ὁ ἰσόθεος βασιλεὺς, ἱέντος καὶ πέμποντος τὰ βάρβαρα λόγια σαφηνῆ καὶ σαφῆ· οὐ γὰρ δυνατόν ἐστι ταῦτα φημι τὰ ποικίλα βάγματα καὶ φωνήματα, τὰ αἰανῆ, καὶ σκοτεινά, καὶ θλῖψιν καὶ ἄχλυν ἐμποιοῦντα τοῖς κλαίουσιν. Ἰστέον δὲ ὅτι μακαρίτης ὁ τεθνεὼς, μακάριος ὁ ζῶν. ¶Ἀλλὰ σύ μοι γᾶ τε] ἀλλὰ σύ μοι ὦ γῆ, καὶ ἄλλοι ἡγεμόνες τῶν χθονίων καὶ τῶν νεκρῶν, τὸν μεγαλαυχῆ δαίμονα Δαρεῖον ἐρχόμενον ἐκ τῶν τοῦ ᾅδου δόμων, αἰνέσατε, ἤγουν συναινέσατε, καὶ συναρέξατε αὐτῷ τοῦ ποιῆσαι τοῦτο. τὸν καταχθόνιον οὖν Δαρεῖον αἰνέσατε ἐξ ᾅδου δόμων μολεῖν. τὸν σουσιγενῆ θεὸν τῶν περσῶν, ἤγουν τὸν Δαρεῖον.

ἦ φίλος ἀνήρ, ἦ φίλος ὄχθος·
φίλα γὰρ κέκευθεν ἤθη.
Ἀϊδωνεὺς δ' ἀναπομπὸς
ἀνίει Δαρεῖον, οἷον ἄνακτα Δαρειάν. ἠέ.
οὔτε γὰρ ἄνδρας πότ' ἀπώλλυ
πολεμοφθόροισιν ἄταις,
θεομήστωρ δ' ἐκικλήσκετο Πέρσαις, θεομήστωρ δ' ἔσκεν·
ἐπεὶ στρατὸν εὖ ἐποδώκει, ἠέ.
βαλλὴν ἀρχαῖος βαλλήν
ἴθι, ἱκοῦ, ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου, κροκόβαπτον
ποδὸς εὔμαριν ἀείρων,
βασιλείου τιάρας φάλαρον πιφαύσκων.
βάσκε πάτερ ἄκακε Δαρειάν, οἶ,
ὅπως καινά τε κλύῃς νέα τ' ἄχη·
δέσποτα δεσπότου φάνηθι. Στυγία γάρ
τις ἐπ' ἀχλὺς πεπόταται.

¶Ἦ φίλος ἀνήρ] ὄντως φίλος ἦν ἀνὴρ ἐμοὶ ὁ Δαρεῖος, ὄντως φίλος καὶ ὁ τάφος ὃς κρύπτει τὰ φίλα ἤθη, τουτέστι τοὺς θεοφιλεῖς τρόπους ἐμοὶ τοῦ Δαρείου. ὄχθον γὰρ τὸν τάφον καλεῖ, διὰ τὸν ἀναχωματισμόν. ¶Ἀϊδωνεὺς δ' ἀνίει Δαρεῖον, οἷον ἄνακτα Δαρειάν] ὁ Ἀϊδωνεὺς δὲ ὁ ἀναπομπὸς τῶν νεκρῶν ἀνίει, καὶ ἀναπέμψαι, καὶ ἀναδώσει τῆς γῆς τὸν Δαρεῖον βασιλέα, οἷον τὸν καὶ Δαρειὰν κεκλημένον. ἢ τὴν Δαρείαν ψυχὴν ἀναπέμψαι ὁ ᾅδης. τοῦτο ἔξωθεν. Ἄλλως. τὸν μόνον γενόμενον βασιλέα, διὰ τὸ κηδεμονικόν. ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι. ¶Θεομήστωρ δ' ἐκικλήσκετο] θεομήστωρ τε καὶ τὰ θεῖα βουλευόμενος ἐκαλεῖτο τοῖς Πέρσαις· οὐ μόνον τε ἐκαλεῖτο τοῦτο, ἀλλὰ καὶ θεομήστωρ ὑπῆρχεν, ἐπειδὴ καὶ καλῶς ἐποδώκει καὶ ἴθυνε καὶ ὑπὸ τὸν ἑαυτοῦ πόδα εἶχε τὸν στρατόν. ¶Βαλλὴν ἀρχαῖος] βαλλὴν ὁ βασιλεὺς λέγεται. Εὐφορίων δέ φησι Θουρίων εἶναι τὴν διάλεκτον. ὅθεν καὶ Βαλλήναιον ὄρος, ὅ ἐστι βασιλικόν. φησὶν οὖν, ὦ ἀρχαῖε βασιλεῦ ἴκου καὶ παραγενοῦ καὶ ἐλθὲ ἐπ' ἄκρον κόρυμβον ὄχθου, ἐπὶ τὴν ἄκραν ἐξοχὴν καὶ τελευτὴν τοῦ τάφου, ἀείρων καὶ ἐπαίρων καὶ κινῶν τὴν εὔμαριν, καὶ τὸ ὑπόδημα τοῦ ποδός, κροκόβαπτον καὶ ἐρυθροῦν (ἔστι δὲ τοῦτο περίφρασις) πιφαύσκων καὶ δεικνύων καὶ ἀναφαίνων τὸ φάλαρον καὶ τὸν λόφον τῆς βασιλικῆς τιάρας καὶ περικεφαλαίας. περιφραστικῶς δὲ τὸ στέμμα φησί. ¶Βάσκε πάτερ] βάσκε καὶ προβῆθι ὦ Δαρεῖε δέσποτα, ὅπως κλύῃς καὶ ἀκούσῃς καὶ μάθῃς καινά τε ἀλλόκοτα καὶ νέα ἄχη τοῦ Ξέρξου. ὡς ἐπῳδὴ (ἡ δὲ κλῆσις) τὸ βάσκε πάτερ Δαρειάν. ¶Στυγία γάρ τις] ἐπιπεπότηται γὰρ καὶ ἐξήπλωται στυγερὰ καὶ μισητή τις ἀχλὺς καὶ θλῖψις. πᾶσα γὰρ νεολαία καὶ ἡ τῶν Περσῶν ἡλικία καὶ νεότης ἐξαπόλωλε καὶ παρῴχετο.

νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ἀπόλωλε.
βάσκε πάτερ ἄκακε Δαριάν. οἲ, αἲ αἲ αἲ αἴ.
ὦ πολύκλαυτε φίλοισι θανών.
τί τάδε δυνάτα δυνάτα
περὶ τᾷ σᾷ δίδυμα
διάγοιεν ἁμάρτια
πάσᾳ γᾷ σᾷ τᾷδε,
ἐξέφθινθ' αἱ τρίσκαλμοι
νᾶες ἄναες ἄναες.
Δα. Ὦ πιστὰ πιστῶν, ἥλικές θ' ἥβης ἐμῆς
πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον;
στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
ταρβῶ, χοὰς δὲ πρευμενὴς ἐδεξάμην.
ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου,
καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις,
οἰκτρῶς καλεῖσθέ μ', ἐστὶ δ' οὐκ εὐέξοδον.

¶Τί τάδε δυνάτα δυνάτα] τί ὦ δυνάστα τάδε δίδυμα καὶ διπλᾶ ἁμάρτια καὶ ἁμαρτήματα διάγοιεν καὶ διάγουσι περὶ τῇ σῇ γῇ τῇδε; δίδυμα δὲ, ἢ διὰ τὸ ἐπὶ Δαρείου μὲν τριάκοντα φονευθῆναι χιλιάδας, νῦν δὲ ἐπὶ τοῦ Ξέρξου μυριάδας· ἢ, ὅτι Ξέρξου καὶ πέρσου πρὸς εἰσὶν ἁμαρτίαι καὶ ἀτυχίαι ἡρμοσμέναι ὁμοῦ· ἢ τὰ δίδυμα, τὰ ἐν πλαταιαῖς γεγενημένα κακὰ καὶ τὰ ἐν σαλαμῖνι. τὸ δὲ δυνάτα, ἀντὶ τοῦ δυνάστα. ¶Ἁμάρτια] ὁμοῦ ἡρμοσμένα. γράφεται καὶ ἁμαρτήματα. ¶Νᾶες ἄναες] αἱ μηκέτι νῆες· εἰ ἀπώλοντο γάρ. ¶Ὦ πιστὰ πιστῶν] τὸ τοῦ Δαρείου εἴδωλον ἐξ ᾅδου ἀνελθὸν φησὶ πρὸς τοὺς πέρσας, ὦ πιστὰ γεννήματα καὶ ἀναστροφαὶ πατέρων πιστῶν ἐμοὶ, ὦ ἐκ πιστῶν πατέρων πιστοὶ υἱοὶ, ἥλικές τε καὶ ἰσήλικες τῆς ἐμῆς ἡλικίας, τίνα πόνον καὶ κακοπάθειαν πάσχει ἡ πόλις, καὶ στενάζει, καὶ ἐστὶν ἐκ τῶν ὀδυρμῶν κέκοπται καὶ χαράσσεται ἡ γῆ κάτωθεν. τοῦτο δὲ εἴρηκεν ὅτι ἐκ τῶν πολλῶν ὑμῶν στεναγμῶν ἡ γῆ ῥαγεῖσα ἐνέδωκέ με. ¶Λεύσσων δ' ἄκοιτιν] ἐγὼ δὲ βλέπων ἐγγὺς τοῦ ἐμοῦ τάφου παρακαθημένην τὴν ἐμὴν ὁμόκοιτον γυναῖκα, φοβοῦμαι μὴ κακὸν αὐτῇ ἐπιγέγονε. τὰς χοὰς δὲ, ἤτοι τὰς θυσίας ἃς ἐμοὶ ἔθυσεν ἱλαστηρίους, ἀπεδεξάμην. ¶Ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς] ἐγγὺς ἑστῶτες τοῦ ἐμοῦ τάφου, θρηνεῖτε καὶ καλεῖσθε καὶ ἀνακράζετέ με ἐξελθεῖν ἐκ τοῦ ᾅδου, ὀρθιάζοντες καὶ μεγάλως ἠχοῦντες καὶ θρηνοῦντες ἐν γόοις ψυχαγωγοῖς, ἤγουν τοῖς τὰς ψυχὰς ἐκ τοῦ ᾅδου ἀνακομίζουσιν· οὐκ ἔστι δὲ ῥᾴδιον τὸ ἐξελθεῖν με ἀπὸ τοῦ τάφου, οὐδὲ δυνατόν. ¶Οὐκ εὐέξοδον] ὅθεν εὐδυνατὸν ταχέως ἐξιέναι. ἀπολογεῖται δὲ ὡς βραδύνας.

ἄλλως τε πάντως χ' οἱ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
ἥκω· τάχυνε δ' ὡς ἄμεμπτος ὦ χρόνου.
τί δ' ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;
Χο. Σέβομαι μὲν προσιδέσθαι,
σέβομαι δ' ἀντία λέξαι σέθεν, ἀρχαίῳ περὶ τάρβει.
Δα. Ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
μή τι μακιστῆρα μῦθον ἀλλὰ σύντομον λέγων,
εἰπὲ, καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.
Χο. Δείομαι μὲν χαρίσασθαι,
δείομαι δ' ἀντία φάσθαι, λέξας δύσλεκτα φίλοισιν.
Δα. Ἀλλ' ἐπεὶ δέος παλαιόν σοι φρενῶν ἀνθίσταται,
τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ' εὐγενὲς γύναι,
κλαυμάτων λήξασα τῶνδε καὶ γόων, σαφές τι μοι
λέξον. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἐντύχοι βροτοῖς·
πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ

¶ Ἄλλως τε πάντως] καὶ ἄλλως δὲ, φησὶν, οἱ κάτωθεν τῆς γῆς θεοὶ, ἤγουν ὁ Πλούτων καὶ ἡ Περσεφόνη καὶ οἱ τῶν νεκρῶν ἁπλῶς κυριεύοντες, ἀμείνους καὶ βελτίους καὶ ἑτοιμότεροι εἰσὶν εἰς τὸ λαβεῖν παρ' ἑαυτοῖς τοὺς ἀνθρώπους, καὶ κατέχειν ἐν τῷ ἅδῃ, πρὸ μεθιέναι, καὶ καταλεῖψαι, καὶ ἐᾶσαι αὐτοὺς ἀνελθεῖν εἰς τὴν γῆν ἄνωθεν. ¶ Ὅμως δ' ἐκείνοις] ἤτοι, μέγα κἀγὼ δυνηθεὶς παρὰ τοῖς κάτω θεοῖς, οἷα βασιλεὺς, καὶ παρ' ἐκείνων τιμώμενος, καὶ μὴ λογιζόμενος ὡς οἱ κοινῶς ἀποθνήσκοντες, ἥκω· ἐπίσχυνα δὲ, ὡς μὴ μεμφθῶ τοῦ χρόνου καὶ τῆς βραδύτητος ἕνεκα. ¶ Νεοχμὸν] νεωστὶ. παρὰ τὸ αἰχμὴν γινόμενον. ¶ Μακιστῆρα μῦθον] μήκους ἐχόμενον. ¶ Δείομαι μὲν χαρίσασθαι] τουτέστι, δέδια μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἐφ' ᾧ θέλξαι τὴν σὴν ψυχὴν, δέδια δὲ καὶ ἀληθεῦσαι· λυπηθήσῃ γάρ. ¶ Ἀλλ' ἐπεὶ δέος] φησὶ πρὸς αὐτὸν ὁ Δαρεῖος, ἀλλ' ἐπεὶ φοβῇ, ἔασον τοῦτο. εἶτα στρέφει τὸν λόγον πρὸς τὴν Ἄτοσσαν, καί φησιν, ὦ εὐγενὲς γύναι ξύννομε καὶ συμμερίστρια τῶν ἐμῶν λέκτρων, παυσαμένη τῶνδε τῶν θρήνων, φανερόν τι μοι εἰπὲ, ἵνα μάθω ὃ πάσχετε. ¶ Ἀνθρώπεια δ' ἄν τοι] ὁ Δαρεῖος παραμυθούμενος τὴν αὐτοῦ γυναῖκα, φησὶν ὅτι τὰ πήματα τύχοι καὶ ἐπέλθοι οἷα πολλάκις ἐν τοῖς βροτοῖς. ἢ οὕτως, ἀνθρώπεια καὶ οὐ καινὰ ἂν τοῖς βροτοῖς τύχοι καὶ ἐπέλθοι ἐν πήματι καὶ ἐν βλάβῃ. ὡς γὰρ ἄνθρωποι, πάσχουσι, καὶ τὰ αὐτῶν πήματα, οὐ θεῖά τινα, ἀλλ' ἀνθρώπεια κέκληνται. ¶ Πολλὰ μὲν γὰρ ἐκ θαλάσσης] πολλὰ μὲν γὰρ κακὰ ἐκ τῆς θαλάσσης καὶ τῆς γῆς τοῖς ἀνθρώποις ἐπέρχονται, ὧν ὁ μάσσων καὶ ὁ μείζων βίοτος ἐκτείνεται πρόσω, ἤγουν ἐν μακρῷ τῷ βίου χρόνῳ.

γίνεται θνητοῖς, ὁ μάσσων ἢν βίος ταθῇ πρόσω.
ἄτ. Ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
ὡς ἕως ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
βίοτον εὐαίωνα πέρσαις, ὡς θεὸς, διήγαγες·
νῦν τέ σε ζηλῶ θανόντα πρὶν κακῶν ἰδεῖν βάθος·
πάντα γὰρ Δαρεῖ' ἀκούσῃ μῦθον ἐν βραχεῖ χρόνῳ·
διαπεπόρθηται τὰ περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.
δα. Τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκηπτὸς, ἢ στάσις πόλει;
ἄτ. Οὐδαμῶς· ἀλλ' ἀμφ' Ἀθήνας πᾶς διέφθαρται στρατός.
δα. Τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει, φράσον.
ἄτ. Θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.
δα. Πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;
ἄτ. Ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατηλάτων.
δα. Πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;
ἄτ. Μηχαναῖς ἔζευξεν ἕλλης πορθμὸν, ὥστ' ἔχειν πόρον.
δα. Καὶ τόδ' ἐξέπραξεν ὥστε βόσπορον κλῇσαι μέγαν;
ἄτ. Ὧδ' ἔχει, γνώμης δέ που τις δαιμόνων ξυνήψατο.
δα. Φεῦ μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.
ἄτ. Ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.
δα. Καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;

¶ Ὡς εἰπεῖν ἔπος] ὡς ἐν συντόμῳ λόγῳ περιλαβεῖν καὶ εἰπεῖν συλλήβδην πάντα. ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ, Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος. ¶ Λοιμοῦ τις ἦλθε] ταραχὴ, ἐμφύλιος πόλεμος. ἀντὶ τοῦ φθορὰ, εἶπε σκηπτόν· ὡς γὰρ ἐκεῖνος, εἴ που ἐπιδράμῃ, καίει καὶ φθείρει καὶ ἀφανίζει, οὕτω καὶ ὁ λοιμός. ¶ Τίς δ' ἐμῶν ἐκεῖσε παίδων] Ηρόδοτος ζ' φησὶ Δαρείου παῖδας ιβ', Ελλάνικος δὲ ια'. ¶ Ηπείρου πλάκα] τὸ ἄπλωμα. περιφραστικῶς δὲ τὴν γῆν τῶν περσῶν φησὶ πᾶσαν. ¶ Πεζὸς ἢ ναύτης] ἤτοι διὰ ξηρᾶς, ἢ διὰ θαλάσσης τήνδε τὴν πεῖραν ἐμώρανεν, ἀντὶ τοῦ μωρὰν ἦνα καὶ ἀβούλως καὶ ἀπερισκέπτως ταύτην τὴν πεῖραν παρήγαγε. τὴν πρὸς τοὺς ἀθηναίους δέ φησι ἐκστρατείαν. ¶ Διπλοῦν μέτωπον] καὶ τάγμα ἦν διπλοῦν, ἤτοι πεζὸν καὶ ναυτικὸν, καὶ διπλοῖ στρατηγοὶ καὶ ἡγεμόνες τοῦ βασιλέως ἦσαν, καὶ τὰ ἀμφότερα κατὰ τὴν γῆν καὶ θάλασσαν. ¶ Ὥστ' ἔχειν πόρον] ὥστε συνέχειν τὸν πόρον καὶ ἐπέχειν τὸ ὕδωρ. ¶ Γνώμης δέ που] ἀντὶ τοῦ, ἴσως καὶ συνήργησεν αὐτῷ τις δαίμων, καὶ ἐβοήθησε. βόσπορον δὲ λέγει τὸν ἑλλήσποντον. ¶ Ὡς ἰδεῖν] ὁποῖον καὶ εἰς τέλος παρήγαγε, δεινὸν ἵνα τῷ ὄντι ὄλεθρος.

ἄτ. Ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
δα. Ὧδε παμπήδην δὲ πᾶς στρατὸς κατέφθαρται δορί;
ἄτ. Πρὸς τάδ᾽ ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει.
δα. Ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
ἄτ. Βακτρείων δ᾽ ἔρρει πανώλης δῆμος, οὐδέ τις γέρων.
δα. Ὢ μέλεος, οἵαν ἄρ᾽ ἥβην ξυμμάχων ἀπώλεσε.
ἄτ. Μονάδα δὲ Ξέρξην ἐρημόν φασιν οὐ πολλῶν μέτα.
δα. Πῶς τε δὴ καὶ ποῖ τελευτᾶν ἐστι; τίς σωτηρία;
ἄτ. Ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαιν.
δα. Καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ᾽ ἐτήτυμον;
ἄτ. Ναὶ λόγος κρατεῖ σαφηνὴς, τοῦτο δ᾽ οὐκ ἔνι στάσις.
δα. Φεῦ ταχεῖά γ᾽ ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ᾽ ἐμὸν
Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ᾽ ηὔχουν ἐκτελευτήσειν θεούς.
(ἀλλ᾽ ὅταν σπεύδῃ τις, αὐτὸς χὠ θεὸς συνάπτεται).
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις.

¶Ναυτικὸς στρατὸς] τοῦτό φησιν, ὅτι ὁ τῶν περσῶν στρατὸς ναυτικὸς ἀφανισθεὶς ἐν τῇ θαλάσσῃ παρὰ τῶν ἑλλήνων, γέγονεν ἀπωλείας καὶ φθορᾶς αἴτιος καὶ τῷ πεζῷ στρατεύματι. οἱ γὰρ ἀθηναῖοι τρέψαντες μὲν τοὺς ἐν τῇ θαλάσσῃ ὄντας πέρσας, εἶθ᾽ οὕτως πρὸς τοὺς πεζοὺς ἐφορμήσαντες, τούτους ἀπέκτειναν. τῶν ναυτικῶν γὰρ φθαρέντων, οἱ ἐν τῇ ψυτταλίᾳ πέρσαι (νῆσος δὲ αὕτη τῇ σαλαμῖνι παρακειμένη) ἀνάλωτοι γεγόνασι. ¶Κἀπικουρίας στρατοῦ] τῆς ἀπολομένης. ¶Βακτρείων δ᾽ ἔρρει] τῶν βακτρείων δὲ ἔρρει καὶ ἐφθάρη πᾶς δῆμος πανώλης καὶ οἱ ἄνδρες καὶ πολεμικός, οὐδέ τις γέρων ἀπώλετο. τοῦτ᾽ ἔστι, πάντες οἱ νέοι ἐφθάρησαν, οἱ δὲ γέροντες οὔ. τοὺς γὰρ νέους μόνους ὁ Ξέρξης ἐστρατολόγησε, τοὺς δὲ γέροντας, ὡς ἀσθενεῖς ὄντας καὶ μὴ δυναμένους κινῆσαι ὅπλα, κατέλειψε τῇ περσίδι χώρᾳ ἐπιτρόπους τε καὶ φύλακας. ¶Μονάδα δὲ Ξέρξην] μεμονωμένον δέ φασι τὸν Ξέρξην ἀπομεῖναι, καὶ ἔρημον οὐ μετὰ πολλῶν ἀνδρῶν τὸν Ξέρξην διαπεράσαι τὴν ἑλλήσποντον, τὴν ζευκτηρίαν δηλαδὴ τὴν ἐν δυοῖν μέρεσι κειμένην, καὶ συζευγνῦσαν αὐτά· λέγεται τὴν ἀσίαν καὶ τὴν εὐρώπην. ¶Πῶς τε δὴ καὶ ποῖ] ἐν ἐρωτήσει. ¶Τελευτᾶν ἐστὶ] διαπεραιοῦσθαι. ¶Γέφυραν ἐν δυοῖν ζευκτηρίαιν] τὴν ἑλλήσποντον, ὃς ζευγνύει ἀσίαν καὶ εὐρώπην. ¶Οὐκ ἔνι στάσις] ἀμφιβολία. τοῦτο οὐκ ἄδηλον. ¶Φεῦ ταχεῖα] ὡς τοῦ Δαρείου εἰπόντος καὶ ἄνω προμαντευσαμένου τὸν Ξέρξην ἀποβαλεῖν πολὺν λαόν. ¶Ἀλλ᾽ ὅταν (ὅταν σπεύδῃ τις ἢ εἰς καλὰ ἢ εἰς κακά, ὁ θεὸς αὐτοῦ ἐπιλαμβάνεται)· ἢ, ὅταν ἐπὶ τὰ χείρω ἐπείγηται, τότε συνεφάπτεται καὶ συνάπτεται αὐτοῦ καὶ ἡ ἐρινύς, ἡ τιμωρητικὴ καὶ ἡ ἔφορος τῶν κακῶν θεός. ¶Νῦν κακῶν] ἔοικεν εὑρεθῆναι τοῖς φίλοις ἅπασιν ἐμοῦ ἡ τῶν κακῶν πηγή. ἄλλως. ὡς ἡ πηγὴ τὸ μὲν δίδωσιν, ἄλλο δ᾽ ἀναβλύζει.

παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν, δοῦλον ὣς, δεσμώμασιν
ἤλπισε σχήσειν, ῥέοντα Βόσπορον ῥόον θεοῦ·
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν, πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
θνητὸς ὢν, θεῶν δὲ πάντων ᾤετ', οὐκ εὐβουλίᾳ,
καὶ Ποσειδῶνος κρατήσειν. πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόνος
οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ἄτ. Ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν,
τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.
δα. Τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω,
τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν·

¶Ὅστις Ἑλλήσποντον] ὅστις ὁ Ξέρξης ἤλπιζε σχήσειν καὶ κρατήσειν ὡς δοῦλον τοῖς ἐν δεσμοῖς τὸν ἱερὸν Ἑλλήσποντον. ἱερὸν δὲ τοῦτόν φησι, διὰ τὸ ἱδρῦσθαι αὐτόθι Διὸς ἱερόν, ὡς Μνασέας φησίν. ἢ τὸν ἀνειμένον, ἀκωλύτως ὡς τὸν ἱερὸν ἰχθὺν φέρεσθαι. ¶Καὶ πόρον μετερρύθμιζε] καὶ τὸν τῆς θαλάσσης πόρον μετέπλαττε καὶ εἰς ξηρὰν μετέβαλε, καὶ τὸν Ἑλλήσποντον δεσμοῖς σιδηροῖς περιβαλών, ἤτοι γέφυραν ἐν αὐτῷ διὰ σιδήρου ἐργασάμενος, πολλὴν καὶ μακρὰν κέλευθον καὶ ὁδὸν ἐπλήρωσε καὶ ἐποίησε τῷ στρατεύματι, ἄνθρωπος ὤν· ᾤετο δὲ καὶ ὑπελάμβανε καὶ ἐνόμιζεν, οὐκ ἐν εὐβουλίᾳ, ἀλλ' ἀβούλως καὶ μωρῶς, κρατήσειν πάντων τῶν θεῶν, καὶ τοῦ Ποσειδῶνος αὐτοῦ, ὃς κύριος τῆς θαλάσσης ἐστί. ¶Δέδοικα μὴ πολὺς] φοβοῦμαι, φησί, μὴ ὁ πολὺς πλοῦτος ὁ ἀπὸ τοῦ ἐμοῦ πόνου κατορθωθεὶς, ἁρπαγὴ ὑπὸ τοῦ φθάσαντος, ἤτοι καταλαβόντος. ¶Ταῦτα τοῖς κακοῖς ὁμιλῶν] ταῦτα διδάσκεται ὁ θούριος καὶ ὁ ὁρμητικὸς πρὸς τὸν πόλεμον Ξέρξης, ὁμιλῶν τοῖς κακοῖς ἀνδράσι. λέγουσι γὰρ αὐτῷ (ὁ γὰρ δὲ σύνδεσμος, ἀντὶ τοῦ γὰρ, ἢ περιττὸς ὁ δὲ) ὅτι σὺ μὲν ὄλβον ἐκτήσω μέγαν τέκνοις, καὶ ἐν ἀνδραγαθίαις· τοῦτον δὲ ὑπ' ἀνανδρίας ἔνδον τῆς οἰκίας κινεῖν τὸ δόρυ, τὸν ὄλβον δὲ τὸν πατρικὸν μὴ αὐξάνειν. ¶Τοιγάρ σφιν] τοιγαροῦν σφίν καὶ αὐτοῖς τοῖς τῷ Ξέρξῃ συμβουλεύσασι ταῦτα καὶ προβεβουλευκόσιν, ἔργον ἐστὶν ἐξειργασμένον, εἰς φθορὰν χωροῦσαν. ¶Ἐξεκείνωσεν πεσόν] ἔργον οἷον οὐδέπω, πεσὸν δίκην κύβου (τὰ πτώματα γὰρ κατὰ κύβον πίπτουσιν) ἐξεκένωσε τόδε τὸ ἄστυ. ἔργον δέ, οἷον οὐδέπω γέγονεν ἐξ ὅτου τὸ ἀφ' οὗ

καιροῦ ὁ Ζεὺς ὤπασε καὶ παρέσχε καὶ ἔδωκε ταύτην τὴν τιμὴν, τοῦτ᾽ ἔστι τὸ ταγεῖν καὶ ἡγεμονεύειν καὶ βασιλεύειν ἕνα ἄνδρα πάσης Ἀσίας.

ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ᾽ ὤπασεν,
ἕν᾽ ἄνδρα πάσης Ἀσιάδος μηλοτρόφου
ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
ἄλλος δ᾽ ἐκείνου παῖς τόδ᾽ ἔργον ἤνυσε·
φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν.
τρίτος δ᾽ ἀπ᾽ αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ.
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ηὔθυνε στρατόν.
πέμπτος δὲ Μάρδος ἦρξεν, αἰσχύνη πάτρᾳ,
θρόνοισί τ᾽ ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ

¶Ἄλλος δ᾽ ἐκείνου παῖς] τὸν Ἀρταφρένην φησὶ, περὶ οὗ παρακαπὼν λέγει, φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν, ἐτυμολογῶν αὐτοῦ τὸ ὄνομα. Ἀρταφρένης γὰρ ἐξ ἐτυμολογίας λέγεται ὁ τὰς φρένας ἔχων ἀρτίας καὶ ἀκεραίας. ¶Ἤλασεν βίᾳ] συνήγαγεν τῇ ἰδίᾳ δυνάμει. ¶Κύρου δὲ παῖς] Κύρου δὲ υἱὸς ὁ Καμβύσης, ἀδελφὸς δὲ, κατὰ Ἑλλάνικον, Μαρφίου καὶ Μέμφιδος. ¶Πέμπτος δὲ Μάρδος] ἡ γραφὴ ἡμάρτηται. τὸν γὰρ ἐπιθέμενον τῇ Καμβύσου ἀρχῇ μάγον ὄντα, οὐδεὶς Μάρδον εἶπεν, οὔτε γένος, οὔτε ὄνομα. μήποτε οὖν γραπτέον, Μάρδις αἰσχύνη πάτρᾳ. μάγος ἦν ὁ τῆς ἀρχῆς ἐπιλαβόμενος, ὃ ἴσως ὁμώνυμος ὑποκρίνεται (ἴσ) Μερδίᾳ τῷ τοῦ Κύρου παιδὶ, ἀδελφῷ τοῦ Καμβύσου. αἰσχύνη δὲ πάτρᾳ, εἶπεν, ὅτι μάγος ὢν, ἐπέσπασε τὴν τῶν Περσῶν ἀρχὴν εἰς μάγους. ἐπειδὴ γὰρ οἱ Πέρσαι πάντα τῇ βουλῇ διεπράττοντο, ὁ Καμβύσης ἤδη πρὸς ἐκστρατείαν ἀπαίρων, τοὺς αὐτοῦ μάγους δύο ὄντας ἐν τοῖς βασιλείοις καταλείπει, οἳ τῇ ἐρημίᾳ τῶν τῆς πόλεως ἀνδρῶν, ἦρξαν τῆς βασιλείας, Ἀρταφρένης, καὶ Δαρεῖος, οὐχ ὁ τοῦ Ξέρξου πατὴρ, ἀλλ᾽ ἕτερος. καὶ ἄλλοι τινὲς φίλοι αὐτῶν τῆς ἀρχῆς αὐτοὺς καταβιβάσαι συνεβουλεύσαντο. καταγαγόντες δὲ αὐτοὺς, ἔριζον περὶ τῆς βασιλείας. οἱ μὲν οὖν ἄλλοι ταύτην λαβεῖν ἀπείπαντο, φήσαντες ἤδη Πέρσας ἑαυτοὺς (ἴσ) βουλεύεσθαι, καὶ μήτε ἄρχειν μήτ᾽ ἄρχεσθαι, καὶ ἀπολαύειν τῶν τῆς ἀρχῆς ἀγαθῶν. Ἀρταφρένης δὲ καὶ Δαρεῖος ἆθλον ἔθεντο, τὸ μὲν ἵππων δραμεῖν, οὗτινος δ᾽ ἵππος πρὸς τὴν νύσσαν ἐλθὼν χρεμετίσει, πάντως αὐτὸς καὶ τῆς ἀρχῆς ἐπιλάβηται. ὁ οὖν Δαρεῖος τῷ ἱπποκόμῳ αὐτοῦ περὶ τούτου ἀνεκοινώσατο. ὁ δὲ χιτῶνα λαβὼν, καὶ τῷ τῆς θηλείας προστρίψας μορίῳ, δέδωκεν αὐτῷ, εἰπὼν, ἡνίκα δ᾽ ἂν ὥσπερ ὁ ἵππος τῇ νύσσῃ προσεγγίσῃ, τηνικαῦτα στήσας αὐτὸν, τῷ μυκτῆρι αὐτοῦ τὸν χιτῶνα προσάγειν, καὶ ἐπεὶ τῆς ὀδμῆς

τῆς θηλείας αἰσθανόμενος χρεμετίσει. ὃ καὶ πεποίηκε, καὶ κατὰ κράτος νικήσας τῆς ἀρχῆς ἐπελάβετο. τινὲς δὲ οὕτως φασὶ γενέσθαι, ὅτι κατὰ τὸν καιρὸν τῆς νυκτὸς ὁ ἱπποκόμος ἐν τῷ καμπτῆρι φοράδα στήσας, εἰσήγαγε τὸν ἵππον, καὶ συνουσιάζετο. οὕτω δὲ καὶ κατὰ τὴν ἡμέραν ἐν τῷ καιρῷ τοῦ ἄθλου ἐκεῖσε γεγονὼς, τῆς θηλείας ἐμνήσθη, καὶ οὕτως ἐχρεμέτισε.

Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
ξὺν ἀνδράσι φίλοισιν, οἷς τόδ᾽ ἦν χρέος.
ἕκτος δὲ Μάραφις, ἕβδομος τ᾽ Ἀρταφρένης.
κἀγὼ δ᾽ ἔκυρσα τοῦπερ ἤθελον πάλου,
κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ·
ἀλλ᾽ οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ᾽ ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ,
κ᾽ οὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς.
εὖ γὰρ σαφῶς τόδ᾽ ἴστ᾽ ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ᾽ ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ᾽ ἔρξαντες τόσα.
Χο. Τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
Δα. Εἰ μὴ στρατεύοισθ᾽ ἐς τὸν Ἑλλήνων τόπον,
μηδ᾽ εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν.
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
Χο. Πῶς τοῦτ᾽ ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;
Δα. Κτείνουσα λιμῷ τοὺς ὑπερπόμπους ἄγαν.
Χο. Ἀλλ᾽ εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.
Δα. Ἀλλ᾽ οὐδ᾽ ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις

¶Ἀρταφρένης] τοῦτον Ἑλλάνικος Δαφέρνην καλεῖ. ¶Κἀγὼ δ᾽ ἔκυρσα τοῦπερ] καλῶς τοῦτο εἶπε. μετὰ γὰρ τὴν τῶν μάγων καθαίρεσιν Δαρεῖος ὁ μέγας ἦρξεν, ὅτι οἱ ἑπτὰ στρατηγοὶ τοῦ Καμβύσου ὤμοσαν ἀναιρεθῆναι τὸν μάγον τὸν ὑποκρινόμενον τῷ ὀνόματι Μάρδου. ¶Εὖ γὰρ] καλῶς γινώσκετε τοῦτο, ὦ ἐμοὶ συνήλικες πέρσαι, ὅτι ἅπαντες ἡμεῖς οἱ κράτη τάδε ἔχομεν, ἤγουν οἱ πρὸ τοῦ βασιλεύσαντες, οὐκ ἂν ἐφαινόμεθα πράξαντες τοσαύτην βλάβην τῶν περσῶν, ὅσην νῦν ὁ Ξέρξης ἐποίησε. ¶Αὐτὴ γὰρ ἡ γῆ] αὐτὴ γὰρ ἡ ἑλλὰς ἡ αὐτοῖς συμμαχεῖ ἐκείνοις τοῖς ἕλλησι διὰ τὸ μὴ ἔχειν καρποὺς αὐτάρκεις, ὥστε τοὺς ἐναντίους ἀποτρέπειν. ἡ γῆ, φησὶ, κτείνουσα λιμῷ τοὺς πολυίππους πέρσας. ¶Εὐσταλῆ] εὔμικτον. ¶Ἀλλ᾽ οὐδ᾽ ὁ μείνας] ἀλλ᾽ οὐδ᾽ ὁ καταλειφθεὶς στρατὸς τῷ Μαρδονίῳ καὶ αἱ τριάκοντα μυριάδες ὑποστρέ-

φουσι τὶς τὴν πατρίδα, καὶ πῶς λέγουσιν ἀποσῶσαι πάλιν ἕτερον στρατόν; τοῦτο δὲ εἶπε, ἢ παντελῆ σημαίνων ἀπώλειαν τῶν περσῶν.

στρατὸς κυρήσει νοστίμου σωτηρίας.
Χο. Πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
Δα. Παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μὲν, τὰ δ' οὔ·
κεἴπερ τάδ' ἐστὶ, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
οἳ γῆν μολόντες Ἑλλάδ', οὐ θεῶν βρέτη
ᾐδοῦντο συλᾶν, οὐδὲ πιμπράναι νεώς.
βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες, οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν

¶ Χρὴ θεσφάτοισιν ἐς τὰ νῦν πεπραγμένα βλέψαντα] ἀφ' ὧν ταῦτα ἐπλέσθη, κἀκεῖνα συμβήσεσθαι στοχάζομαι. ¶ Συμβαίνει γὰρ οὐ τὰ μὲν, τὰ δ' οὔ] οὐ γὰρ τὰ μὲν τοῖς ἀνθρώποις συμβαίνει, τὰ δ' οὔ· ἀλλὰ πάντα ὅσα βροτοῖς παρ' ... πέπρωται, ἔτι συμβαίνει αὐτοῖς. Ἄλλως. οὐχὶ τὰ μὲν συμβαίνει ἐκ θελήματος τῶν θεῶν, τὰ δὲ, οὔ· ἀλλ' ὅσα ὑπὸ θεῶν διϊθύνονται βουλεύματα τῶν ἀνθρώπων, πληροῦνται, ὅσα δὲ οὔ, οὐ πληροῦνται. τοῦτο δὲ εἶπε διὰ τοὺς χρησμοὺς τοὺς κειμένους μὴ ἀπελθεῖν εἰς Ἑλλάδα. ¶ Κεἴπερ τάδ' ἐστὶ, πλῆθος ἔκκριτον] καὶ ἐὰν γὰρ τάδε τὰ πεπραγμένα ἀληθῆ τυγχάνωσιν, λείπει καὶ τὸ ἔκκριτον πλῆθος τοῦ βαρβαρικοῦ στρατοῦ. ἀντὶ τοῦ, οἴχεται καὶ θνήσκει. εἶτα ἐξ οὐδετέρου πρὸς ἀρσενικὸν τὸν λόγον ἔστρεψεν, εἰπών, πεπεισμένος ἐστὶν ὁ στρατὸς ἐν κεναῖς ἐλπίσι. πέπρωται γὰρ αὐτὸν ἐκεῖ θανεῖν. ἢ, λείπει τὸ ἀφῆκεν ὁ Ξέρξης ἐν ψυτταλίᾳ τὸ τοῦ στρατοῦ ἔκκριτον πλῆθος, πεπεισμένος ματαίαις ἐλπίσι. ¶ Μίμνουσι δ' ἔνθα] ὁ φίλος ἀσωπὸς τὸ πίασμα τῇ βοιωτῶν χθονὶ τῇ γῇ, ἤγουν τὸ λίπασμα τὸ πιαῖνον καὶ τρέφον αὐτὴν, ἄρδει τὸ πεδίον καὶ τὴν γῆν. ἀντὶ τοῦ, ἔνθα ὁ ἀσωπὸς λιπαίνει τὴν βοιωτίαν. ¶ Οὗ σφιν κακῶν ὕψιστα] τὴν ἐν πλαταιαῖς πεζομαχίαν φησὶν, ἣν πρὸς λάκωνας ἡττήθησαν. ¶ Ὕβρεως ἄποινα] ὅτι ἐνεπίπρασαν πρὸ τὰ ἱερά. ¶ Κοὐδέπω κακῶν] ἡ τῶν κακῶν οὔπω κρηπὶς καὶ ὑποβάθρα καὶ

θεμέλιος καὶ ὁ ἑσμὸς οὐδέπω ὑπέστη καὶ εἰς τέλος κατελύθησαν, ἀλλ' ἔτι ἐκπαιδεύεται καὶ αὔξεται τὰ δεινά.

κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπαιδεύεται.
πόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
θῖνες δὲ νεκρῶν καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασι βροτῶν,
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια,
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα,
ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένοι
πινύσκετ' εὐλόγοισι νουθετήμασι,
λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
σὺ δ' ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη
ἐλθοῦσ' ἐς οἴκους, κόσμον ὅστις εὐπρεπὴς

¶Θῖνες δὲ νεκρῶν] οἱ θῖνες δὲ καὶ οἱ σωροὶ τῶν νεκρῶν, καίπερ φωνὴν μὴ ἀφιέντες, δείξουσι τῇ τρίτῃ τῶν μεταγενεστέρων γονῇ τὰ τῶν Περσῶν πτώματα. τοῦτ' ἔστιν, ὅτι καὶ τρεῖς γενεαὶ παρέλθωσιν ἄν, τὰ δὲ τῶν νεκρῶν καὶ ἔτι παραμένουσι πτώματα. διὰ τὸ ἄπειρα εἶναι, μὴ ἰσχύσαντος τοῦ χρόνου ἀφανίσαι αὐτά. ¶Δωρίδος] λακωνικῆς. ¶Ὡς οὐχ ὑπέρφευ] ὑπερβαρῶς οὐ χρὴ φρονεῖν ἄνθρωπον ὄντα τινά. ἡ γὰρ κενοδοξία καὶ ἡ τῶν θεῶν καταφρόνησις ἐξανθοῦσα γεννᾷ στάχυν βλάβης, ὅθεν θρήνου ἄξιον θέρος θερίζει ὁ τῶν θεῶν ἐνδεικνύμενος ὕβριν καὶ καταφρόνησιν. ¶Ἑλλάδος τε] μηδέ τις ὑπερφρονήσας καὶ παραβλεψάμενος τὴν παροῦσαν αὐτῷ εὐτυχίαν, ὡς μείζονος ἐρασθεὶς δόξης, ἐκχέῃ καὶ φθείρῃ ὃν τὸ πρὶν εἶχεν ὄλβον μέγιστον. ¶Εὔθυνος] δικαστής. ¶Πρὸς ταῦτ' ἐκεῖνον] πρὸς ταῦτα ὑμεῖς οἱ κεχρημένοι τῇ σωφροσύνῃ, ἢ οἱ χρήζοντες καὶ θέλοντες σωφρονεῖν, πινύσκετε καὶ συνετίζετε καὶ σωφρονίζετε ἐκεῖνον τὸν Ξέρξην ἐν συνετοῖς νουθετήμασιν, ὥστε λῆξαι καὶ παύσασθαι θεοβλαβοῦντα, καὶ τὴν ἐκ τῶν θεῶν βλάβην πάσχοντα διὰ τῆς κενοδοξίας. ἢ κεχρημένον, ἀντὶ τοῦ, χρείαν ἔχοντα καὶ ἄξιον ὄντα σωφρονεῖν.

λαβοῦσ' ὑπάντιαζε παιδί. πάντα γὰρ
κακῶν ὑπ' ἄλγεις λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πράϋνον λόγοις.
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δὲ πρέσβεις χαίρετ', ἐν κακοῖς ὅμως,
ψυχῇ διδόντες ἡδονὴν καθ' ἡμέραν.
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

χο. Ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.

ἀτ. Ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακὰ
ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων,
ὑπαντιάζειν παιδὶ ἐμῷ πειράσομαι.
οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

χο. Ὦ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πολιανόμου βιοτᾶς
ἐπεκύρσαμεν, εὖθ' ὁ γηραιὸς πανταρκής, ἀκάκης,

¶Πάντα γὰρ] ὑπὸ γὰρ τοῦ ἄλγους τῶν ἐπελθόντων τῷ Ξέρξῃ κακῶν, πάντα τὰ μέρη τῶν ποικίλων ἐσθημάτων αὐτοῦ στημορραγοῦσι, καὶ μετὰ τῶν στημόνων αὐτῶν διαρρέουσιν ἐν τῷ σώματι αἱ λακίδες καὶ διασχίσεις. τουτέστιν, ὑπὸ τῆς θλίψεως διέρρηξε τὰ ἱμάτια αὐτοῦ ὁ Ξέρξης. ¶Ὑμεῖς δὲ πρέσβεις] πρὸς τὸν χορόν φησιν ὁ Δαρεῖος, ὅτι ἐγὼ μὲν ἄπειμι κάτω εἰς τὸν ᾅδην· ὑμεῖς δὲ ὦ γεραιοὶ χαίρετε, ἐν κακοῖς μὲν ὄντες, ὅμως δὲ χαίρετε, ψυχῇ διδόντες ἡδονήν. ἤγουν θύοντες ἐμοί, καὶ ἐμὴν ψυχὴν ἡδύνοντες διὰ τῶν θυσιῶν. τοῖς γὰρ θανοῦσι θυσία μόνη ἐπὶ προσδεκτέα, πλοῦτος δὲ οὐδὲν ὠφελεῖ. ¶Ἦ πολλὰ] ὁ χορὸς ἀκούσας ἀπὸ τοῦ Δαρείου ἃ μέλλουσι καὶ ἔτι παθεῖν οἱ Πέρσαι κακά, φησίν, ὄντως ἤλγησα καὶ ἀκούσας τοῖς Πέρσαις πολλὰ πήματα, καὶ παρόντα, ἤτοι ἃ νῦν πάσχουσι· καὶ μέλλοντ' ἔτι, καὶ ἃ μέλλουσιν ἔτι αὐτοῖς ἐπελθεῖν. ¶Οὐ γὰρ τὰ φίλ.] οὐ γὰρ τοὺς ἐμοὶ φιλτάτους ἐν τῷ αὐτῷ ἀνάγκαις προδώσω καὶ παραβλέψομαι. ¶Ὦ πόποι] θαυμαστικῶς σύγκρισιν ποιεῖται τῶν ἐπὶ Δαρείου ἀτυχημάτων, πρὸς τὰ νῦν κακά. καί φησιν, ὄντως μεγάλης βιοτῆς, ἀγαθῆς τε πολιανόμου, καὶ πόλεις καλῶς νεμούσης καὶ διοικούσης, ἐτύχομεν ἐπὶ τοῦ Δαρείου. ¶Εὖθ' ὁ γεραιὸς] ὅτε καὶ ὁ τηνικαῦτα ἦρχε καὶ ἐβασίλευε τῆς ἡμετέρας χώρας ὁ Δαρεῖος, ἄμαχος βασιλεύς, ὁ ἰσόθεος, ὁ παν-

ταρκὴς καὶ εἰς πάντας ἀρκῶν, καὶ διευεργετῶν καὶ διέπων καλῶς, καὶ παντάπασι δίκαιος γενόμενος.

ἄμαχος βασιλεὺς ἰσόθεος Δαρεῖος ἦρχε χώρας.
Πρῶτα μὲν εὐδοκίμου
στρατιᾶς ἀπεφαινόμεθ', ἠδὲ νόμι-
μα τὰ πύργινα πάντ' ἐπεύθυνον.
νόστοι δ' ἐκ πολέμων ἀπόνους ἀπαθεῖς, εὖ
πράσσοντας, ἄγον ἐς οἴκους. ὅσας δ' εἷλε πόλις,
πόρον οὐ διαβὰς Αλυς ποταμοῦ, οὐδ' ἀφ' ἑστίας συθεὶς,
οἷαι στρυμονίου πελάγους ἀχελωΐδες εἰσὶ πάροικοι
θρηϊκίων ἐπαύλων, λίμνας τ' ἔκτοθεν, αἳ
κατὰ χέρσον ἐλη- λαμέναι περὶ πύργον
τοῦδ' ἄνακτος ἄιον Ελλας ἀμφὶ πόρον
πλατὺν εὐχόμεναι, μυχία τε Προποντὶς
καὶ στόμα Πόντου, νᾶσοί θ' αἳ κατὰ πρῶ-
ν' ἅλιον περίκλυστοι, τᾷδε γᾷ προσήμεναι,

¶ Πρῶτα μὲν εὐδοκίμου] πρῶτα μὲν ἀπεφαινόμεθα στρατιᾶς εὐδοκίμου, ἤτοι περιβοήτου καὶ ἐπιπαιωνοφορούσης. τοῦτ' ἔστι, διὰ στρατιᾶς κατὰ πόλεμον εὐδοκιμοῦμεν, καὶ ἐπεύθυνον, ἤγουν κατὰ τὸ εὐθὺ διήγοντο καὶ ἐπλατύνοντο, πάντα τὸ νόμιμα τῶν πυργουμένων καὶ τετειχισμένων πόλεων· καὶ ὡρμώμεθα κατὰ τὰ νενομισμένα ἔθη ταῖς πόλεσι τοῦ πορθουμένας, οὐ τὰ μάρη πορθοῦντες καὶ τάφους ἀνασκάπτοντες, ὡς Ξέρξης ἐτόλμησε ποιῆσαι. λέγεται δὲ καὶ πύργινα νόμιμα, τὰ πυργοῦντα καὶ συνιστῶντα τὰς πόλεις. Ἄλλως. νόμιμα, τὰ νόμιμα πάντα τῶν τετειχισμένων πόλεων. οἱ δὲ δημωφελεῖς θεσμοὶ πάντα ἐπολιτεύοντο. ¶ Ὅσας δ' εἷλε πόλεις] τοῦτο θαυμαστικῶς φησιν, ὅτι ἀρετῇ Ἕλληνας ὑπέταξε Δαρεῖος, ἀλλ' οὐκ ἀνάγκῃ. ¶ Οὐδ' ἀφ' ἑστίας συθεὶς] σκληροτέρα ἡ συναλοιφή, τὸ δ' ἀμοῦ δ' ἀφ' ἑστίας, οἷον δεῖ τὸ, τοῦ ἕνεκα τοὔνεκα. ¶ Οἷαι στρυμονίου πελάγους] οἷαί εἰσιν αἱ ἀχελωΐδες νῆσοι τοῦ στρυμονίου πελάγους, αἱ πάροικοι τῶν θρηϊκίων ἐπαύλεων. ἤγουν τῆς Θράκης. Ἄλλως. στρυμονίου πελάγους. ὡς μέχρι ὑπερβορέων παρατεινούσης τῆς ἀρχῆς τῶν Περσῶν. ¶ Ἀχελωΐδες] αἱ ἔνυδροι. ἀχελῷον γὰρ πᾶν ὕδωρ λέγουσι. ¶ Ἐπαύλων] ἐπαυλισμάτων. ¶ Λίμνας τ' ἔκτοθεν] καὶ ἔξω τῆς θαλάσσης, ὅσαι εἰσὶ μεσόγειοι. ¶ Αἱ κατὰ χέρσον ἐληλαμέναι] τοῖς τείχεσι κεκυκλωμέναι. ¶ Τοῦδ' ἄνακτος ἄιον] τῷ Δαρείῳ ὑπήκουον. ¶ Ἀμφὶ πόρον πλατὺν] τοῦ πλατέος ἑλλησπόντου. ¶ Μυχία τε προποντὶς] ἀπὸ κοινοῦ τὸ, οἷαί εἰσιν αἱ περὶ τὴν ἑλλήσποντον τὴν οἴκησιν ἔχουσαι, ἡ προποντίς τε, ἤτοι τοῦ ἀξείνου πελάγους, ἡ μυχία καὶ ἐν μυχοῖς τοῦ ἑλλησπόντου κειμένη· καὶ τὸ στόμα τοῦ πόντου, ἤγουν ὁ Βόσπορος. οὗτος γὰρ στόμα πόντου λέγεται. ¶ Νᾶσοί θ' αἳ] νῆσοί τε, ἀπὸ κοινοῦ τὸ, οἷαί εἰσιν, αἵτινες περίκλυστοι καὶ ὑπὸ τῆς θαλάσσης κλυζόμεναι κατὰ τὸν ἑλλήσποντον (τοῦτον γὰρ πρῶνα ἅλιον λέγει) ὑποτασσόμεναι καὶ προσκαθήμεναι τῇ ἡμετέρᾳ γῇ.

οἷα Λέσβος, ἐλαι- όφυτός τε Σάμος,
Χίος, ἠδὲ Πάρος, Νάξος, Μύκονος,
Τήνῳ τε συνάπτουσ' Ἄνδρος ἀγχιγείτων,
καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους,
Λῆμνον, Ἰκάρου θ' ἕδος, καὶ Ῥόδον, ἠδὲ Κνίδον,
Κυπρίας τε πόλεις, Πάφον, ἠδὲ Σόλους,
Σαλαμῖνά τε, τῆς νῦν ματρόπολις
τῶνδ' αἰτία στεναγμάτων· καὶ τὰς εὐκτεάνους
κατὰ κλῆρον Ἰόνιον πολυάνδρους Ἑλλάνων ἐκράτυ-
νε σφετέραις φρεσίν· ἀκάματον δὲ παρῆν
σθένος ἀνδρῶν τευχηστήρων, παμμίκτων τ' ἐπικούρων· νῦν
δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ' αὖ
φέρομεν πολέμοισι δμαθέντες μεγάλως
πλαγαῖσι ποντίαισιν.

Ξερ. Ἰὼ, δύστηνος ἐγὼ στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
ὡς ὠμοφρόνως δαίμων ἐνέβη

¶Οἷα λέσβος] μεταβέβηκεν εἰς τὸ αἰγαῖον πέλαγος. ἡ γὰρ λέσβος καὶ ἡ σάμος ἐν τῷ αἰγαίῳ εἰσίν. ¶Τήνῳ τε] καὶ ἡ ἄνδρος νῆσος ἡ συνάπτουσα τῇ νήσῳ τήνῳ, καὶ συνημμένη αὐτῇ καὶ ἀγχιγείτων ταύτης τυγχάνουσα. ¶Καὶ τὰς ἀγχιάλους μεσάκτους] τὰς ἄγχι τῆς θαλάσσης κειμένας καὶ πρὸς τὸν αἰγιαλόν. μεσάκτους δὲ, μεσακτίους. ¶Ἐκράτυνε] ὑπὸ τὸ ἴδιον κράτος εἶχε. ¶Λῆμνον] λῆμνος θρᾴκης ἐστί. αὗται δέ εἰσιν αἱ μεσάκτιοι. ¶Ἰκάρου θ' ἕδος] Ἰκάρου τὸ κλύδωνα. ¶Σαλαμῖνά τε] σαλαμῖνα τὴν ἐν κύπρῳ φησίν· ἧς ἡ ματρόπολις, ἡ ἐν τῇ ἀττικῇ δηλαδή, ἡμῖν αἰτία ἐστὶ τῶνδε τῶν στεναγμάτων. ἄποικοι γάρ εἰσιν οἱ ἐν κύπρῳ σαλαμίνιοι τῶν ἐν ἀττικῇ. φασὶ γὰρ ὅτι τοῦ Αἴαντος αὐτόχειρος γεγονότος, ὁ Τεῦκρος ὁ αὐτοῦ ἀδελφὸς ἐν τῇ σαλαμῖνι τῇ αὐτοῦ πατρίδι ἀπελθὼν, οὐκ ἐδέχθη τῷ πατρὶ αὐτοῦ Τελαμῶνι, ἀλλ' ἐδιώχθη ἀπὸ τῆς σαλαμῖνος, ὡς μὴ τὸν ἀδελφὸν αὐτοῦ Αἴαντα κωλύσας, σφαγιασθησόμενον ὑφ' αὑτοῦ. καταπλεύσας οὖν, ἐν τῇ κύπρῳ ἀνεδείματο πόλιν, καὶ ταύτην καλέσας σαλαμῖνα ἐπ' ὀνόματι τῆς ἐν ἀττικῇ. ¶Κατὰ κλῆρον ἰόνιον πολυάνδρους] ἰωνίδας πόλεις. ¶Σφετέραις φρεσίν] τῷ ἰδίῳ λογισμῷ, οἷον φρόνιμος ὤν. ¶Νῦν δ' οὐκ ἀμφιλόγως] νῦν οὐκ ἀμφιβάλλεται ἀλλ' ἀληθῶς ταῦτα φέρομεν ἐν τοῖς πολέμοις, δηλαδὴ τὰς ἐπελθούσας ἡμῖν συμφορὰς, τὰς ἐκ θεοῦ τραπείσας πρὸς ἡμᾶς. ἢ θεότρεπτα, τὰ ἐκ θεῶν τρεφόμενα καὶ αὐξανόμενα δι' ἡμᾶς. ἢ ὑπὸ θεῶν ἐνεχθέντα, καὶ θεοῖς δόξαντα. ¶Δμαθέντες] δίων, δαμασθέντες. ¶Πλαγαῖσι ποντίαισιν] ταῖς ναυμαχίαις. ¶Ἰὼ δύστηνος ἐγὼ] ὁ Ξέρξης ὑπομιμνησκόμενος τῶν ὅλων ἀνδρῶν ὀλωλότων, αἰσχύνῃ καὶ ἐλέῳ πιεζόμενος θρηνεῖ, λέγων, φεῦ τῆς στυγερᾶς καὶ μισητῆς ταύτης μοίρας κυρήσας καὶ ἐπιτυχὼν, κακοπλουτεῖ τε καὶ εἰς κακὰ καταντήσαντες.

Περσῶν γενεᾷ. τί πάθω τλήμων;
λέλυται γὰρ ἐμοὶ γυίων ῥώμη,
τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
εἴθ' ὤφελε Ζεῦ κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

χο. Ὀτοτοῖ βασιλεῦ στρατιᾶς ἀγαθῆς,
καὶ περσονόμου τιμῆς μεγάλης, κόσμου τ' ἀνδρῶν,
οὓς νῦν δαίμων ἀπέκειρε, γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
ἥβαν Ξέρξᾳ κταμέναν ᾅδου
σάκτορι Περσᾶν· ἀγδαβάται γὰρ πολλοὶ φῶτες χώρας
τοξοδάμαντες. (πάνυ γὰρ φύσις (ἄνθος
μυριὰς ἀνδρῶν) ἐξέφθινται. ξερ. Αἰ αἰ κεδνᾶς ἀλκᾶς.

χο. Ἀσία δὲ χθὼν βασιλεῦ γαίας αἰνῶς αἰνῶς
ἐπὶ γόνυ κέκλιται.

ξερ. Ὅδ' ἐγών, οἰ οἰ, αἰακτὸς μέλεος γέννα, γᾷ τε πατρῴᾳ

¶ Εἴθ' ὤφελε Ζεῦ] ὑπομνησθεὶς δὲ ὁ Ξέρξης τῶν νέων ἀνδρῶν τῶν οἰχομένων ἐν Ἑλλάδι, φησὶ ταῦτα, εἴθε ὤφειλεν ὁ Ζεὺς κἀμὲ μετὰ τῶν φθαρέντων ἀνδρῶν καλύψαι τῇ μοίρᾳ τοῦ θανάτου. ¶ Ὀτοτοῖ βασιλεῦ] καὶ ὁ χορὸς ἰδὼν τὸν Ξέρξην ὀδυρόμενον, φησὶ πρὸς αὐτόν, φεῦ ὦ βασιλεῦ τῆς ἀγαθῆς δεξιᾶς, καὶ τῆς μεγάλης τιμῆς τῆς τοῖς Πέρσαις νενεμηθείσης καὶ τὰ Περσῶν διοικούσης καὶ διετούσης καὶ διευθυνούσης ἅπαντα· τοῦ κόσμου τε τῶν ἀνδρῶν, ἤτοι τῆς παρατάξεως τῆς στρατιᾶς καὶ τῆς κατὰ λόγον κοσμήσεως καὶ ἀντιταξίας τῶν Περσῶν, οὓς νῦν ὁ δαίμων καὶ ἡ τύχη ἠφάνισεν. ἢ ὁ κόσμου, ἀντὶ τοῦ τῆς νεότητος, περιφραστικῶς, τῶν νέων ἀνδρῶν καὶ γενναίων. ¶ Γᾶ δ' αἰάζει τὰν ἐγγαίαν] ἡ γῆ δὲ αἰάζει καὶ θρηνεῖ τὴν ἥβην καὶ τὴν ἡλικίαν τῶν Περσῶν τὴν ἐγγαίαν καὶ τὴν ἐγχώριον. ἢ οὕτως, ἡ γῆ ἡμῶν τὴν ἥβην τῆς γῆς ἥβην σεσαλευμένην ὑπὸ τοῦ ᾅδου καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει. ἢ τὴν ἀποκτανθεῖσαν ἐν τῷ Ξέρξῃ, τῷ σάκτορι καὶ τῷ πληρωτῇ τοῦ ᾅδου· παρὰ τὸ σάττω τὸ ἐπιφορτίζω, καὶ γεμίζω. δι' αὐτὸν γὰρ ἀπέθανον οἱ Πέρσαι, καὶ αὐτὸς αἴτιος γέγονεν τοῦ θανεῖν αὐτοὺς καὶ ὑπὸ τοῦ ᾅδου γεμισθῆναι. ¶ Ἥβαν] τὸ ὀξὺ, ἥβαν Περσῶν. ¶ Πάνυ γὰρ φύσις] φύσις ἡ πεφυρμένη καὶ ἐπὶ γῆς πεσοῦσα. λέγεται καὶ φύσις, ἡ ἔκφυσις, γονή. τοῦτο δὲ διὰ μέσου. ἀγδαβάται γὰρ (ὅ ἐστιν ἔθνος Περσῶν) ἐξέφθινται καὶ ἐφθάρησαν, πολλοὶ φῶτες, ἄνθος καὶ καλλώπισμα τῆς χώρας, τοξοδάμαντες, τοὺς τόξοις τοὺς ἐναντίους δαμάζοντες, πάνυ φύσις, καὶ ἔκφυσις, καὶ γονὴ μυριὰς ἀνδρῶν. ἤτοι πολὺ γένος τῶν Περσῶν. τὸ δὲ γὰρ παρέλκει. ¶ Ἀσία δὲ χθὼν] καὶ γῆ ὦ βασιλεῦ, ἤτοι οἱ Πέρσαι πάντες ἐπὶ γόνυ κέκλινται, ἀντὶ τοῦ ἐπίκυψαν καὶ ἐφθάρησαν. ἢ ἐπὶ γόνυ ἀσίας γῆ πέπτωκεν, ὀλοφυρομένη οὓς ἀπώλεσεν. λέγει δὲ τοὺς πολίτας. τινὲς δέ φασιν ἐπὶ γόνυ αἴας, ἤτοι κατὰ πρόσωπον τῆς γῆς. ¶ Αἰακτὸς μέλεος γέννα] θρηνητὸς τῇ γέννῃ, ἀντὶ τοῦ δυστυχῶς γεννηθείς.

κακὸν ἄρ' ἐγενόμην.

χο. Πρόσφθογγόν σοι νόστου, τὰν κακοφάτιδα βοὰν,
κακομέλετον ἰὰν μαριανδυνοῦ θρηνητῆρος
πέμψω πέμψω πολύδακρυν ἰαχάν.

ξερ. Ἵετ' αἰανῆ καὶ πανόδυρτον δύσθροον αὐδάν.
δαίμων γὰρ ὅδ' αὖ μετάτροπος ἐπ' ἐμοί.

χο. Ἥσω τοι καὶ πανόδυρτον, λαοπαθῆ τε σεβίζων,
ἁλίτυπά τε βάρη, πόλεως γέννας πενθητῆρος.
κλάγξω δ' αὖ γόον ἀείδακρυν. Ἰώνων γὰρ ἀπηύρα,
ἰώνων ναύφρακτος Ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος δυσδαίμονά τ' ἀκτάν.

ξερ. Οἰοῖ οἰ βόα καὶ πάντ' ἐκπεύθου.

χο. Ποῦ δὲ φίλων ἄλλος ὄχλος, ποῦ δέ σοι παραστάται,
οἷος ἦν Φαρανδάκης, Σύσας, Πελάγων, καὶ
Δοτάμας, ἠδ' Ἀγαβάτας, Ψάμμις, καὶ Σουσισκάνης
Ἐκβάτανα λιπών.

ξερ. Ὀλοὺς ἀπέλιπον τυρίας
ἐκ ναὸς ἔρροντας ἐπ' ἀκταῖς σαλαμινίσι στυφέλου

¶Πρόσφθογγον] προσφώνησιν σοι τοῦ νόστου πέμψω, τὴν κακοφάτιδα βοήν. ¶Μαριανδυνοῦ θρηνητῆρος] μαριανδυνοὶ αὐλοί, ἐπιτηδείως ἔχοντες πρὸς θρήνους. Καλλίστρατος ἐν δευτέρῳ περὶ Ἡρακλείας, Τιτυοῦ παῖδας εἶναί φησι δύο, Πελοπαν καὶ Μαριανδυνόν, ὃν κυνηγετοῦντα ἀπολέσθαι, καὶ μέχρι τοῦ νῦν μαριανδυνοὺς ἐν ἀκμῇ θέρους θρηνεῖν αὐτόν. τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιστα τὴν θρηνητικὴν αὐλῳδίαν, καὶ διδάξαι τὸν Ὕαγνιν τὸν Μαρσύου πατέρα. καὶ αὐλοὶ γάρ εἰσι μαριανδυνοὶ ἐπιτηδειότατοι εἰς τὰς θρηνῳδίας. ὅθεν καὶ τὸ περιφερόμενον, αὐλεῖ μαριανδυνοῖς καλάμοις κρούων ἰαστί. ¶Ἥσω] πέμψω θρηνῶν καὶ λίαν πανόδυρτον, σεβίζων καὶ σεβάζων τὰ λαοπαθῆ, καὶ τὰ τῶν λαῶν πάθη τῆς γέννας καὶ ἀναστροφῆς δηλαδὴ τῆς πόλεως τῆς πενθητῆρος καὶ τῆς ἀξίας πένθους· τὰ βάρη, καὶ τὰ δυστυχήματα τὰ ἁλίτυπα, τὰ τῇ θαλάσσῃ τυφθέντα. λέγει δὲ τὰ σώματα τῶν περσῶν. ¶Ἰώνων γὰρ ἀπηύρα ὁ Ἄρης] καὶ γὰρ τῶν ἰώνων ὁ ναύφρακτος ὁ ἑτεραλκής, ὁ ἑτέροις ἀλκὴν καὶ βοήθειαν δούς, ἀπηύρα καὶ ἀφείλετο τὴν ἰσχὺν τῶν περσῶν, κερσάμενος καὶ κατακόψας αὐτοὺς εἰς πλάκα νυχίαν, ἤτοι νύκτα καὶ θάνατον γεγονυῖαν αὐτοῖς, εἰς δυσδαίμονά τε ἀκτήν, ἤγουν τὴν Σαλαμῖνα. Ἄλλως. ὁ ἀττικὸς στόλος ἀφείλετο τὴν περσῶν σωτηρίαν. ¶Ἄρης ἑτεραλκὴς] τουτέστι νικηφόρος. ¶Ὀλοὺς ἀπέλιπον] ὀλοὺς καὶ ὀλεθρίους ἀπέλιπον ἔρροντας καὶ φθειρομένους ἐκ ναὸς τυρίας καὶ φοινίσσης, ἐπὶ ταῖς τῆς σαλαμῖνος ἀκταῖς.

θανόντας ἐπ' ἀκτάς.

χο. Οἳ οἳ οἵ, ποῦ δέ σοι Φαρνοῦχος κ' Ἀειόμαρδός τ' ἀγαθός,
ποῦ δὲ Σεβάλκης ἄναξ, ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις καὶ Μασίστρης,
Ἀρτεμβάρης τ' ἠδ' Ὑσταίχμας· τάδε σ' ἐπανέρομαι.

ξερ. Ἰὼ ἰώ μοι μοι, τὰς ὠγυγίας κατιδόντες
στυγνὰς Ἀθάνας, πάντες ἑνὶ πιτύλῳ,
(ἓ ἓ ἓ) τλάμονες ἀσπαίρουσι χέρσῳ.

χο. Ἦ καὶ τὸν Περσῶν αὐτοῦ τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν
μυρία μυρία πεμπαστὰν Βατανώχου παῖδ', Ἄλπιστον
τοῦ Σησάμου τοῦ Μεγαβάτα,
Πάρθον τε, μέγαν τ' Οἰβάρην ἔλιπες ἔλιπες;

ξερ. Ὢ δαΐων. χο. Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

ξερ. Ἴυγγά μοι δῆτ' ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις,
ἄλαστα στυγνὰ πρόκακα λέγων. βοᾷ βοᾷ
μελέων ἔνδοθεν ἦτορ.

χο. Καὶ μὴν ἄλλο τι ποθοῦμεν· Μάρδων ἀνδρῶν μυριόν-(ταρχον
Ξάνθην, Ἄρειόν τ' Ἀγχάρην,
Διάιξίν τ' ἠδ' Ἀρσάκην ἱππιάνακτας.

¶Ἰὼ ἰώ μοι μοι] φεῦ φεῦ. τὰς ἀθλίας συγνότητος καὶ λύπης αἰτίας ἡμῖν γενομένας κατιδόντες οἱ Πέρσαι πάντες οἱ τλήμονες ἀσπαίρουσι καὶ ὑποχωροῦσι, καὶ θνήσκουσιν ἑνὶ πιτύλῳ, ἤγουν τῷ θορύβῳ τῆς μάχης καὶ τῇ κραυγῇ. ¶Ὀφθαλμὸν μυρία μυρία πεμπαστὰν] ἆρα καὶ τὸν ὀφθαλμὸν τὸν σὸν τὸν κατὰ πάντα πιστόν, τὸν πεμπαστὴν καὶ ἀριθμητὴν τῶν Περσῶν μυρία αὐτοῦ ἔλιπες ἔνθα καὶ οἱ λοιποί; ζητεῖς δὲ τὸν ὀφθαλμὸν πιστὸν λέγουσι διότι ὁ βασιλέως ὀφθαλμὸς ἀριθμεῖ τὰ στρατεύματα. πεμπάζω γὰρ τὸ ἀριθμῶ. κυρίως δὲ τὸ κατὰ πεντάδα ἀριθμῶ. οἱονεὶ μυριάδας ἀριθμοῦντα ὅλας καὶ ἡγεμονείας. οἱ Περσῶν γὰρ βασιλεῖς εἶχον δύο τινὰς οἷς ἐπέτρεπον τὴν τῶν κοινῶν ἐπιτήρησιν, οὓς βασιλέως ἐκάλουν ὀφθαλμούς. ¶Ὢ δαΐων] διὰ κοπετῶν πολεμίων κακῶν. ¶Ἴυγγά μοι] ὅτι φησὶν ὁ Ξέρξης πρὸς τὸν χορόν, ὅτι ἴυγγα καὶ φιλίαν καὶ ἡδονὴν τῶν ἀγαθῶν ἑταίρων μοι πρὸς αὐτὸν ὑπομιμνήσκεις, λέγων ἐμοὶ πρόκακα, ἤτοι τὰ προγεγονότα κακά. ἢ πρόκακα, ἀντὶ τοῦ ἁπλῶς κακά, μηδὲν τῆς προθέσεως σημαινούσης. τὸ δὲ ἄλαστα στυγνά, ἀντὶ τοῦ λύπης καὶ κατηφείας αἴτια κακὰ ἀνεπίληστα καὶ ἀεὶ μιμνησκόμενα. ¶Βοᾷ βοᾷ μελέων] πρὸς τό, κραδίη δέ οἱ ἔνδον ὑλάκτει. ¶Καὶ μὴν ἄλλο τι ποθοῦμεν] καὶ μὴν ποθοῦμεν ἔτι πρὸς τὸ μαθεῖν, τὸν μυριόνταρχον τῶν Μάρδων ἀνδρῶν. οὗτοι δὲ ἔθνος Περσικόν. ¶Ξάνθην, Ἄρειόν τ'] λείπει ὁ καί. ¶Ἱππιάνακτας] τοὺς ἄνακτας τῶν ἵππων.

Κιγδαγάταν καὶ Λυθίμναν, Τόλμον, αἰχμῆς ἀκόρεστον.
ξερ. Ἔταφον ἔταφον, οὐκ ἀμφὶ σκηναῖς
τροχηλάτοισιν, ὄπισθεν δ' ἑπόμενοι·
βεβᾶσι γὰρ οἵπερ ἀγρέται στρατοῦ, βεβᾶσιν, οἳ οἳ, νώνυμοι.
χο. Ἰὴ ἰὴ, ἰὼ ἰὼ ἰὼ ἰὼ δυσδαίμονες ἔθετ' ἄ-
ελπτον κακὸν διαπρέπον, οἷον δέδορκεν ἄτα.
ξερ. Πεπλήγμεθ', οἷαι δι' αἰῶνος τύχαι.
χο. Πεπλήγμεθ'· εὔδηλα γάρ, νέαι νέαι δύαι δύαι·
Ἰαόνων ναυβατᾶν κύρσαντες οὐκ εὐτυχῶς.
Δυσπόλεμον δὴ γένος τὸ Περσῶν.
ξερ. Πῶς δ' οὐ στρατὸν μὲν τοσοῦτον τάλας πέπληγμαι;
χο. Τί δ', οὐκ ὄλωλεν μεγάλα τὰ Περσῶν.
ξερ. Ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;
χο. Ὁρῶ, ὁρῶ. ξερ. Τόνδε τ' οἰστοδέγμονα.
χο. Τί τόδε λέγεις σεσωσμένον; ξερ. Θησαυρὸν βέλεσι.
χο. Βαιά γ' ὡς ἀπὸ πολλῶν. ξερ. Ἐσπανίσμεθ' ἀρωγῶν.
χο. Ἰαόνων λαὸς οὐ φυγαίχμας;

¶Ἔταφον ἔταφον] ἀπέθανον ἀπέθανον, οὐκ ἐπὶ ὀχημάτων ὄντες, ἀλλὰ γυμνοὶ καθεστηκότες. ἄλλως. οὐχὶ ἑπόμενοι ὄπισθεν ἐν σκηναῖς τροχηλάτοις, οἷον ἔθανον, οὐκ ἀχρημόνως δὲ ἐτάφησαν. ἔθος γὰρ ἦν τοῖς πέρσαις σκηνὰς τῶν ἁμαξῶν ἄνωθεν ποιουμένους, ἐπιφέρειν ἐκεῖσε τοὺς νεκρούς, καὶ οὕτως αὐτοὺς προπεμπομένους ἐθάπτειν. ¶Οἵπερ ἀγρέται στρατοῦ] οἱ ἄρχοντες. εἰ δὲ ἀκρέται, οἱ ἄκροι. Ἄλλως ἀγρέται, γράφεται καὶ ἀκρέται. ἔστι οὖν ἔσται ἀπὸ τοῦ ἄκρου· εἰ δὲ ἀγρέται, ἀπὸ τοῦ ἄγειν καὶ ἀγείρειν. ¶Οἳ, νώνυμοι] τὸ οἳ, θρηνητικῶς. ¶Οἷον δέδορκεν ἄτα] οἷον κακὸν ἡ ἄτη ἐφορᾷ. ¶Οἷαι δι' αἰῶνος τύχαι] γράφεται δαίμονες τύχαι. ¶Δυσπόλεμον] δυσπόλεμον ἄρα καὶ κακοτυχὲς καὶ ἄθλιον τὸ γένος τῶν περσῶν. Ἄλλως. δυσπόλεμον, κακωθὲν τῷ πολέμῳ καὶ δυστυχῆσαν. ¶Πῶς δ' οὐ στρατὸν μὲν τοσοῦτον] πῶς δὲ οὐχὶ κόπτομαι καὶ πέπληγμαι καὶ θρηνῶ, τοσοῦτον στρατὸν ὀλέσας; ¶Τί δ' οὐκ ὄλωλεν] εἰ μὲν εἰς τὸ τί δέ, στίξεις, συντακτέον οὕτως, τί δέ, οὐκ ὄλωλε τὰ μεγάλα τῶν περσῶν· εἰ δὲ καὶ εἰς τὸ οὐκ ὄλωλε, λείπει τὰ κακά. ἵνα ᾖ, τί δ' οὐκ ὄλωλεν ὁ στρατός· μεγάλα τῶν περσῶν τὰ κακά. ἢ οὕτως, τί δ' οὐκ ὄλωλεν, στικτέον ἐν τῷ, τί δέ. εἶτα, οὐχὶ τὰ μεγάλα τῶν περσῶν ὄλωλεν; ¶Ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς] οἶδεν; θεωρεῖς τὸ ἐπίλοιπον λείψανον τοῦ ἐμοῦ στόλου, ἤγουν τῆς ἐμῆς στρατείας, ἤτοι τὴν φαρέτραν τὴν ἀπολειφθεῖσαν ἀπὸ τῶν ἐμῶν ὅπλων. ¶Βαιά γ' ὡς ἀπὸ πολλῶν] ἤτοι, τὰ ἔσωθεν ἐγκεκρυμμένα, ὀλίγα εἰσὶν ὡς ἀπὸ πολλῆς πανοπλίας. καὶ εἶθ' οὕτως ἐπιφέρει τὸ ἑξῆς, ὀδυρόμενος καὶ λέγων, ὡς ἀπὸ πολλῶν ἐσπανίσμεθα βοηθῶν. ¶Ἰαόνων λαὸς] ὁ χορὸς ἐρωτηματικῶς φησὶ πρὸς τὸν Ξέρξην, ὁ χορὸς τῶν ἰαόνων καὶ τῶν ἀθηναίων οὐ φυ

γαίχμας ἐπινουφθίζων τῆ αἰχμῆ· τοῦτ' ἔστι πλοούμενος τὸν πόλεμον. ὁ δὲ Ξέρξης φησὶ πρὸς τὸν χορὸν, ἀγανόειός ἐστιν ὁ λαὸς τῶν ἰαόνων, ἤγουν θαυμαστὸς ὁ στρατὸς καὶ ἐπιτήδειος εἰς ἀνδρείαν. κατεῖδον δὲ βλάβην ἀνέλπιστον.

ξερ. Ἀγανόειος· κατεῖδον δὲ πῆμ' ἄελπτον.
χο. Τραπέντα ναύφραχτον ἔρξς ὅμιλον;
ξερ. Πέπλον δ' ἐπέρρηξ' ἀγ' ἐπὶ συμφορᾷ κακοῦ.
χο. Παπαῖ παπαῖ παπαῖ παπαῖ.
ξερ. Καὶ πλεῖον ἢ παπαῖ μὲν οὖν.
χο. Δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.
ξερ. Λυπρὰ, χάρματα δ' ἐχθροῖς.
χο. Καὶ σθένος δ' ἐκολούθη.
ξερ. Γυμνός εἰμι προπομπῶν.
χο. Φίλων ἄταισι ποντίαισι.
ξερ. Δίαινε δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι.
χο. Αἶ αἶ αἶ αἶ, δύα δύα. ξερ. Βόα νῦν ἀντίδουπά μοι.
χο. Δόσιν κακὰν κακῶν κακοῖς.
ξερ. Ἴυζε μέλος ὁμοῦ τιθείς. χο. Ὀτοτοτοῖ.
ξερ. Βαρεῖά γ' ἅδε ἁ συμφορά.
χο. Οἴμοι μάλα καὶ τόδ' ἀλγῶ.
ξερ. Ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν.
χο. Διαίνομαι γοεδνὸς ὤν. ξερ. Βόα νῦν ἀντίδουπά μοι.
χο. Μέλει πάρεστι δέσποτα. ξερ. Ἐπορθίαζε νῦν γόοις.

¶Τραπέντα ναύφραχτον] τοῦ Ξέρξου εἰπόντος ὅτι εἶδον πῆμα ἄελπτον, φησὶ πρὸς αὐτὸν ὁ χορὸς, τὸν ναυτικὸν ἡμῶν λαὸν τὸν ἡττηθέντα παρὰ τῶν ἰαόνων λέγεις παθεῖν πῆμα ἄελπτον; ὁ δὲ φησι πρὸς αὐτὸν, ὅτι τοσοῦτον ἔδοξε τοῦτο χαλεπὸν, ὥστε καὶ τὸν ἱματισμόν μου διέρρηξα ἐπὶ τῇ συμφορᾷ τούτου τοῦ κακοῦ. τοῦτο δὲ καὶ ὁ ἄγγελος προεῖπε. ¶Καὶ πλεῖον ἢ παπαῖ] ὑπερβαίνει θρήνων. ¶Καὶ σθένος δ' ἐκολούθη] τῶν περσῶν. ¶Δίαινε δίαινε πῆμα] δάκρυε τὸ ἀτύχημα. ¶Δόσιν κακὰν] ἤτοι, δίδου δόσιν κακὴν, ἤγουν δάκρυα, τοῖς κακοῖς τῶν ἐμῶν κακῶν. ἤτοι τῶν συμφορῶν καὶ δυστυχιῶν τῶν ἐμῶν. ¶Ιυζε μέλος ὁμοῦ τιθεὶς] ἤτοι συνηρμοσμένον καὶ ἁρμόζον τῇ ἐμῇ συμφορᾷ ἴυζε καὶ θρήνει. Αλλως. ὁμοῦ τιθεὶς, συντιθεὶς μέλος, θρήνει αὐτὸν ἐρρύθμως. ¶Ερεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν] τύπτε σεαυτὸν εἰς ἐμὴν χάριν. ¶Βόα νῦν ἀντίδουπά μοι] ἤτοι ἐναντία τῇ ἐμῇ βοῇ, τοῦτ' ἔστι, φώνει μοι φωνὰς ἀντηχούσας ταῖς ἐμαῖς φωναῖς. ¶Επορθίαζε νῦν γόοις] ἐπιχλευασμένως θρήνει.

χο. Ὀτοτοτοτοῖ. ξερ. Μέλαινα δ᾽ αὖ μεμίξεται
μοι καὶ στονόεσσα πλαγά.
ξερ. Καὶ στέρν᾽ ἄρασσε, κἀπιβόα τὸ Μύσιον.
χο. Ἀνία ἀνία.
ξερ. Καί μοι γενείου πέρθε λευκήρη τρίχα.
χο. Ἄπριγδ᾽ ἄπριγδα μάλα γοεδνά.
ξερ. Αὔτει δ᾽ ὀξύ. χο. Καὶ τάδε ἔρξω.
ξερ. Πέπλον δ᾽ ἔρεικε κολπίαν ἀκμῇ χερῶν.
χο Ἀνία ἀνία.
ξερ. Καὶ ψάλλ᾽ ἔθειραν, καὶ κατοίκτιζε στρατόν.
χο. Ἄπριγδ᾽ ἄπριγδα μάλα γοεδνά.
ξερ. Διαίνου δ᾽ ὄσσε. χο. Τέγγομαί τοι.
ξερ. Βόα νυν ἀντίδουπά μοι. χο. Οἶ οἶ οἶ οἶ.
ξερ. Αἰακτὸς ἐς δόμους κίε. χο. Ἰὼ ἰώ, Περσὶς αἶα δύσβατος.
ξερ. Ἰὼ δὴ κατ᾽ ἄστυ. χο. Ἰὼ δῆτα ναὶ ναί.
ξερ. Γοᾶσθ᾽ ἁβροβάται. χο. Ἰὼ ἰώ, Περσὶς αἶα δύσβατος.
ξερ. Ἢ ἢ ἢ ἤ, τρισκάλμοισιν, (ἢ ἢ ἢ ἤ) βάρεσιν ὀλόμενοι.
χο. Πέμψω σε δυσθρόοις γόοις.

¶Μέλαινα] πενθήρης. ¶Κἀπιβόα τὸ Μύσιον] οἱ γὰρ Μυσοὶ καὶ οἱ Φρύγες μάλιστα εἰσὶ θρηνητικοί. ¶Καί μοι γενείου] λείπει ἔξωθεν τὸ κόπτε, ἢ τίλλε. ἤγουν, τίλλε καὶ τὴν λευκήρη καὶ πεπολιωμένην καὶ γηραιὰν τρίχα τοῦ σοῦ γενείου, δι᾽ ἐμὴν χάριν. Ἄλλως. πέρθε. οἱ δὲ χάροπες γράφουσιν, ἀμαθεῖς τοῦ μέτρου. ¶Ἄπριγδ᾽ ἄπριγδα] ὁ χορὸς, εἰπόντος τοῦ Ξέρξου, τίλλε τὴν σὴν γενειάδα, φησὶν, ἀπρὶξ, καὶ δι᾽ ὅλου, μάλα γοεδνά, καὶ λίαν λυπηρῶς καὶ γοερῶς τίλλω τὰς τρίχας τοῦ γενείου μου. ἔστι δὲ τὸ ἄπριγδ᾽ ἄπριγδα, ἐπιφώνημα καὶ ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας. ἀντὶ τοῦ, ἐπιτεταμένως καὶ ἀπρὶξ καὶ οἷον ἐμμανῶς τίλλε τὰς τρίχας. ¶Γοεδνά] ἤτοι ἔδνα καὶ δῶρα τοῖς γόοις καὶ τοῖς θρήνοις διδόμενα. συνήθης γὰρ τοῖς θρηνοῦσι τίλλειν τὰς ἑαυτῶν τρίχας. ¶Καὶ ψάλλ᾽ ἔθειραν] ἀπὸ τοῦ ψάλλειν τοῦ σημαίνοντος τὸ κόπτειν, λέγεται καὶ χειροψάλας Διόνυσος, ὁ τίλλων τὰ μόρια τῶν γυναικῶν. ¶Γοᾶσθ᾽ ἁβροβάται] ἤτοι Πέρσαι τρυφηλοὶ καὶ ἁβρῶς βαίνοντες, ὀδύρεσθε. ¶Δύσβατος] δύσβατόν φησι τὴν Περσίδα, οὐχ ὡς σκληρὰν καὶ δύσκολον εἰς ἔμβασιν, ἀλλ᾽ ὡς ἐπὶ κακῷ καὶ δυστυχίᾳ βαινομένην τῷ Ξέρξῃ. ¶Ἢ ἢ ἢ ἤ] φεῦ οἱ ὀλόμενοι ταῖς ἀπὸ τοῦ βάρεος ναυσὶ ταῖς τρισκάλμοις. ¶Πέμψω σε] προπέμψω.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ τραγῳδίας ἣ ἐπιγράφεται Ἀγαμέμνων.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν, τῇ Κλυταιμνήστρᾳ, εἰ πορθήσοι τὸ Ἴλιον, ὑπέσχετο τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα ἵνα τηροίη τὸν πυρσόν· καὶ ὁ μὲν ἰδὼν ἀπήγγελεν, αὐτὴ δὲ τὸν τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρσοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται, καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται. εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασσάνδρα. αὐτὸς μὲν οὖν προέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ· Κασσάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον, καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται, ὡς καὶ ἔκπληξιν καὶ οἶκτον ἱκανὸν ἐμποιεῖν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασσάνδρας σιωπήσας θάνατον, νεκρὰν αὐτὴν ὑπέδειξε· πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν, ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως, ἑνὶ κεφαλαίῳ, τὴν μὲν, τῇ ἀναιρέσει Ἰφιγενείας· τὸν δὲ, ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς. ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους, ὀλυμπιάδι εἰκοστῇ ὀγδόῃ, ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

Τὰ τοῦ δράματος πρόσωπα.

Φύλαξ, Χορός, Ἄγγελος, Κλυταιμνήστρα, Ἠλέκτρα, Ταλθύβιος κῆρυξ, Ἀγαμέμνων, Κασσάνδρα, Αἴγισθος. προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩδία Ἀγαμέμνων.

Φύ. ΕΟΥΣ μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
Θ φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς, φέρουσαν ἐκ Τροίας φάτιν,
ἁλώσιμόν τε βάξιν. ὧδε γὰρ κρατεῖν
γυναικὸς ἀνδρόβουλον ἐλπίζων κέαρ.
εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
ἐμὴν, φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ,
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ, vnde est minuritio apud Cic.
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων,
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων,

¶ Φρουρᾶς ἐτείας μῆκος] τὴν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς. γράφεται καὶ, μῆκος δ' ἣν κοιμώμενος. ¶ Κοιμώμενος] τὸ κοιμώμενος οὐκ ἐπὶ ὕπνου (πῶς γὰρ ἂν καὶ φρουροῖ καὶ ἄστρα βλέποι ὁ ὑπνῶν;) ἀλλ' ἐπὶ ἁπλῆς ἀνακλίσεως· ἵνα ᾖ ὁ φύλαξ ὥσπερ κοιμώμενος κατὰ καὶ κύων ἐν φυλακῇ νυκτερινῇ. ¶ Ἄγκαθεν] κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἀνέκαθεν. τοῦτ' ἔστιν, ἄνωθεν, ἐξ ἀρχῆς. ¶ Κυνὸς δίκην] διὰ τὸ φυλακτικόν τε καὶ φιλοδέσποτον. ¶ Δυνάστας] τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημαίνειν τοὺς καιρούς. ¶ Ἀνδρόβουλον] τὸ μείζονα ἢ κατὰ γυναῖκα βουλευόμενον, γενναῖον. ἢ, κατὰ ἀνδρὸς βουλευόμενον. ¶ Φόβος γὰρ] ἢ παρέλκει ὁ γὰρ, ἢ λείπει τὸ ἀλύων. ¶ Οἴκου τοῦδε] οἴκου διαπονουμένου οὐχ ἄριστα ὡς τὸ πρόσθεν.

εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
φάος πιφαύσκων, καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν. ἰοὺ ἰού.
Ἀγαμέμνονος γυναικὶ σημαίνω τορῶς,
εὐνῆς ἐπαντείλασαν ὡς τάχος, δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει.
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι,
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν. οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν· ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ, κ' οὐ μαθοῦσι λήθομαι.
Χο. Δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου μέγας ἀντίδικος
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς, ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν, στόλον Ἀργείων χιλιοναύτην
τῆσδ' ἀπὸ χώρας ἦραν, στρατιῶτιν ἀρωγὰν,

¶ Ὦ χαῖρε] δεῖ διαστήματος ὀλίγου ἐνταῦθα, εἶτα ἀνακραγεῖν, ὡς θεασάμενον τὸ πυρσόν. ¶ Νυκτὸς, ἡμερήσιον] ἐν νυκτὸς ἡμέραν ἡμῖν διδούς. ¶ Τορῶς] μεγαλοφώνως. ¶ Ἐπαντείλασαν] ὡς ἐπὶ ἄστρου ἢ σελήνης. ¶ Πρέπει] διαπρεπῶς σημαίνει. ¶ Φροίμιον χορεύσομαι] πρὸ τῆς Κλυταιμνήστρας. ¶ Θήσομαι] οἰκειώσομαι. ¶ Τρὶς ἓξ] Παροιμία ἐπὶ τῶν ἄκρως εὐτυχούντων. ἐπεὶ τοῖς κυβευταῖς οὐκ ἔστι πλείω τούτων ἀναβολοῦσαι. ἔστι δὲ ἡ παροιμία, ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. ¶ Βοῦς ἐπὶ γλώσσῃ μέγας] παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι. Ἄλλως. παροιμία ἐπὶ τῶν ἀλάλων. ἢ, βάρος ἐπίκειται. ἢ, φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι. ¶ Ἀντίδικος] ἀντὶ τοῦ ἐχθρὸς, ἀπὸ τῶν ἐν ταῖς δίκαις ἐχθρῶν. ¶ Χιλιοναύτην] γράφεται καὶ ἴλιον αὐτάν.

μέγαν ἐκ θυμοῦ κλάζοντες ἄρη,
τρόπον αἰγυπιῶν, οἵτ' ἐκπατίοις
ἄλγεσι παίδων, ὕπατοι λεχέων στροφοδινοῦνται,
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι, δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·
ὕπατος δ' ἀΐων, ἤ τις Ἀπόλλων,
ἢ Πὰν, ἢ Ζεὺς, οἰωνόθροον γόον ὀξυβόαν
τῶνδε μετοίκων, ὑστερόποινον πέμπει παραβᾶσιν ἐρινύν.
οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς, πολυάνορος ἀμφὶ γυναικὸς,
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου,
διακναιομένης τ' ἐν προτελείοις
κάμακος, θήσων Δαναοῖσι,
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπη νῦν,
ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκλαίων, οὔθ' ὑπολείβων,
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.

¶Ἐκ θυμοῦ κλάζ.] οὐ γὰρ γλώσσῃ, ἀλλ' ἔργῳ θυμούμενοι. ¶Οἵτ' ἐκπατίοις] οἵτινες ὕπατοι ὄντες, ὀλέσαντες δὲ τὸν πόνον τῶν ὀρταλίχων, τὸν ἐν τοῖς δεμνίοις τηρούμενον, ἐπὶ τῶν λεχέων στροφοδινοῦνται. Ἄλλως. ἐκπατίοις, τοῖς ἔξω τοῦ ὁδοῦ. πάτος γὰρ ἡ ὁδός. ἢ ἐκπατίοις λεχέων, ἀντὶ τοῦ, τοῖς ἔξω τῆς οἰκίας αὐτῶν. τὸ δὲ ὅλον, οἵτινες ἀπολέσαντες τοὺς πόνους τῶν ὀρταλίχων τῶν ἐν τοῖς δεμνίοις τηρουμένων (οὕτω γὰρ ὤφειλεν εἰπεῖν) στροφοδινοῦνται ἐν ἄλγεσι τῶν παίδων ἐκπατίοις, ὕπατοι, ἤγουν ὑπεράνω τῶν λεχέων, πετόμενοι τοῖς πτέρυξιν αὐτῶν. δέον δὲ εἰπεῖν ἐκπατίων παίδων, ἐκπατίοις εἶπε, πρὸς τὸ ἄλγεσι. ¶Ὀρταλίχων] τῶν μηδέπω πεπτερωμένων νεοττῶν. ¶Τῶνδε μετοίκων] ἐπὶ τῶν μετοικισθέντων νεοσσῶν. ¶Παραβᾶσι] τοῖς παραβᾶσι καὶ μετοικίσασιν αὐτούς. ¶Πολυάνορος ἀμφὶ γυν.] τῆς πολλοὺς μνηστῆρας ἐσχηκυίας. ¶Καὶ γυιοβαρῆ] βαρέα καὶ μὴ ἐῶντα διαναστῆναι τοὺς πίπτοντας. ¶Διακναιομένης] διακναιούσης. ¶Ἐν προτελείοις] κυρίως ταῖς πρὸ γάμου θυσίαις, νῦν δὲ, ταῖς πρὸ τῆς ἁλώσεως μάχαις. ¶Ἔστι δ' ὅπη] παρά τι, Καὶ τὸ μὲν ὡς κα πέλει, τὼς ἔσται. ¶Οὔθ' ὑποκλαίων] ὅ τις λέγεται. ¶Ἀπύρων ἱερῶν] τῶν θυσιῶν τῶν μοιρῶν καὶ τῶν ἐρινύων, ἃ καὶ νηφάλια καλεῖται.

ἡμεῖς δ' ἀτίτᾳ σαρκὶ παλαιᾷ
τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες μίμνομεν, ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
ὅτε γὰρ νεαρὸς μυελὸς στέρνων ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, ἄρης δ' οὐκ ἔνι χώρᾳ,
τόθ' ὑπέργηρων φυλλάδος ἤδη
κατακαρφομένης, τρίποδας μὲν ὁδοὺς
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων,
ὄναρ ἡμερόφαντον ἀλαίνει. σὺ δὲ Τυνδάρεω
θύγατερ βασίλεια Κλυταιμνήστρα,
τί χρέος, τί νέον, τί δ' ἐπαισθομένη, τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα θυοσκεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων, ὑπάτων, χθονίων,
τῶν τ' οὐρανίων, τῶν τ' ἀγοραίων βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίσματος ἁγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ. τούτων λέξασ' ὅ,τι καὶ δυνατὸν
καὶ θέμις αἰνεῖν, παίων τε γενοῦ τῆσδε μερίμνης,
ἣ νῦν ποτὲ μὲν κακόφρων τελέθει,
ποτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ'
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον,
τὴν θυμοβόρον λύπης φρένα.
κύριός εἰμι θροεῖν ὅδιον κράτος,
αἴσιον ἀνδρῶν ἐκτελέων. ἔτι γὰρ θεόθεν καταπνεύει πειθὼ

¶Οὐκ ἔνι χώρᾳ] τῷ τόπῳ ἐκείνῳ. ¶Ἀλαίνει] ἀλᾶται. ¶Τί χρέος] διατί. ¶Χρίσματος ἁγνοῦ] τοῦ ἐλαίου. ¶Μυχόθεν] λείπει κομιζομένων. ¶Ποτὲ μὲν] ἔσθ' ὅτε μέν. ¶Τὴν θυμοβόρον] ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός. ¶Κύριός εἰμι θροεῖν] δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσιν. ¶Ὅδιον] τὸ ἐν τῇ ὁδῷ ὀφθέν. ¶Θεόθεν καταπνέει] πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν, καὶ λέγειν ὅτι εὖ πράξουσιν οἱ Ἀτρεῖδαι ὅσον ἀπὸ τοῦ σημείου.

μολπὰν, ἀλκὰν σύμφυτος αἰών,
ὅπως ἀχαιῶν δίθρονον κράτος, ἑλλάδος ἥβας,
ξύμφρονα ταγὰν, πέμπη ξὺν δορὶ δίκας πράκτορι
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν.
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς,
ὅ, τ' ἐξόπιν ἀργίας φανέντες ἴκταρ μελάθρων,
χερὸς ἐκ δοριπάλτου, * παμπρέποις ἐν ἕδραισι,
βοσκόμενοι λαγίναν ἐρικύμονα φέρβοντο γένναν,
βλαβέντα λοισθίων δρόμων.
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς
Ἀτρείδας μαχίμους, ἐδάη λαγοδαίτας
πομπούς τ' ἀρχούς. οὕτω δ' εἶπε τεράζων,
χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ
μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον. οἷον μή τις ἄτα
θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας
στρατωθέν. οἴκῳ γὰρ ἐπί- φθονος Ἄρτεμις ἁγνὰ,
πτανοῖσι κυσὶ πατρὸς, αὐτότοκον πρὸ λόχου
μογερὰν πτᾶκα θυομένοισιν· στυγεῖ δὲ δεῖπνον αἰετῶν.
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

¶Σύμφυτος αἰὼν] ὁ γὰρ σύμφυτός μοι αἰὼν, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ, μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ· ὅ ἐστιν, εἰ καὶ γέρων εἰμὶ, ὅμως μέλψω τὰ γενόμενα. πέποιθα γὰρ ὅτι εἰς πέρας αὐτὰ ἄξουσιν οἱ θεοί. ¶Ἑλλάδος ἥβας] τοὺς κρατοῦντας τὴν ἑλληνικὴν ἥβην, καὶ τὴν ὁμόφρονα περὶ τὰ τακτικά. λέγει δὲ τοὺς Ἀτρείδας. ¶Δίκας πράκτορι] τῷ δίκην εἰσπραξομένῳ. ¶Ὅ, τ' ἐξόπιν ἀργίας] ὁ ἐξόπισθεν λευκός. ὅ ἐστιν ὁ πύγαργος. ¶Παμπρέποις] τοῖς βασιλείοις. ¶Λαγίναν γένναν] τὸν λαγωόν. ¶Ἐρικύμονα] πολυκύμονα. ¶Βλαβέντα] πρὸς τὸ σημαινόμενον τὸ βλαβέντα. ¶Αἴλινον] ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνου αὐτὸν λέγε. ¶Τεράζων] τὰ τέρατα διηγούμενος. ¶Κτήνη] κτήματα. ¶Μήτις ἄτα] μόνον μὴ προτυπὲν ὑπὸ θεῶν τὸ στρατευθὲν τῆς Τροίας στόμιον. ὅ ἐστι, τὸ ἐπὶ βλάβῃ Τροίας στρατευθὲν ἄτη σκοτίσῃς. ¶Οἴκῳ γὰρ] τῷ γὰρ οἴκῳ τῶν κυνῶν Διὸς, ὅ ἐστι τῶν αἰετῶν, ὀργίζεται, Ἄρτεμις δὲ τὸν κύοντα τὸν λαγωὸν ἀποκτεῖναι, λοχεία γάρ ἐστιν ἡ θεός. ¶Αὐτότοκον] σὺν αὐτῷ τόκῳ. ¶Πτῶκα] τὸν λαγωόν.

τόσον περ εὔφρων ἁ καλὰ
δρόσοισιν ἀέπτοισι μαλερῶν ὄντων,
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι, τερπνὰ
τούτων αἰτεῖ ξύμβολα φάναι,
δεξιὰ μὲν, κατά- μομφα δὲ φάσματα στρουθῶν.
ἰήιον δὲ καλέω παιᾶνα, μή τινας ἀντιπνόους
Δαναοῖς χρονίας ἐχενῇδας ἀπλοίας τεύξῃ,
σπευδομένα θυσίαν ἑτέραν, ἄνομόν τιν', ἄδαιτον,
νεικέων τέκτονα σύμ- φυτον, οὐ δεισήνορα. μίμνει
γὰρ φοβερὰ παλίνορσος οἰκονόμος δολία
μνάμων μῆνις τεκνόποινος. τοιάδε Κάλχας ξὺν
μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις,
τοῖς δ' ὁμόφωνον. αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
Ζεὺς, ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐ- τῷ φίλον κεκλημένῳ,
τοῦτό νιν προσεννέπω. οὐκ ἔχω προσεικάσαι,
πάντ' ἐπισταθμώμενος, πλὴν Διὸς, εἰ τόδε μάταν

¶Δρόσοισιν] τοῖς νεογνοῖς· χωρὶς δὲ αὖ τίρσαι. ¶Αέπτοισι] τοῖς ἕπεσθαι τοῖς γονεῦσι μὴ δυναμένοις. Ἄλλως. τοῖς μὴ δυναμένοις πτῆναι. ¶Μαλερῶν] φθαρτικῶν. ¶Ξύμβολα φάναι] τὰ σύμβολα αἰτεῖ με φάναι. ¶Δεξιὰ μὲν, κατάμομφα δὲ φάσματα] δεξιὰ διὰ τὴν νίκην, καταμόμφα διὰ τὸν χόλον Ἀρτέμιδος. ¶Στρουθῶν] τῶν ἀετῶν. ¶Ἰήιον δὲ καλέω] ὡς μάντις. ¶Ἀπλοίας τεύξῃ] ἡ Ἄρτεμις. ¶Ἄδαιτον] ἣν οὐδεὶς ὀδαίσει. ¶Σύμφυτον] συγγενικόν. ¶Οὐ δεισήνορα] οὐ φοβουμένην ἢ οὐ δείσασαν τὸν ἄνδρα. ¶Παλίνορσος] ἡ ἐξ ὑστέρου ὁρμωμένη. ¶Ξὺν μεγάλοις ἀγαθοῖς] διὰ τὴν νίκην. ¶Ὁμόφωνον] ὁμοφώνως. ¶Ζεὺς, ὅστις] διάφορος γάρ ἐστιν ἡ περὶ τοῦ θείου δόξα. ¶Οὐκ ἔχω προσεικάσαι] ἐγὼ, φησὶ, πάντα ἐρευνῶν καὶ πάντα ἐξετάζων ὡς ἐν σταθμῷ τινι, οὐκ ἔχω ὅμοιόν τι τῷ Διὶ, εἰ χρὴ ἀληθῶς ἀποβαλεῖν ἀπὸ τῆς φροντίδος καὶ τοῦ λογισμοῦ μάταιον ἄλλο ἄχθος. τὸ γὰρ περί τινων ἄλλων διαλογίζεσθαι, μάταιόν ἐστιν ὄντως ἄχθος. ἡ δέ γε περὶ θεοῦ ἔννοια καὶ τὸ διαμνήμης ἐκεῖνον ἔχειν ἀεὶ, οὐ μόνον ἄχθους παντός ἐστιν ἀπηλλαγμένον, ἀλλὰ καὶ χαρᾶς ἀφάτου τὴν καρδίαν πληροῖ. ὡς καὶ Εὐριπίδης φησὶν, ἦ μέγα μοι τὰ θεῶν μελεδήματα, ὅταν φρένας ἔλθῃ, λύπας παραιρεῖ. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ, ἐμνήσθην τοῦ θεοῦ, καὶ εὐφράνθην. ταῦτα δὲ ἄγαν ἐστὶν εὐσεβῆ. ¶Εἰ τόδε μάταν] εἰ τὸ τῆς ματαιότητος ὀφείλει τις ἀποσείσασθαι τῆς γνώμης, Δία νομιζέτω.

Nota

ἀπὸ φροντίδος ἄχθος   χρὴ βαλεῖν ἐτητύμως·
οὐδ' ὅστις πάροιθεν ἦν μέγας
παμμάχῳ θράσει βρύων,   οὐδὲν τι λέξαι, πρὶν ὤν.
ὃς δ' ἔπειτ' ἔφυ, τρια-   κτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως   ἐπινίκια κλάζων,
τεύξεται φρενῶν τὸ πᾶν.   τὸν φρονεῖν βροτοὺς ὁδώ-
σαντα, τῷ πάθει μαθὼν   θέντα κυρίως ἔχειν.
στάζει δ' ἔνθ' ὕπνῳ πρὸ καρδίας   μνησιπήμων πόνος.
καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις, βιαίως   σέλμα σεμνὸν ἡμένων.
καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς   νεῶν ἀχαϊκῶν
μάντιν οὔτινα ψέγων   ἐμπαίοις τύχαισι συμπνέων.
εὖτ' ἀπλοίᾳ κεναγγεῖ   βαρύνοντ' ἀχαϊκὸς λεώς,
χαλκίδος πέραν ἔχων παλιρρό-   θοις ἐν Αὐλίδος τόποις·
πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες,   δύσορμοι βροτῶν ἄλαι,
ναῶν καὶ πεισμάτων ἀφειδεῖς,
παλιμμήκη χρόνον τιθεῖσαι τρίβῳ,
κατέξαινον ἄνθος ἀργείων.   ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ   βριθύτερον πρόμοισι
μάντις ἔκλαγξε, προφέρων
ἄρτεμιν, ὥστε χθόνα βάκτροις

¶Ἦν μέγας] διὰ τοὺς τιτᾶνας. ¶Θράσει βρύων] ὁ Τυφώς. ¶Τριακτῆρος] νικητοῦ· ἐκ μεταφορᾶς τῶν ἐν τοῖς πεντάθλοις ἀποτριαζόντων ἐπὶ ἐλπίδι νίκης. ¶Τεύξεται φρενῶν τὸ πᾶν] ὁλοσχερῶς φρόνιμος ἔσται. ¶Τῷ πάθει μαθὼν] παθὼν δέ τι νήπιος ἔγνω. ¶Πρὸ καρδίας μνησιπήμων] τῷ ἁμαρτάνοντι τοῦτο συμβαίνει. ¶Σέλμα] τὸν ζυγόν. ὑψίζυγος γὰρ ὁ ζεύς. ¶Ἡγεμὼν] μείζων γὰρ Μενελάου. ¶Ἐμπαίοις] ἐμπεσούσαις. ¶Συμπνέων] συμφρονῶν καὶ οὐκ ἀνθιστάμενος. ¶Κεναγγεῖ] τῶν· ἐξέφθιτο ἤια πάντα. ¶Ἔχων] ἀντὶ τοῦ ἐχόμενος. ¶Κακόσχολοι] ἐπὶ κακῷ ποιοῦσαι σχολάζειν. ¶Βροτῶν ἄλαι] ἐκ τοῦ Ὁμηρικοῦ, καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες. ¶Νηῶν καὶ πεισμάτων] πάλιν ἐκ τοῦ Ὁμηρικοῦ, Καὶ δὴ δοῦρα σέσηπε νεῶν. ¶Τρίβῳ] διατριβῇ. ¶Βριθύτερον] ἐπαχθέστερον.

ἐπικρούσαντας Ἀτρείδας δάκρυ μὴ κατασχεῖν.
ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν,
βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι, βαρεῖα δ' εἰ τέκνον
δαΐξω, δόμων ἄγαλμα, μιαίνων παρθενοσφάγοισι
ῥεέθροις πατρῴους χέρας,
βωμοῦ πέλας. τί τῶνδ' ἄνευ
κακῶν, τί; πῶς λιπόναυς γένωμαι,
ξυμμαχίας ἁμαρτών; παυσανέμου γὰρ θυσίας
παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν
θέμις· εὖ γὰρ εἴη. ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
φρενὸς πνέων δυσσεβῆ τροπαίαν, ἄναγνον, ἀνίερον,
τόθεν τὸ παντότολμον φρονεῖν μετέγνω βροτοῖς.
θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ πρωτοπήμων.
ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς
γυναικοποίνων πολέμων ἀρωγὰν καὶ προτέλεια ναῶν.
λιτὰς δὲ καὶ κληδόνας πατρῴους
παρ' οὐδὲν αἰῶνα παρθένιον ἔθεντο φιλόμαχοι βραβῆς.
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
δίκαν χιμαίρας ὕπερθεν βωμοῦ
πέπλοισι περιπετῆ, παντὶ θυμῷ προνωπῆ
λαβεῖν ἀέρδην, στόμα- τός τε καλλιπρώρου

¶ Ἄναξ δ' ὁ πρέσβυς τόδ'] ἡ ἀπόδοσις τοῦ ἐπεὶ δὲ, ἐνταῦθα ἐστὶν, οὕτως, ἐπεὶ δὲ ὁ μάντις εἶπε τὸ καὶ τὸ, ὁ ἄναξ δὲ ὁ πρέσβυς εἶπε τόδε. καὶ περιττός ἐστιν ὁ δὲ σύνδεσμος ἀττικῶς. ἐπὶ δὲ πικροῦ, ὁ ἄναξ ὁ πρέσβυς τόδ' εἶπεν. ¶ Κὴρ] τιμωρία. ¶ Τέκνον δαΐξω] πλείων οἶκτος διὰ τὸ τέκνον. ¶ Ὀργᾷ] τῷ ἐπιτρόπῳ αὐδᾷ ὁ μάντις. ¶ Περιόργως] ἐπιθυμητικῶς. ¶ Εὖ γὰρ εἴη] καλῶς ἀποβαίη. ¶ Ἀνάγκας ἔδυ λέπαδνον] ἀντὶ τοῦ, ἠναγκάσθη ποιεῖν τροπαίαν μεταβολήν. ¶ Τὸ παντότολμον] ὅθεν ἔγνω πάντα τοὺς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀνάγκης δηλονότι. ¶ Αἰσχρόμητις] αἰσχρὰ ποιεῖν ἀναγκάζουσα. ¶ Παρακοπὰ] ἡ τοῦ νοῦ παρακοπή. ¶ Πρωτοπήμων δὲ] ἡ μείζων τῶν ἄλλων πημάτων. ¶ Λιτὰς δὲ] κἂν διὰ τὰς λιτὰς ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα, παρ' οὐδὲν ἡγήσαντο τὴν ζωὴν αὐτῆς. ¶ Περιπετῆ] περιεσκεπασμένην. ¶ Προνωπῆ] προνενευκυῖαν. ¶ Ἀέρδην] βασταχτικῶς. ¶ Καλλιπρώρου] εὐμόρφου.

φυλακὰν κατασχεῖν, φθόγγον ἀραῖον οἴκοις,
βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει·
κρόκου βαφὰς δ' ἐς πέδον χέουσ', ἔβαλλ' ἕκαστον
θυτήρων ἀπ' ὄμματος
βέλει φιλοίκτῳ, πρέπουσά θ' ὡς ἐν γραφαῖς,
προσεννέπειν θέλου- σ', ἐπεὶ πολλάκις πατρὸς κατ' ἀν-
εὐτραπέζους ἔμελψεν. (δρῶνας
ἁγνᾷ δ' ἀταύρωτος αὐδᾷ πατρὸς φίλου
τριτόσπονδον εὔποτμον αἰῶνα φίλως ἐτίμα.
τὰ δ' ἔνθεν, οὔτ' εἶδον, οὔτ' ἐννέπω·
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν
ἐπιρρέπει τὸ μέλλον· τὸ δὲ προκλύειν, ἐπεὶ
γένοιτ' ἂν ἡ λύσις, προχαιρέτω·
ἴσον δὲ τῷ προστένειν. τορὸν γὰρ ἥξει σύναρθρον αὐταῖς.
πέλοιτο δ' οὖν τἀπὶ τούτοις
εὔπραξις, ὡς θέλει τόδ' ἄγχιστον Ἀπίας
γαίας μονόφρουρον ἕρκος.
ἀγγ. Ἥκω σεβίζων σὸν Κλυταιμνήστρα κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου·
σὺ δ' εἴτε κεδνὸν, εἴτε μὴ πεπυσμένη,
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,

¶Βίᾳ χαλινῶν] τῇ βίᾳ καὶ τῷ ἀναύδῳ μένει τῶν χαλινῶν, τῶν μὴ ἐώντων αὐτὸν λαλεῖν. ¶Ὡς ἐν γραφαῖς] διὰ τὸ κάλλος, ἢ διὰ τὸ ἀφωνητεῖν. ¶Ἀταύρωτος] ἄζευκτος, παρθενική. ¶Τριτόσπονδον] πολλὰς θυσίας ποιοῦντα καὶ ἀπαρχὰς καὶ συμπόσια. ¶Εὔποτμον] ζηλωτὸν ἐποίει δι' ἑαυτῆς τὸν πατέρα. ¶Οὔτ' εἶδον] διὰ τὸ ἀπάνθρωπον εἶναι τὴν σφαγήν. ¶Τοῖς μὲν παθοῦσι] τοῖς μὲν πεπονθόσιν ἡ δίκη δίδωσι τὸ μαθεῖν. δίκην γὰρ δόντες, μανθάνουσι τὸ μέλλον. ¶Τῷ προστένειν] ὁ γὰρ προγινώσκων τὸ μέλλον, καὶ προστενάζει. ¶Τορὸν] φανερόν. τὸ πεπρωμένον φανερὸν ἥξει. ¶Εὔπραξις] εὐπραγία. ¶Τὸ δ' ἄγχιστον] τὸ συγγενικόν. ¶Μονόφρουρον] ἐπειδὴ μόνοι γέροντες ἐφύλασσον τὴν Ἑλλάδα. ¶Ἐρημωθέντος] ἤγουν ἐρήμου καταλειφθέντος, ὡς ἀποδημοῦντος τοῦ βασιλέως· παρόντος μὲν γὰρ, οὐ δεῖ συντυγχάνειν αὐτῇ.

κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.
κλ. Εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
ἀγ. Πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν.
Πριάμου γὰρ ἡρήκασιν ἀργεῖοι πόλιν.
κλ. Πῶς φής; πέφευγε τοὔπος ἐξ ἀπιστίας.
ἀγ. Τροίαν ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;
κλ. Χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλουμένη.
ἀγ. Εὖ γὰρ φρονούσης ὄμμα σοῦ κατηγορεῖ.
κλ. Τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;
ἀγ. Ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.
κλ. Πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;
ἀγ. Οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.
κλ. Ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;
ἀγ. Παιδὸς νέας ὥς, κάρτ' ἐμωμήσω φρένας.
κλ. Ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
ἀγ. Τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω. ἡ νὺξ ἡμέραν τίκτειν λέγετ.
κλ. Καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;
ἀγ. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν· Ἴδη μὲν, πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ φανὸν ἐκ νήσου τρίτον
ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο,
ὑπεὶρ Ἕλης τε πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
πεύκη, τὸ χρυσοφεγγὲς, ὥστις ἥλιος,
σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
ὁ δ' οὔτι μέλλων, οὐδ' ἀφρασμόνως ὕπνῳ
νικώμενος, παρῆκεν ἀγγέλου μέρος.
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' εὐρίπου ῥοὰς

¶Οὐδὲ σιγώσῃ] εἰ μὴ θέλεις εἰπεῖν, οὐ μέμψομαί σοι.
¶Παροιμία] παλαιὸς λόγος.
¶Ἕως γένοιτο] γένοιτο καλὴ ἡμέρα, ὥσπερ ἡ νύξ.
¶Μὴ δολ.] εἰ μήπω θεός με ἀπατᾷ.
¶Ἄπτερος] ἰσόπτερος, κούφη.
¶Ἑρμαῖον] ὄρος λήμνου ἐν ᾧ ἐτιμᾶτο ὁ ἑρμῆς.
¶Φανὸν] λαμπάδα.
Νωτίσαι] ὑπερβῆναι.
¶Ἰσχὺς] μεγίστη πεύκη, ἰσχὺς πυρός.

Μεσαπίου φύλαξι σημαίνει μολών.
οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
σθένουσα λαμπὰς δ' οὐδέ πω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας,
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός·
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρὰ πλέον καίουσα τῶν εἰρημένων.
λίμνην δ' ὑπὲρ γοργῶπιν ἔσκηψεν φάος,
ὄρος τ' ἐπ' αἰγίπλακτον ἐξικνούμενον,
ὤτρυνε θεσμὸν μὴ χρονίζεσθαι πυρός.
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει,
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτρον πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν, εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδ' ἔτυμοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτο σύμβολόν τε σοὶ λέγω
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
θεοῖς μὲν αὖθις ὦ γύναι προσεύξομαι.
κλ. Λόγους δ' ἀκοῦσαι τούσδε, κἀποθαυμάσαι

¶Μεσαπίου] μεσσάπιον, ὄρος μεταξὺ εὐβοίας καὶ βοιωτίας. ¶Θωμὸν] σωρόν. ¶Μαυρουμένη] σημείωσαι ὅτι ἀπέβαλε τὸ α διὰ τὸ μέτρον. ¶Πλέον καίουσα] ἡ τοῦ κιθαιρῶνος. ¶Αἰγίπλαγκτον] ὄρος μεγαειδές. ¶Πώγωνα] πώγωνα λέγει τὴν εἰς ὀξὺ λήγουσαν ἀκμὴν τοῦ πυρός· καὶ ὁ πώγων γὰρ εἰς ὀξὺ λήγει. ὥσπερ καὶ ἀλλαχοῦ αὐτὰ δὴ γνάθον τὴν ἀκμὴν εἴρηκε καὶ ὀξύτητα τῆς φλογός. σημείωσαι δὲ ὅτι ἐκ τούτου ὀνομάσθη παρὰ τοῖς μετεωρολόγοις πωγωνίας ἀστήρ. ¶Σαρωνικοῦ] κόλπος περὶ τροιζῆνα. ¶Κάτοπτρον] τὸ κατόψιον. ¶Αραχναῖον αἶπος] ὄρος ἄργους. ¶Οὐκ ἄπαππον] οὐ ξένον ἀλλὰ συγγενές.

διηνεκῶς θέλοιμ' ἄν, ὡς λέγοις πάλιν.
ἀγγ. Τροίαν ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
κλυ. Οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῷ κύτει
διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.
οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων, οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον.
τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν, ὧν ἔχει πόλις,
τάσσει πρὸς οὐδὲν ἐν μέρει τεκμήριον.
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον
ἐν αἰχμαλώτοις τρωϊκοῖς οἰκήμασιν,
νέουσιν ἤδη, τῶν ὑπαιθρείων πάγων,
δρόσων τ' ἀπαλλαγέντες ὡς δυσδαίμονες,
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς, θεῶν θ' ἱδρύματα,
οὐκ ἂν γ' ἑλόντες αὖθις αὖ θάνοιεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ
πορθεῖν ἃ μὴ χρή, κέρδεσιν νικωμένους.
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
κάμψαι διαύλου θάτερον κῶλον πάλιν·
θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις,

¶Φυταλμίων] ἐκ τοῦ φυτάλμιον διὰ τοῦ θα ἡ ἐτυμολογία· ἐκ τῆς φυτάλης δὲ γίνεται φυτάλμιος, ἤγουν φυτοσπόρος, ἢ μεταθέσει διὰ καλλιφωνίαν, φυλάλμιος.

¶Διαύλου θάτερον] ἐπειδὴ ὁ δίαυλος δύο εἶχε σταδίους, ὧν τὸ ἕτερον διῆλθον ἤδη, εἰς Τροίαν ἀνελθόντες, δεῖ λοιπὸν καὶ τὸ ἄλλον διελθεῖν, καὶ ὑπονοστῆσαι πρὸς τὸν οἶκον.

¶Πρόσπ.] πρόσφατα· νῦν, προσπαίσαντα καὶ προσκρούσαντα αὐτοῖς.

τὸ δ' εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν.
πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.
ἀγ. Γύναι κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια,
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι.
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.
χο. Ὦ Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία
μεγάλων κόσμων κτεάτειρα.
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν,
μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι μέγα δουλείας
γάγγαμον ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ,
τείνοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ, μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.
Διὸς πλαγὰν ἔχουσ' εἰπεῖν,
πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι
ὡς ἔπραξεν, ὡς ἔκρανεν.
οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'. ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἐγγόνοις ἀτολμήτων Ἄρη πνεόντων
μεῖζον ἢ δικαίως, φλεόντων δωμάτων ὑπέρφευ
ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπήμαντον ὥστε κ' ἀπαρκεῖν

¶Οὐκ ἄτιμος] τιμῇ μᾶλλον δὲ οἱ θεοὶ ἠμείψαντο ἡμᾶς. ¶Γάγγαμον] δίκτυον. ¶Τόξον] ἤγουν τὴν τιμωρίαν, μεταφορικῶς. ¶Ἀθίκτων] τῶν ἱερῶν. ¶Πέφανται] οἱ θεοί, φησί, πέφανται καὶ φανεροὺς ποιοῦσι τοὺς ἐκγόνους τῶν ἀσεβῶν τῶν πνεόντων ἄρη μείζω ἢ δικαίως κατὰ τῶν δωμάτων. τῶν ἀτολμήτων. ἤγουν ὑπὲρ τὸ δίκαιον μαχεσαμένων τοῖς ἱεροῖς οἴκοις τῶν θεῶν.

εὖ πραπίδων λαχόντα. οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ λακτίσαντι μεγάλα δίκας
βωμὸν, εἰς ἀφάνειαν. βιᾶται δ' ἁ τάλαινα πειθὼ
προβουλόπαις ἄφερτος, ἄτας.
ἄκος δὲ παμμάταιον οὐκ ἐκρύφθη. πρέπει δὲ φῶς,
αἰνολαμπὲς σίνος.
κακοῦ δὲ χαλκοῦ τρόπον τρίβῳ τε καὶ προσβολαῖς
μελαμπαγὴς πέλει δικαιωθεὶς, ἐπεὶ
διώκει παῖς ποτανὸν ὄρνιν,
πόλει πρόστριμμ' ἄφερτον ἐνθείς.
λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν·
τὸν δ' ἐπίστροφον τῶνδε φῶτ' ἄδικον, καθαιρεῖ.
οἷος καὶ Πάρις ἐλθὼν ἐς δόμον τὸν Ἀτρειδᾶν,
ᾔσχυνε ξενίαν τράπε- ζαν κλοπαῖς γυναικός.
λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον ἰλίῳ φθορὰν,
βέβακεν ῥίμφα διὰ πυλᾶν,
ἄτλητα τλᾶσα. πολὺ δ' ἔστενον
τόδ' ἐννέποντες δόμων προφῆται. (ρες.
ἰὼ ἰὼ δῶμα δῶμα καὶ πρόμοι, ἰὼ λέχος καὶ στίβοι φιλάνο-
πάρεστι σιγᾶς, ἄτιμος, ἀλοίδορος,
ἄδιστος, ἀφεμένων, ἰδεῖν. πόθῳ δ' ὑπερποντίας
φάσμα δόξει δόμων ἀνάσσειν.
εὐμόρφων δὲ κολοσσῶν ἔχθεται χάρις ἀνδρί.

¶Πειθὼ] ἡ δ' ἄτης πειθὼ ἄφερτος καὶ ἀφόρητος καὶ βαρεῖά ἐστιν, ἥ τις βιάζει αὐτοὺς, …σιαν δῆθεν τῷ πλουτῆσαι τοὺς παῖδας ποιουμένη. ¶Σίνος] τοῦτ' ἔστι σέλας. ¶Ἀντίφερνον] ἤγουν, ἀντὶ προικὸς φθορὰν καὶ ἀπώλειαν κομίσασα. ¶Ἀφεμένων] ἀφεμένων ἡμῶν τῆς σιγῆς, ὅ ἐστι, καὶ ἀφισταμένων τοῦ σιγᾶν, τοῦτ' ἔστι, καὶ παῤῥησιαζομένων, καὶ φθεγγομένων τι διὰ τὸ μὴ παρεῖναι τὴν δέσποιναν, ὅμως τῇ παλαιᾷ αἰδοῖ σώζομεν αὐτῆς τὴν παρουσίαν, καὶ πάρεστιν ἡμῖν ἰδεῖν ἥδε ἥτις ἐστὶν ἄτιμος, καὶ ἀλοίδορος. ἤγουν, νομίζομεν ὅτι συνεῖναι ἡμῖν αὐτὴν, καὶ τῆς παρ' ἡμῶν τιμῆς ἀπολαύειν.

ὀμμάτων δ' ἐν ἀχηνίαις ἔρρει πᾶσ' ἀφροδίτα.
ὀνειρόφαντοι δὲ πενθήμονες · πάρεισι δόξαι φέρου-
σαι χάριν ματαίαν. μάταν γὰρ εὖτ' ἂν
ἐσθλά τις δοκῶν ὁρᾶν, παραλλάξασα διὰ χερῶν,
βέβακεν ὄψις οὐ μεθύστερον,
πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις.
τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη,
τάδ' ἐστὶ, καὶ τῶνδ' ὑπερβατώτερα.
τὸ πᾶν δ' ἀφ' ἑλλάδος αἴας συνορμένοις
πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει.
πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
οὓς μὲν γὰρ ἔπεμψεν οἶδεν, ἀντὶ δὲ φωτῶν τεύχη,
καὶ σποδὸς, εἰς ἑκάστου τοὺς δόμους εἰσαφικνεῖται.
ὁ χρυσαμοιβὸς δ' ἄρης σωμάτων
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ ἰλίου φίλοισι πέμπει βαρὺ
ψῆγμα δυσδάκρυτον ἀντήνορος.
σποδοῦ γεμίζων τοὺς λέβητας εὐθέτου.
στένουσι δ' εὖ λέγοντες ἄνδρα τὸν μὲν, ὡς μάχης ἴδρις·
τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ' ἀλ-
λοτρίας διαὶ γυναικός. τάδε σῖγά τις βαΰζει.
φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει
προδίκοισιν ἀτρείδαις. οἱ δ' αὐτοῦ περὶ τεῖχος,
θήκας ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν·
ἐχθρὰ δ' ἔχοντας ἔκρυψεν.
βαρεῖα δ' ἀστῶν φάτις σὺν κότῳ.
δημοκράτου δ' ἀρᾶς τίνει χρέος.

¶Συνορμένοις] τῶν συνηγμένων ἀπὸ τῆς ἑλλάδος ἁπάντων ἑκάστου τοῖς οἴκοις ὀδυνηρὰ πένθησις διαπρέπει. ¶Ἀλλοτρίας] ὅτι δι' ἀλλοτρίαν ἀπώλοντο γυναῖκα, σωπηλῶς βοᾷ μετ' ὀργῆς, δίκην κυνός. ¶Τεῖχος] ὃ ἐποίησαν ἐν τῇ Τροίᾳ. βέλτιον δὲ, αὐτῆς τῆς Τροίας τὸ τεῖχος εἰπεῖν. τὸ δ' εὔμορφοι, πρὸς πλείονα οἶκτον προσέθηκε.

μένει δ' ἀκοῦσαί τι μου μέριμνα νυκτηρεφές.
τῶν πολυκτόνων γὰρ οὐκ ἄσκοποι θεοί.
κελαιναὶ δ' οὖν ἐριννύες χρόνῳ τυχηρὸν ὄντ' ἄνευ δίκας,
παλιντυχῆ τριβᾷ βίου τιθεῖσ' ἀμαυρόν, ἐν δ' ἀΐστοις
τελέθοντος οὔτις ἀλκά. τὸ δ' ὑπερκόπως κλύειν εὖ,
βαρύ· βάλλεται γὰρ ὄσσοις Διόθεν κεραυνός.
κρίνω δ' ἄφθονον ὄλβον. μήτ' εἴην πτολιπόρθης,
μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι.
πυρὸς δ' ὑπ' εὐαγγέλου πόλιν
διήκει θοὰ βάξις· εἰ δ' ἐτητύμως,
τίς οἶδεν· ἤ τοι θεῖόν ἐστι μή ψύθος.
τίς ὧδε παιδνὸς, ἢ φρενῶν κεκομμένος,
φλογὸς παραγγέλμασι νέοις πυρωθέντα καρδίαν,
ἔπειτ' ἀλλαγᾷ λόγου καμεῖν ἐν γυναικὸς αἰχμᾷ,
πρέπει, πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος
ἐπινέμεται ταχύπορος. ἀλλὰ ταχύμορον
γυναικοκήρυκτον ὄλλυται κλέος.

χο. Τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,
εἴτ' οὖν ἀληθεῖς, εἴτ' ὀνειράτων δίκην,
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας.
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος, οὔτε σοι δαίων φλόγα

¶Ψύθος] τὸ ψύθος σύστοιχον τῷ ψευδεῖ, ὡς καὶ τὸ ψεδρόν. ὅτι διαστοιχεῖ τὸ δ καὶ τὸ θ δῆλον. περισπᾶται δὲ τὸ ψῦθος. ¶Ὁ θῆλυς ὅρος] ἤγουν περιφραστικῶς ἡ γυνή, ὡς ταυτὸν ὂν γυναῖκα εἰπεῖν καὶ ὅρον αὐτῆς ὀνομάσαι. ¶Γυναικοκήρυκτον] τὸ φημιζόμενον ἀγαθὸν ὑπὸ τῶν γυναικῶν, ἀκύπαρκτόν ἐστι καὶ ταχέως φθειρόμενον καὶ οὐκ ἐπὶ πολὺ διαμένον.

ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός.
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων,
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
Χο. Ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.
ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός.
δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων, μιᾶς τυχών.
οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν, μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεὺς, ὁ Πύθιός τ' ἄναξ,
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη.
ἅλις παρὰ Σκάμανδρον ἦλθες ἀνάρσιος·
νῦν δ' αὖτε σωτὴρ ἴσθι κἀπαγώνιος
ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν φίλον κήρυκα, κηρύκων σέβας·
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
ἤ που πάλαι φαιδροῖσι τοισίδ' ὄμμασι
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
ἀλλ' εὖ νιν ἀσπάσασθε (καὶ γὰρ οὖν πρέπει,)
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον.

¶Δεκάτῳ] τινὲς μέμφονται τῷ ποιητῇ ὅτι αὐθημερὸν ποιεῖ τοὺς Ἕλληνας ἥκοντας. ¶Πολλῶν ῥαγεισῶν] ἡ λέξις ἐκ μεταφορᾶς τῶν ἀγκυρῶν, ὧν πολλῶν ῥαγεισῶν εἰς τὸ ὕδωρ, μία τις διασώζει τὴν ναῦν.

¶Κἀπαγώνιος] ἀπόμαχος.

¶Τιμάορον] βοηθόν.

¶Ἀντήλιοι] οἱ εἰς ἀνατολὴν ὁρῶντες.

¶Μακέλλῃ] σκάφ

βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα,
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ,
ἥκει· τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην,
τοῦ ῥυσίου θ' ἥμαρτε, καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθερισεν δόμον.
διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.
χλ. Κῆρυξ ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.
κή. Χαίρω· τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.
χλ. Ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;
κή. Ὥστ' ἐνδακρύειν γ' ὄμμασι χαρᾶς ὕπο.
χλ. Τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου.
κή. Πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.
χλ. Τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένος.
κή. Ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις.
χλ. Ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενὸς ἀναστένειν.
κή. Πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ;
χλ. Πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
κή. Καὶ πῶς ἀπόντων τυράννων ἔτρεις τινάς;
χλ. Ὡς νῦν τὸ σὸν δή, καὶ θανεῖν πολλὴ χάρις.
κή. Εὖ γὰρ πέπρακται. ταῦτα δ' ἐν πολλῷ χρόνῳ
τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν, ☞
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον; ☞
μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας

¶ Πάρις γὰρ] ἀπὸ κοινοῦ τὸ οὔτε λιπτέον καὶ εἰς τὸ Πάρις. συνυπακούεται γὰρ οὐκ ὢν ἐπαγόμενον. ¶ Τὸ δρᾶμα τοῦ πάθους πλέον] ὅτι δηλοῖ ὡς οὐ πλέον δέδρακεν ἢ πέπονθεν.

¶ Τοῦ ῥυσίου] τῆς ῥύσεως τῆς προῴας.

¶ Ἔθρισεν] ἐθέρισεν, ἔκειρε. καὶ ναῦς δὲ ἔθριξεν, ἀφεῖλεν. ἀφ' οὗ καὶ ἡ θριξ. καὶ Εὐριπίδης, ἰδὲ παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας. ¶ Ἀμάρτια] τὸν μισθὸν τῆς ἁμαρτίας.

¶ Ὡς νῦν τὸ σὸν] ὃ ἔστι τὸ εἰρημένον ὑπὸ σοῦ, τὸ, τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.

σπαρνὰς παρήξεις καὶ κακοστρώτους. τί δ' οὐ
στένοντες, οὐ λαχόντες ἤματος μέρος;
τὰ δ' αὖτε χέρσῳ καὶ προσῆν, πλέον στύγος·
εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν.
ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψάκαζον, ἔμπεδον σίνος
ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιὼν
ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών,
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος.
παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν,
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν.
τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν,
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου;
καὶ πολλὰ χαίρειν συμφοραῖς καταξιῶ.
ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ,
νικᾷ τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει.
ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις.
Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος,
θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος.
τοιαῦτα χρὴ κλύοντας, εὐλογεῖν πόλιν,
καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς, τάδ' ἐκπράξασα. πάντ' ἔχεις λόγον.
Χο. Νικώμενος λόγοισιν οὐκ ἀναίνομαι.
ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν

¶Σπαρνάς] αἱ ἀντὶ τοῦ σπανίως. καὶ τοῦτο γὰρ οὐ συνεχῶς ἀπηλαύομεν. τὸ δὲ παρήξεις, ἀντὶ τοῦ παραδρομάς· ἢ ἀπὸ τοῦ καταστρώματος τῶν νεῶν.

¶Ἔμπεδον σίνος] τὸ ἑδραῖον, ἤγουν τὸ περιβεβλημένον ἡμῖν κάλλος.

¶Τί τοὺς ἀνηλ.] χρὴ, κατὰ συνεκδοχήν, ἤγουν, τί δεῖ ψηφίζεσθαι περὶ τῶν ἀπολωλότων.

¶Τύχης παλιγκότου] ἐπὶ τῇ ἀποβολῇ τῶν ἀπολωλότων δεῖ τὸν ζῶντα ἀλγεῖν, καὶ πάλιν ἐπὶ ταῖς εὐπραγίαις χαίρειν.

¶Χάρις τιμήσεται] ἤγουν, ὁμολογήσουσι καὶ τῷ Διὶ χάριν τῷ τάδε διαπραξαμένῳ.

¶Οὐκ ἀναίνομαι] χαίρω ἐν τῷ μὴ ἀντιλογεῖν.

¶Ἡβᾷ τοῖς γέρ.] τοῦτ' ἔστιν, ἀκμάζει· ἐπιθυμοῦσι γὰρ μανθάνειν ὧν οὐκ εἰς πεῖραν ἦλθον.

εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.
κλ. Ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς,
φράζων ἅλωσιν ἰλίου τ' ἀνάστασιν.
καί τίς μ' ἐνίπτων εἶπε, φρυκτώρων διὰ
πεισθεῖσα, τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς, αἴρεσθαι κέαρ.
λόγοις τοιούτοις πλακτὸς οὖσ' ἐφαινόμην.
ὅμως δ' ἔθυον, καὶ γυναικείῳ νόμῳ
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες ἐν θεῶν ἕδραις,
θυηφάγον κοιμῶντες εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον, δρακεῖν
ἀπὸ στρατείας ἄνδρα, σώσαντος θεοῦ,
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει·
ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
οἵαν περ οὖν ἔλειπε, δωμάτων κύνα
ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
οὐδ' οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
κή. Τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων,
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν.
χο. Αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι

¶Σὺν δὲ πλουτίζειν ἐμὲ] μεταδιδόναι μοι τῆς χαρᾶς.

¶Πρὸς γυναικὸς] ἤγουν, γυναικός ἐστι μετεωρίζεσθαι καὶ μέγα φρονεῖν, ἀκούσασάν τι.

¶Τὰ μάσσω] τὰ μακρά.

¶Δωμάτων κύνα] ἤγουν φύλακα.

¶Σημαντήριον] σφραγῖδα τῆς πρὸς τὸν ἄνδρα ἁγνῆς.

¶Μᾶλλον ἢ χαλκοῦ βαφάς] ὥσπερ οὐκ οἶδα τὰς βαφὰς τοῦ σιδήρου, οὕτως οὐδὲ ἡδονὴν ἑτέρου ἀνδρός.

¶Αὕτη μὲν οὕτως εἶπε] οὕτως εἶπεν ἀκριβέσι λόγοις καὶ ἐξηγητικοῖς ὥστε σε μαθεῖν.

τοῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
σὺ δ' εἰπὲ κῆρυξ· μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν
ἥξει σὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.
κή. Οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ, καλά,
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.
κλ. Πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχῃς;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίνεται τάδε.
κή. Ἀνὴρ ἄφαντος ἐξ ἀχαϊκοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψευδῆ λέγω.
κλ. Πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ ἰλίου,
ἢ χεῖμα κοινὸν ἄχθος ἥρπασε στρατοῦ;
κή. Ἔκυρσας ὥστε τοξότης ἄκρος, σκοποῦ,
μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.
κλ. Πότερα γὰρ αὐτοῦ ζῶντος, ἢ τεθνηκότος,
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;
κή. Οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος ἡλίου χθονὸς φύσιν.
κλ. Πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότῳ;
κή. Εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι τὴν ἄρης φιλεῖ
δίλογχον ἄτην φοινίαν ξυνωρίδα.
τοιῶνδε μέν τοι πημάτων σεσαγμένων,
πρέπει λέγειν παιᾶνα τόνδ' ἐριννύων,

¶ Χωρὶς ἡ τιμὴ θεῶν] ἄλλῃ, ταῦτα λέγοντες, ἀτιμάζομεν τοὺς θεούς.
¶ Ἐξαγισθέντας δόμων] ἐξορισθέντας.
¶ Σεσαγμένων] σεσωρευμένων.

σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν·
πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
χειμῶν' ἀχαιῶν οὐκ ἀμηνίτοις θεοῖς;
ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι, τὸ πρὶν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην,
φθείροντε τὸν δύστηνον ἀργείων στρατόν.
ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά.
ναῦς γὰρ πρὸς ἀλλήλησι θρήκιαι πνοαὶ
ἤρεικον· αἱ δ', κεροτυπούμεναι βίᾳ
χειμῶνι, τυφῶ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ
ᾤχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος αἰγαῖον νεκροῖς
ἀνδρῶν ἀχαιῶν, ναυτικῶν τ' ἐρειπίων.
ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος,
ἤτοι τις ἐξέκλεψεν, ἢ 'ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
τύχη δὲ σωτὴρ ναῦν θέλουσ', ἐφέζετο·
ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν,
μήτ' ἐξοκεῖλαι πρὸς κραταιλέων χθόνα.
ἔπειτα δ' ἅδην πόντιον πεφυγότες,
λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχῃ,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴτις ἐστὶν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας. τί μή;
ἡμεῖς τ' ἐκείνους ταῦτ' ἔχειν δοξάζομεν.
γένοιτο δ' ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν.

¶Εὐεστοῖ] ἀπυχῇ.

¶Ξυνώμοσαν γὰρ] ἐκφράζει τὴν τοῦ χειμῶνος χαλεπότητα.

¶Κεροτυπούμεναι] ἤγουν, τοῖς κέρασιν ἀλλήλων τυπτόμεναι. ἡ μεταφορὰ ἀπὸ τῶν ταύρων.

¶Οὐ πεποιθότες τύχῃ] οὐ θαρροῦντες, ἀλλ' ἀμφίβολοι ὄντες εἰ ἔτι σωθείημεν.

¶Ἐβουκολοῦμεν] ὥσπερ ἐθεραπεύομεν ἐν λογισμοῖς πᾶσαν τὴν νέαν συμφοράν.

¶Σποδουμένου] διασκεδασθέντος δίκην σποδοῦ.

εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
καὶ ζῶντα καὶ βλέποντα, μηχαναῖς Διὸς,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
τοσαῦτ' ἀκούσας, ἴσθι τἀληθῆ κλύων.
Χο. Τίς ποτ' ὠνόμαζεν ὧ- δ' ἐς τὸ πᾶν ἐτητύμως;
μή τις, ὅντιν' οὐχ ὁρῶμεν, προνοίαισι τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων, τὰν δορίγαμβρον
ἀμφινεικῆ θ' Ἑλέναν. ἐπεὶ πρεπόντως
Ἑλένας ἕλανδρος, ἑλέπτολις ἐκ τῶν ἁβροτίμων
προκαλυμμάτων ἔπλευσεν ζεφύρου γίγαντος αὔρᾳ.
πολύανδροί τε φεράσπιδες κυναγοὶ κατ' ἴχνος
πλάταν ἄφαντον κελσάντων, Σιμόεντος ἀκτὰς
ἐπ' ἀξιφύλλους δι' ἔριν αἱματόεσσαν.
Ἰλίῳ δὲ κῆδος ὀρ- θώνυμον τελεσίφρων
μῆνις ἤλασε τραπέζας ἀτίμως,
ἵν' ὑστέρῳ χρόνῳ καὶ ξυνεστίου Διὸς
πρασσομένα τὸ νυμφότιμον μέλος ἐκ-
φάτως τίοντας ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν
γαμβροῖσιν ἀείδειν. μεταμανθάνουσα δ' ὕμνον
Πριάμου πόλις γραιά, πολύθρηνον μέγα που στένει,
κικλήσκουσα Πάριν τὸν αἰνόλεκτρον
παμπρόσθη πολύθρηνον αἰῶ- ν' ἀμφὶ πολίταν
μέλεον αἷμ' ἀνατλᾶσα. ἔθρεψεν δὲ λέοντα
σίνιν δόμοις ἀγάλακτον οὕτως ἀνὴρ φιλόμαστον
ἐν βιότου προτελείοις, ἄμερον, εὐφιλόπαιδα,

¶ Ἑλάνδρος, ἑλέπτολις] ὁ ἑλὼν καὶ καθελὼν τὸν τῆς Ἑλένης ἄνδρα Ἀλέξανδρον καὶ τὴν πόλιν αὐτοῦ. ¶ Ζεφύρου] ἐξ ἑσπέρας γὰρ πνέων, οὔριος τούτῳ γέγονε. ¶ Ἰλίῳ δὲ κῆδος] ἐπειδὴ τὸ κῆδος σημαίνει καὶ τὴν ἐπιγαμβρείαν καὶ τὸ πένθος, ἐδήλωσε νῦν ὅτι τὸ πένθος λέγει. Ἰλιὰς γὰρ κακῶν, ἡ παροιμία φησί. ¶ Πολύθρηνον] αἰῶνα πολύθρηνον, καὶ μέλεον αἷμα ἀνατλᾶσα. ¶ Ἔθρεψεν] ἤγουν, ἀνέθρεψεν αὐτὸν τὸν Ἀλέξανδρον τις ἐκτιθέντα.

καὶ γεραροῖς ἐπίχαρτον. πολέα δ' ἔσχ' ἐν ἀγκάλαις
νεοτρόφου τέκνου δίκην, φαιδρωπὸς ποτὶ χεῖρα, σαί-
νων τε γαστρὸς ἀνάγκαις. χρονισθεὶς δ' ἀπέδειξεν
ἔθος τὸ πρὸς τοκήων. χάριν γὰρ τροφαῖς ἀμείβων,
μηλοφόνοισιν ἄταισιν δαῖτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη· ἄμαχον δ' ἄλγος οἰκέταις
μέγα σίνος πολύκτονον. ἐκ θεοῦ δ' ἱερεύς τις ἄ-
της δόμοις προσετράφη.
παραυτὰ δ' οὖν ἐλθεῖν ἐς Ἰλίου πόλιν
λέγοιμ' ἂν, φρόνημα μὲν
νηνέμου γαλάνας ἀκασκαῖον
ἄγαλμα πλούτου, μαλθακὸν ὀμμάτων βέλος.
δηξίθυμον ἔρωτος ἄνθος παρακλίνουσ' ἐπέκρανεν δὲ
γάμου πικρὰς τελευτάς δύσεδρος καὶ δυσόμιλος
συμβᾶσα Πριαμίδαισι, πομπᾷ Διὸς ξενίου,
νυμφόκλαυτος ἐριννύς.
παλαίφατος δ' ἐν τοῖς βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελε- σθέντα φωτὸς ὄλβον, τεκνοῦσθαι,
μηδ' ἄπαιδα θνήσκειν· ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν. δίχα δ' ἄλλων μονόφρων εἰμί.
τὸ γὰρ δυσσεβὲς ἔργον μετὰ μὲν πλείονα τίκτει,
σφετέρᾳ δ' εἰκότα γέννᾳ. οἴκων γὰρ εὐθυδίκων
καλλίπαις πότμος αἰεί. φιλεῖ δὲ τίκτειν ὕβρις
μὲν παλαιὰ νεά- ζουσαν ἐν κακοῖς βροτῶν
ὕβριν. τότ' ἢ τόθ' ὅταν τὸ κύριον μόλῃ
νεαρὰ φάους κότον δαίμονά τε τὸν ἄμαχον, ἀπόλεμον,

¶ Σαίνων τε γαστρὸς] τὸ σαίνων πρὸς τὸ φαιδρωπὸς καὶ πρὸς τὸ χεῖρα ἀποδώσεις, καὶ οὐχ ὥς τινες πρὸς τὸ τέκνον ἀποδιδόντες, σαίνοντος, φασί, ὡς τὸ παρ' Ὁμήρῳ, ἀστράπτων ἐπιδέξια. ¶ Ἀμείβων] ἤγουν, ἀμοιβὰς διδοὺς τοῖς θρέψασιν αὐτόν. ¶ Ἀκασκαῖον] λίαν κεκοσμημένον. ¶ Ἄγαλμα πλούτου] διὰ τὸ κάλλος αὐτῆς. οὐ γὰρ ἦν δι' οὐδὲν ὥστε τὸν πλοῦτον αἰσχύνειν. ¶ Συμβᾶσα] ἤγουν ὁρμηθεῖσα. ¶ Διὸς ξενίου] ὅτι γὰρ ἔπεμψε ταύτην αὐτῆς τοῖς Τρωσί, καὶ τὸν Τρωϊκὸν δι' αὐτὴν συνεστήσατο πόλεμον.

ἀνίερον θράσος μελαίνας μελάθροισιν ἄτας
εἰδομέναι τοκεῦσι. δίκα δὲ λάμπει μὲν ἐν
δυσκάπνοις δώμασι, τὸν δ' ἐναίσιμον τίει
βίον. τὰ χρυσόπαστα δ' ἐ- σθλὰ σὺν πίνῳ χερῶν
παλιντρόποις ὄμμασι λι- ποῦσ' ὅσια προσέβα τοῦ
δύναμιν οὐ σέβου- σα πλούτου παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.
ἄγε δὴ βασιλεῦ, Τροίας πολίπορ- θ', Ἀτρέως γένεθλον,
πῶς σε προσείπω; πῶς σε σεβίζω,
μήθ' ὑπεράρας, μήθ' ὑποκάμψας καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι προτίουσι, δίκην παραβαίνες.
τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δεῖγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται· καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι.
ὅστις δ' ἀγαθὸς προβατογνώμων
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς.
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι.
σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
ἑλένης ἕνεκ' (οὐ γὰρ ἐπικεύσω)
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος.
οὐδ' εὖ πραπίδων οἴακα νέμων θράσος ἑκούσιον
ἀνδράσι θνήσκουσι κομίζων.
νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς, οὐδ' ἀφίλως
εὔφρων τὶς πόνος εὖ τελέσασιν· γνώσῃ δὲ χρόνῳ διαπευ-
τόν τε δικαίως καὶ τὸν ἀκαίρως (θόμενος
πόλιν οἰκουροῦντα πολιτῶν.
ἀγ. Πρῶτον μὲν ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους

¶ Δυσκάπνοις] ἤγουν πτωχοῖς ἢ ἀπλέσι. ¶ Προβατογνώμων] ἤγουν ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην. ¶ Ὑδαρεῖ] μεμιγμένῃ ἢ οὐ καθαρᾷ ἢ ἀκράτῳ.

νόστου, δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου. δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες, ἀνδροθνῆτας ἰλίου φθορὰς
ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῳ.
καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι· συνθνήσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν· ἐπείπερ καὶ πάγας ὑπερκότους
ἐπραξάμεσθα, καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος
ἵππου νεοσσὸς ἀσπιδηστρόφος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ πλειάδων δύσιν.
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων,
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε,
τὰ δ' ἐς τὸ σὸν φρόνημα, μέμνημαι κλύων·
καὶ φημὶ ταῦτα, καὶ συνήγορόν μ' ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν.
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος,
ἄχθος διπλοίζει τῷ πεπαμμένῳ νόσον·
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται,
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν, στένει.
εἰδὼς λέγοιμ' ἄν· εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον εἴδωλον σκιᾶς
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεὺς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,

¶Πάγας] δίκτυα, παγίδας. ἢ ἐπειδήπου τὸ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν, καὶ ἀγχθεὶς ταῖς πάγαις ἃς δι' ἐκείνου ὕφηνε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε.

¶Ὠμηστὴς λέων] ἤγουν ὥσπερ λέων ὠμοφάγος.

¶Εὖ γὰρ ἐξεπίσταμαι] ἤγουν, καλῶς οἶδα διακρίνειν τὰς ὁμιλίας τῶν συνόντων μοι, ὡς τὰς ἐμφάσεις τῶν προσώπων τὸ κάτοπτρον.

¶Ὅσπερ οὐχ ἑκὼν ἔπλει] ἤλεγξε γὰρ τὴν μανίαν αὐτοῦ Παλαμήδης.

ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος.
εἴτ' οὖν θανόντος, εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει,
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον,
ὅπως χρονίζον εὖ μενεῖ, βουλευτέον.
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες, ἢ τεμόντες εὐφρόνως,
πειρασόμεσθα πήματος τρέψαι νόσον.
νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν, θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες, ἤγαγον πάλιν.
νίκη δ' ἐπείπερ ἕσπετ' ἐμπέδως μένοι.

κλ. Ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ', ἐμαυτῆς δύσφορον λέξω βίον.
τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ,
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον, ἔκπαγλον κακὸν,
πολλὰς κλύουσαν ἡδονὰς παλιγκότους·
καὶ τὸν μὲν, ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέω λέγειν.
εἰ δ' ἦν τεθνηκὼς, ὡς ἐπλήθυνον λόγοι,
τρισώματός τ' ἂν Γηρυὼν ὁ δεύτερος
πολλὴν ἄνωθεν (τὴν κάτω γὰρ οὐ λέγω

¶ Σειραφόρος] ὁ ἴσος, δίκην ἵππου σὺν ἐμοὶ τὸ ἅρμα ἐλαύνων.

χθονὸς) τρίμοιρον χλαῖναν ἐξηύχει λαβὼν,
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων,
πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεὺς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόνθ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον. εἴτε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν· οὐδ' ἔνι σταγών.
ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω,
τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας,
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασιν,
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι, θωΰσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ,
λέγοιμ' ἂν ἄνδρα τόνδε, τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς, πρότονον ὑψηλῆς στέγης,
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρὶ,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.

τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τοιοῖσδέ τοίνυν ἀξιῶ προσφθέγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ
ἠνσχόμεσθα· νῦν δ' ἐμοὶ φίλον κάρα,
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ' ὦναξ ἰλίου πορθήτορα.
δμωαὶ τί μέλλεθ' αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στρωννύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.
ἀγ. Λήδας γένεθλον δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ.
μακρὰν γὰρ ἐξέτεινας, ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε· μηδὲ βαρβάρου φωτὸς δίκην,
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει. θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών.
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν, ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
λέγω κατ' ἄνδρα μὴ θεὸν σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀυτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν,
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.
εἰ πάντα δ' ὡς πράσσοιμ' ἄν, εὐθαρσὴς ἐγώ.
κλ. Καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
ἀγ. Γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.

¶ Ἐναισίμως] πρεπόντως.
¶ Παρ' ἄλλων] ὅτι τὸ αἰνεῖσθαι δηλονότι μὴ παρὰ τῶν οἰκείων ἢ παρ' ἑαυτοῦ πρέπει ἔρχεσθαι.
¶ Ἅβρυνε] καλλώπιζε.
¶ Χαμαιπετὲς βόαμα] μὴ ὡς βαρβάρῳ μοι κύψασα βοήσῃς. οἱ βάρβαροι γὰρ γονυκλινεῖς τοὺς βασιλεῖς ἀσπάζουσιν.
¶ Ποδοψήστρων] ἀπὸ μεταφορᾶς τῶν πέπλων δι' ὧν τοὺς πόδας ἐκμάσσοντες, λαμπροτέρους ποιοῦσιν οἱ τούτους ἐκπλύνοντες συνεχῶς. ποδόψηστρα γὰρ κυρίως ταῦτα λέγεται. νῦν δὲ τὰ ὑπὸ τοὺς πόδας ἁπλῶς πέπλα οὕτως εἴρηκε.

κλ. Ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;
ἀγ. Εἴπερ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος.
κλ. Τί δ' ἂν δοκῇ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν;
ἀγ. Ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκῇ.
κλ. Μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον.
ἀγ. Φήμη γε μέντοι δημόθρους μέγα σθένει.
κλ. Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.
ἀγ. Οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.
κλ. Τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.
ἀγ. Ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;
κλ. Πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.
ἀγ. Ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος πρόδουλον ἔμβασιν ποδός.
σὺν ταῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν ποσὶν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τούτων μὲν οὕτως· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' ἐσκόμιζε. τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν.
κλ. Ἔστιν θάλασσα (τίς δέ νιν κατασβέσει;)
τρέφουσα πολλῆς πορφύρας εἰς ἄργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς ἄναξ·
ἔχειν, πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.

¶ Μή νυν] καθ' ὁμαλισμὸν ἀναγνωστέον τὸ νυν, ἢ ἀντὶ τοῦ νῦν, ἵνα ᾖ ἀντὶ τοῦ δή.

¶ Δημόθρους] ὑπὸ τοῦ δήμου φημιζομένη. ὡς καὶ Ἡσίοδος φησί, φήμη δ' οὔ τι πάμπαν ἀπόλλυται ἥντινα πολλοὶ λαοὶ φημίζουσι.

¶ Κατέστραμμαι] ἄλλως, καθέσταμαι, ἀντὶ τοῦ κατέστην.

πολλῶν πατησμὸν δ᾽ἱμάτων ἂν ηὐξάμην,
δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις,
ψυχῆς κομίστρα τῆσδε μηχανωμένης.
ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ᾽ ἐς δόμους,
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολών,
ὅταν δὲ τεύχῃ Ζεὺς τ᾽ ἀπ᾽ ὄμφακος πικρᾶς
οἶνον, τότ᾽ ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ᾽ ἐπιστρωφωμένου.
Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει.
μέλοι δέ τι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

χο. Τίπτε μοι τόδ᾽ ἐμπέδως δεῖμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ᾽ ἀκέλευστος ἄμισθος ἀοιδά.
οὐδ᾽ ἀποπτύσας δίκην δυσκρίτων ὀνειράτων
θάρσος εὐπιθὲς ἵζει φρενὸς φίλον θρόνον. χρόνος δ᾽ ἐπεὶ
πρυμνησίων ξυνεμβόλοις ψαμμίας ἀκτὰς πα-
ρήβησεν, εὖθ᾽ ὑπ᾽ Ἴλιον ὦρτο ναυβάτας στρατός.
πεύθομαι δ᾽ ἀπ᾽ ὀμμάτων. νόστον αὐτόμαρτυς ὤν.
τὸν δ᾽ ἄνευ λύρας ὅπως ὑμνῳδεῖ θρῆνον ἐριννὺς,
αὐτοδίδακτος ἔσωθεν θυμὸς οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος. σπλάγχνα δ᾽ οὔτοι ματάζει
πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις
δίναις κυκλούμενον κέαρ.
εὔχομαι δ᾽ ἀπ᾽ ἐμᾶς τι ἐλπίδος ψυδῆ πεσεῖν
ἐς τὸ μὴ τελεσφόρον. μάλα γάρ τοι τᾶς πολλᾶς
ὑγιείας ἀκόρεστον τέρμα. νόσος γὰρ
γείτων ὁμότοιχος ἐρείδει καὶ πότμος εὐθυπορῶν
ἀνδρὸς, ἔπαισεν ἄφαντον ἕρμα·

καὶ τὸ μὲν πρὸ χρημάτων κτησίων ὄκνος βαλὼν,
σφενδόνας ἀπ' εὐμέτρου, οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν· οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ
ἐξ ἀλόκων ἐπετειᾶν νῆστιν ὤλεσεν νόσον.
τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ
θανάσιμον προπάροιθ' ἀνδρὸς
μέλαν αἷμα τίς ἂν πάλιν ἀγκαλέσαιτ' ἐπαείδων·
οὐδὲ τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν
Ζεὺς αὖτ' ἔπαυσ' ἐπ' εὐλαβείᾳ γε.
εἰ δὲ μὴ τεταγμένα μοῖρα μοίραν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν, προφθάσασα καρδία
γλῶσσαν ἂν, τάδ' ἐξέχει. νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε καὶ οὐδὲν ἐπελπομένα ποτὲ
καίριον ἐκτολυπεύσειν, ζωπυρουμένας φρενός.

Κλ. Εἴσω κομίζου καὶ σὺ Κασάνδραν λέγω·
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μέτα
δούλων, σταθεῖσαν κτησίου βωμοῦ πέλας.
ἔκβαιν' ἀπήνης τῆσδε· μηδ' ὑπερφρόνει.
καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα, τλῆναι καὶ ζυγῶν θιγεῖν βίᾳ.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
οἱ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,
ὠμοί τε δούλοις πάντα, καὶ παρὰ στάθμην.
ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.

Χο. Σοί τοι λέγουσα παύεται σαφῆ λόγον.

¶Νῆστιν νόσον] ἤγουν λοιμὸν, διεσκέδασε. ¶Επ' εὐλαβείᾳ γε] τὸν Ἀσκληπιὸν ὃν ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον, ὥστε μὴ ἔτι βλαβῆναι. ¶Ἤμησαν καλῶς] ἤγουν ἐπλούτησαν καλῶς, ὡς ἐκ θερισμοῦ. παρὰ στάθμην δὲ, ἀντὶ τοῦ παρὰ τὸ πρέπον.

ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων,
πείθοι' ἂν εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.
κλ. Ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.

¶Φωνὴν βάρβαρον] ὅτι βάρβαρον πόρρω, διὰ τὸ παραβάλλεσθαι τοῦτο αὐτὴν χελιδόνι, ἧς ἡ μεταμόρφωσις αὐτῆς ἱστόρηται.

χο. Ἕπου· τὰ λῷστα τῶν παρεστώτων λέγει.
πείθου, λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.
κλ. Οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός,
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχῃ λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβαίῳ χερί.

¶Καρβαίῳ] βαρβάρῳ.

χο. Ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.
κλ. Ἡ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει· χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.
χο. Ἐγὼ δ' (ἐποικτείρω γὰρ) οὐ θυμώσομαι.
ἴθ' ὦ τάλαινα τόνδ' ἐρημώσασ' ὄχον,
εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

¶Πρὶν αἱματηρὸν] ἀπὸ τῶν στηνιώντων ὑποζυγίων, ἃ οὐκ εἴκοντα τῷ χαλινῷ, ἀφρίζει μετὰ αἵματος. ἢ ἐπεὶ αὕτη οὐ πείθεται. πρὶν αἵματός μου τὴν ψυχὴν ἐξαφρίσαι. αὕτη δὲ, πρὶν ὀργισθῆναί με αὐτῇ.

κα. Ὀτοτοτοῖ ποποῖ δᾶ. ἄπολλον ἄπολλον.
χο. Τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.
κα. Ὀτοτοτοῖ ποποῖ δᾶ. ἄπολλον ἄπολλον.
χο. Ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ

¶Ποποῖ δᾶ] δᾶ γῆ δωρικῶς. ὅθεν καὶ δημήτηρ, ἡ γῆ μήτηρ. προαναφωνεῖ δὲ τὰ ἐσόμενα.

οὐδὲν προσήκοντ᾽ ἐν γόοις παραστατεῖν.
κα. Ἄπολλον, ἄπολλον, ἀγυιᾶτ᾽ ἀπόλλων ἐμός. ¶ Ἀπόλλων] ἀπολλύων με. παρὰ τὸ ὁμωνυμίας.
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.
χο. Χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
μένει τὸ θεῖον δουλίᾳ παρὲν φρενί.
κα. Ἄπολλον ἄπολλον. ἀγυιᾶτ᾽ ἀπόλλων ἐμός.
ἆ ποῖ ποτ᾽ ἤγαγές με, πρὸς ποίαν στέγην;
χο. Πρὸς τὴν ἀτρειδῶν· εἰ σὺ μὴ τόδ᾽ ἐννοεῖς,
ἐγὼ λέγω σοί· καὶ τάδ᾽ οὐκ ἐρεῖς ψύθη.
κα. Μισόθεον μὲν οὖν, πολλὰ ξυνίστορα
αὐτόφονα κακὰ, κ᾽ ἀρτάναι,
ἀνδρὸς σφάγιον καὶ πέδον ῥαντήριον.
χο. Ἔοικεν εὔρειν ἡ ξένη κυνὸς δίκην
εἶναι, μαστεύει δ᾽ ὧν ἐφευρήσει φόνον.
κα. Μαρτυρίοις γὰρ τοῖσδε πείθομαι·
κλαιόμενα τάδε βρέφη, σφαγὰς,
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
χο. Ἦ μὴν κλέος σου μαντικὸν πεπυσμένοι
ἦμεν, προφήτας δ᾽ οὔτινας ματεύομεν.
κα. Ἰὼ πόποι, τί ποτε μήδεται τί τόδε νέον ἄχθος μέγα
μέγ᾽ ἐν δόμοισι τοῖσδε μήδεται κακὸν
ἄφερτον φίλοισι, δυσίατον· ἀλκὰ δ᾽ ἑκὰς ἀποστατεῖ;
χο. Τούτων ἄιδρίς εἰμι τῶν μαντευμάτων·
ἐκεῖνα δ᾽ ἔγνων· πᾶσα γὰρ βοᾷ πόλις.
κα. Ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς; τὸν ὁμοδέμνιον πόσιν

¶ Ἀπώλεσας] ἐκείνην τὴν ἀπώλειαν μόνως ὁρίζομαι τὴν τῆς δουλείας, οὐ τὴν νεῶ. ¶ Δεύτερον] δεύτερόν με ἀπώλεσας οὐ μετὰ καμάτου. ¶ Μισόθεον] ἄθεον, θεοστυγές. ¶ Κ᾽ ἀρτάναι] ἀγχόναι. ¶ Ἔοικεν εὔρειν] ἔοικεν ὡς κύων εὑρεῖν, μαστεύει καὶ ἀναζητεῖ εἰ γέγονεν ἐνθάδε παλαιὸς φόνος. ¶ Μαρτυρίοις γὰρ] φαντάζεται γὰρ ὁρᾶν τὰ σώματα τῶν ἀνῃρημένων παίδων Θυέστου. ¶ Προφήτας οὔτινας] τοὺς λέξοντας ἡμῖν περὶ σοῦ. αὐτοὶ γὰρ αὐτόπται γενόμεθα. ¶ Ἀλκὰν] τὸν Ὀρέστην φησί. ¶ Βοᾷ] τὰ περὶ Θυέστου.

λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;
τάχος γὰρ τόδ᾽ ἔσται. προτείνει δὲ χεὶρ ἐκ
χερὸς ὀρεγομένα.

χο. Οὔπω ξυνῆκα. νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

κα. Ἒ ἔ, παπαῖ παπαῖ, τί τόδε φαίνεται,
ἦ δίκτυόν τί γ᾽ ἅιδου;
ἀλλ᾽ ἄρκυς, ἡ ξυώδυνος ἡ ξυναιτία
φόνου· στάσις δ᾽ ἀκόρεστος γένει
κατολολυξάτω θύματος λευσίμου.

χο. Ποίαν ἐριννὺν τήνδε δώμασιν κέλῃ
ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.
ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγών. ἅτε καὶ δορία πτώσιμος
ξυνανύτει βίου δύντος αὐγαῖς.
ταχεῖα δ᾽ ἄτα πέλει.

κα. Ἆ ἆ. ἰδοὺ ἰδού, ἄπεχε τῆς βοὸς
τὸν ταῦρον, ἐν πέπλοισιν
μελάγκερων λαβοῦσα μηχανήματι
τύπτει. πιτνεῖ δ᾽ ἐνύδρῳ τεύχει.
δολοφόνου δὲ λέβητος τύχαν σοὶ λέγω.

χο. Οὐ κομπάσαιμ᾽ ἂν θεσφάτων γνώμων ἄκρος

¶ Χειρὸς ὀρεγομένα] ἐξ ἀδελφῶν δὲ ἀλλήλοις τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμνήστρα. ¶ Ἐπαργέμοις] τοῖς τυφλοῖς, καὶ ἀσήμοις, ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν. ¶ Τί τόδε] φαντάζεται τὸν χιτῶνα. ¶ Ἡ ξυώδυνος] ἡ γυνὴ τοῦ Ἀγαμέμνονος αἰτία ἔσται τοῦ φόνου. ¶ Στάσις] ἡ στάσις, φησὶν, ἐπολολύξαι μέλλει ἐπὶ τῷ λεωργῷ Κλυταιμνήστρᾳ, ἵνα καὶ ἀπόλητο. παρὰ τὸ, αἱ δ᾽ ὀλόλυξαν θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις. ¶ Κέλῃ, ἀντὶ τοῦ λέγεις. ¶ Οὔ με φαιδρύνει] οὐ συναφιλιοῦται. ¶ Σταγὼν] τὸ αἷμα. ¶ Βίου δύντος] συμπληροῦται τοῦ βίου δύντος ταῖς αὐγαῖς σου, μηκέτι ὁρῶντος τὰς αὐγάς. ¶ Ἄπεχε τῆς βοὸς] τίς ἂν ἀποστήσειεν αὐτῆς τὸν Ἀγαμέμνονα ὅπως ἂν μὴ ἀπόληται; ¶ Μελάγκερων] τὸν μελάγκερων ταῦρον λαβοῦσα, τῷ μηχανήματι τῷ διὰ τῶν πέπλων τύπτει. ἐὰν δὲ γράφηται μελαγκέρῳ μηχανήματι τύπτει, ἀντὶ τοῦ κεκρυμμένῳ. Ἄλλως. τῆς μελαγκέρω βοός. ¶ Οὐ κομπάσαιμ᾽ ἂν] οὐκ ἀλαζονεύομαι μάντις ἄκρος ἐπιγινώσκων θέσφατα· ὅμως δὲ στοχάζομαί τι κακὸν ἀποβήσεσθαι.

ἔτι), κακῷ δέ τῳ προσεικάζω τάδε.
ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖσι στέλλεται; κακῶν γὰρ διαὶ
πολυεπεῖς τέχναι θεσπιῳδὸν   φόβον φέρουσι μαθεῖν.
κα. Ἰὼ ἰώ, ταλαίνας κακόποτμοι τύχαι.
τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπαγχέασα.
ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. τί γάρ;
χο. Φρενομανής τις εἶ θεοφόρητος, ἀμ-   φὶ δ' αὐτᾶς θροεῖς
νόμον ἄνομον γε, οἷά τις ξουθὰ
ἀκόρετος βοᾶς φιλοίκτοις ταλαίναις φρεσὶν
Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς   ἀηδὼν βίον.
κα. Ἰὼ ἰώ, λιγείας ἀηδόνος μόρον·
περιεβάλοντο γάρ οἱ πτεροφόρον δέμας
θεοί, γλυκύν τ' ἀγῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.
χο. Πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις   ματαίους δύας,
τὰ δ' ἐπιφόβα δυσφάτῳ κλαγγᾷ
μελοτυπεῖς, ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις;
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ   κακορρήμονας;
κα. Ἰὼ γάμοι γάμοι Πάριδος ὀλέθριοι

¶Ἀγαθὰ φάτις] γνωμολογῶν φησὶ τοῦτο. οὐδέποτε γὰρ καὶ ἐπ' ἀγαθοῖς οἱ χρησμοὶ γίνονται, ὡς ἐπὶ τὸ πολὺ μοχθηρὰ χρησμῳδοῦσιν. ἢ τὸ ὅλον ἐπὶ τῆς χρησμῳδοῦ Κασσάνδρας· ἀπὸ τούτων τῶν θεσπισμάτων τίς ἀγαθὴ φάτις γίνεται βροτοῖς τοῖς ἐγχωρίοις. ¶Κακῶν γὰρ] διὰ τὰ προσόντα κακὰ τοῖς εἰσερχομένοις, καὶ τὰ λεγόμενα, φανερά. ¶Φόβον φέρουσι μαθεῖν] παρὰ τὸ λεγόμενον, οὐδεὶς ἀτυχὴς πρὸς μάντιν ἀπέρχεται. ¶Πάθος ἐπαγχέασα] συναναμίξασα τῷ τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα. ¶Ἀμφὶ δ' αὐτᾶς] περὶ σεαυτῆς ἄτοπα φθέγγῃ. ¶Τί γάρ] τί γὰρ ἄλλο. ¶Νόμον ἄνομον] ᾠδὴν ἀηδῆ· κιθαριστικὸν δὲ νόμον φησί. τὸ ἑξῆς, θρηνεῖ νόμον ἄνομον ἀμφιθαλῆ κακοῖς. ¶Ἀηδὼν] τοῦτο ἡ ἀηδών, μεταμορφωθεῖσα τῆς ἀηδόνος φησίν. ¶Ἀγῶνα] γράφεται αἰῶνα. ¶Κλαυμάτων ἄτερ] εἰ γὰρ καὶ ἐν ὄρνισιν οὖσα θρηνεῖ, αὐτὴ μόνη, καὶ οὐ θρηνοῖς. ¶Δυσφάτῳ κλαγγᾷ] ἀσαφεῖ, αἰνιγματώδει. ἢ διὰ τὸ δυστυχῆ μαντεύεσθαι, ἢ διὰ τὸ προειδέναι τὰ δεινὰ αἰωρηλῶς. ¶Θεσπεσίας] τῆς μαντικῆς.

οὐδεὶς δυστυχὴς πρὸς μάντιν ἀπέρχεται. sed legendum πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχεται.

φίλων. ἰὼ σκαμάνδρου πάτριον ποτόν.
τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαινα ἠνυτόμαν τροφαῖς·
νῦν δ' ἀμφὶ κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα.

¶ Ἠνυτόμαν] ηὐξόμην.

χο. Τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἂν ἀνθρώπων μάθοι.
πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ
δυσαλγεῖ τύχᾳ μινυρὰ κακὰ θρεομένας·
θραύματ' ἐμοὶ κλύειν.
κα. Ἰὼ πόνοι πόνοι πόλεως ὀλομένας
τὸ πᾶν. ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ' οὐδὲν ἐπήρκεσαν,
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχειν παθεῖν.
ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέδῳ βαλῶ.
χο. Ἑπόμενα προτέροις τάδ' ἐφημίσω.
καί τίς σε καὶ κακοφρονεῖν
τίθησι δαίμων ὑπερβαρὴς ἐμπίτνων,
μελίζειν πάθη γοερὰ θανατοφόρα, τέρμα δ' ἀμηχανῶ.
κα. Καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφας δίκην.
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσᾴξειν ὥστε κύματος δίκην
κλύειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσης τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
σύμφθογγος, οὐκ εὔφωνος. οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,

δύσπεμπτος ἔξω συγγόνων ἐρινύων.
ὑμνοῦσι δ' ὕμνον δώμασι προσήμεναι
πρώταρχον ἄτην, ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ θηρῶ τι τοξότης τις ὥς,
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων,
ἐκμαρτύρησον προυμόσας τό μ' εἰδέναι
λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
χο. Καὶ πῶς ἂν ὅρκος πῆμα γενναίως παγὲν
παιώνιον γένοιτο, θαυμάζω δέ σου,
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν ὥσπερ εἰ παρεστάτεις.
κα. Μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.
προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
χο. Μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;
ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.
κα. Ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν.
χο. Ἦ καὶ τέκνων εἰς ἔργον ἤλθετον νόμῳ;
κα. Ξυναινέσασα Λοξίαν ἐψευσάμην.
χο. Ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;
κα. Ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.
χο. Πῶς δῆτ' ἄνακτος ἦσθα Λοξίου κότῳ.
κα. Ἔπειθον οὐδέν' οὐδέν, ὡς τάδ' ἤμπλακον.
χο. Ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
κα. Ἰοὺ ἰού, ὢ ὢ κακά.
ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις.*
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασιν;
παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων

χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν' ἐποίκτιστον γέμος
πρέπουσ', ἔχοντες ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
νεῶν τ' ἄπαρχος ἰλίου τ' ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα καὶ κτείνασα φαιδρόνους, δίκην
ἄτης λαθραίου τεύξεται κακῇ τύχῃ.
τοιαῦτα τολμᾷ. θῆλυς· ἄρσενος φονεὺς
ἐστί. τί νιν καλοῦσα δυσφιλὲς δάκος,
τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ σκύλλαν τινὰ,
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν, ᾅδου μητέρ', ἄσπονδόν τ' ἀρὰν
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ·
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω. τί γάρ;
τὸ μέλλον ἥξει. καὶ σὺ μὴν τάχει παρὼν,
ἄγαν γ' ἀληθόμαντιν οἰκτείρας, ἐρεῖς.
χο. Τὴν μὲν Θυέστου δαῖτα παιδίων κρεῶν
ξυνῆκα καὶ πέφρικα· καὶ φόβος μ' ἔχει,
κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα.
τὰ δ' ἄλλ' ἀκούσας, ἐκ δρόμου πεσὼν τρέχω.
κα. Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.
χο. Εὔφημον ὦ τάλαινα κοίμησον στόμα.
κα. Ἀλλ' οὔτοι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.
χο. Οὐκ εἰ παρέσται γ', ἀλλὰ μὴ γένοιτό πως.

κα. Σὺ μὲν κατεύχῃ, τοῖς δ' ἀποκτείνειν μέλει.
χο. Τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄγος πορσύνεται.
κα. Η κάρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν;
χο. Τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
κα. Καὶ μὴν ἄγαν γ' ἕλλην' ἐπίσταμαι φάτιν.
χο. Καὶ γὰρ τὰ πυθόκραντα· δυσαθῆ δ' ὅμως.
κα. Παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι.
ὀτοτοῖ, λύκει' Ἀπολλον· οἲ ἐγὼ ἐγώ,
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν. ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ.
ἐπεύχεται θήγουσα φωτὶ φάσγανον,
ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
ἴτ' ἐς φθόρον πεσόντ'· ἀγαθῶ δ' ἀμείψομαι·
ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ'. ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
φίλων, ὑπ' ἐχθρῶν, οὐ διχορρόπως μάτην.
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια,
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ,
ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
βωμοῦ πατρῴου δ' ἀντεπίξηνον μένει,
θερμῷ κοπείσης φοινίῳ προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.

ἥξει

ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις,
ἄξει νιν ὑπτίασμα κειμένου πατρός.
τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω,
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν· οἳ δ' εἷλον πόλιν,
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει.
ἰοῦσα πράξω, τλήσομαι τὸ κατθανεῖν.
ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας.
ᾅδου πύλας δὲ τὰς λέγω, προσεννέπω.
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.
χο. Ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ
γύναι, μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
μόρον τὸν αὐτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην, πρὸς βωμὸν εὐτόλμως πατεῖς;
κα. Οὐκ ἔστ' ἄλυξις οὐ ξένοι χρόνῳ πλέω.
χο. Ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.
κα. Ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.
χο. Ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.
κα. Οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.
χο. Ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.
κα. Ἰὼ πάτερ σοῦ τῶν τε γενναίων τέκνων.
χο. Τί δ' ἐστὶ χρῆμα, τίς σ' ἀποστρέφει φόβος;
κα. Φεῦ φεῦ.
χο. Τί τοῦτ' ἔφευξας, εἴ τι μὴ φρενῶν στύγος.
κα. Φόβον δόμοι πνέουσιν αἱματοσταγῆ.

¶φεῦ φεῦ] ἀπολοφυρομένη λέγει τοῦτο ἐν τῷ εἰσιέναι. ἐκεῖ γὰρ εἰσελθεῖν ὡς τὸ [illegible] ἐρῶσα.

χο. Καὶ πῶς τόδ' ὄζει θυμάτων ἐφεστίων;
κα. Ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.
χο. Οὐ σύριον ἀγλάϊσμα δώμασιν λέγεις.
κα. Ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος,
ἰὼ ξένοι.
οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις, φόβῳ.
ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ·
ἐπιξενοῦμαι ταῦτα δ'· ὡς θανουμένη.
χο. Ὦ τλῆμον οἰκτείρω σε θεσφάτου μόρου.
κα. Ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς. ἡλίῳ δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς τοῖς ἐμοῖς τιμαόροις
ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ.
δούλης θανούσης εὐμαροῦς χειρώματος.
ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχῇ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσε γραφήν.
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.
χο. Τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖς· δακτυλοδείκτων
δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων·
μηκέτι δ' εἰσέλθῃς, τάδε φωνῶν.
καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου· θεοτίμητος δ' οἴκαδ' ἱκάνει.
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτίσῃ
καὶ τοῖσι θανοῦσι θανὼν, ἄλλων
ποινὰς θανάτων ἐπικρανεῖ.

¶ Σύριον ἀγλάϊσμα] τὸ ἀπὸ συρίας λιβανωτόν.

¶ Οὔτοι δυσοίζω] ἢ δυσχεραίνω, φησὶν, ὡς ὄρνις θέλουσα εἰς καλιὰν εἰσελθεῖν, καὶ τι ἐσ[illegible]πνα φοβουμένη.

¶ Ἐπιξενοῦμαι] φιλιοῦμαι.

τίς αὖ δόξαιτο βροτῶν, ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;
ἀγ. Ὤμοι πέπληγμαι καιρίαν πληγὴν ἔσω.
ἡμ. Σῖγα· τίς πληγὴν ἀυτεῖ καιρίως οὐτασμένος;
ἀγ. Ὤμοι μάλ' αὖθις δευτέραν πεπληγμένος.
ἡμ. Τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι.
ἀλλὰ κοινωσώμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα.
ἡμ. Ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.
ἡμ. Ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορρύτῳ ξίφει.
ἡμ. Κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν. τὸ μὴ μέλλειν δ' ἀκμή.
ἡμ. Ὁρᾶν πάρεστι. φροιμιάζονται γὰρ ὡς
τυραννίδος σημεῖα πράσσοντες πόλει.
ἡμ. Χρονίζομεν γάρ. οἱ δὲ μελλούσης κλέος
πέδον πατοῦντες, οὐ καθεύδουσιν χερί.
ἡμ. Οὐκ οἶδα βουλῆς ἧς τινος τυχὼν λέγω
τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
ἡμ. Κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.
ἡμ. Ἦ καὶ βίον κτείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;
ἡμ. Ἀλλ' οὐκ ἀνεκτόν, ἀλλὰ κατθανεῖν κρατεῖ.
πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
ἡμ. Ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
ἡμ. Σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι.
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
ἡμ. Ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι.

¶ Πεπαιτέρα] ὡριμωτέρα, γλυκυτέρα. ἡδύτερος, ἤγουν, ὁ θάνατος ὁ ὑπὸ τῶν δεσποτῶν, τῆς τυραννίδος.

¶ Ἐπαινεῖν πάντοθεν] ἐπαινοῦμεν διαφόρως ταύτην γνώμην, τὸ μαθεῖν εἰ σαφῶς ἐστὶ κατασφαγεὶς ὁ βασιλεύς.

παιδὸς Ἀτρείδην εἰδέναι κυροῦνθ᾽ ὅπως.
Κλ. Πολλῶν πάροιθεν καιρίως εἰρημένων
τἀναντί᾽ εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονὴν ἀρκύσατον — [Ἀρκύσατον] ἄρκυν.
φράξειεν, ὕψος κρεῖσσον ἐκπηδήματος;
ἐμοὶ δ᾽ ἀγὼν ὅδ᾽ οὐκ ἀφρόντιστος πάλαι
νίκης παλαιᾶς ἦλθε· σὺν χρόνῳ γε μήν·
ἕστηκα δ᾽ ἔνθ᾽ ἔπεσ᾽ ἐπ᾽ ἐξειργασμένοις·
οὕτω δ᾽ ἔπραξα (καὶ τάδ᾽ οὐκ ἀρνήσομαι)
ὡς μήτε φεύγειν μήτ᾽ ἀμύνεσθαι μόρον.
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν.
παίω δέ νιν δίς· κἀν δυοῖν οἰμώγμασι
μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
ᾅδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσών.
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ᾽ ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον, ἢ διὸς νότῳ
γᾶν, εἰ σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ᾽ ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ᾽ ἄν, εἰ χαίροιτ᾽, ἐγὼ δ᾽ ἐπεύχομαι.
εἰ δ᾽ ἦν πρεπόντων ὥστ᾽ ἐπισπένδειν νεκρῷ,
τάδ᾽ ἂν δικαίως ἦν· ὑπερδίκως μὲν οὖν.
τοσῶνδε κρατῆρ᾽ ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολών.
Χο. Θαυμάζομέν σου γλῶσσαν ὡς θρασύστομος,
ἥτις τοιόνδ᾽ ἐπ᾽ ἀνδρὶ κομπάζεις λόγον.

κλ. Πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος,
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω· σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις,
ὅμοιον. τοῦτ' ἔστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δὲ τῆσδε δεξιᾶς χερός·
ἔργον δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.
χο. Τί κακὸν ὦ γύναι χθονοτρεφὲς
ἐδανὸν ἢ ποτὸν πασαμένα, ῥυσᾶς
ἐξ ἁλὸς ὀρώμενον τόδ' ἐπέθου θύος
δημοθρόους τ' ἀράς· ἀπέδικες, ἀπέταμες·
ἄπολις δ' ἔσῃ, μῖσος ὄμβριμον ἀστοῖς.
κλ. Νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοί,
καὶ μῖσος ἀστῶν, δημόθρους τ' ἔχειν ἀράς,
οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων.
ὃς οὐ προτιμῶν ὡσπερεὶ βοτοῦ μόρον
μήλων 'φλεόντων εὐπόκοις νομεύμασιν ¶Φλεόντων] πληθυόντων.
ἔθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοί,
ὠδῖν' ἐπῳδὸν θρηκίων τε λημμάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρή σ' ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν', ἐπήκοος δ' ἐμῶν
ἔργων, δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι ¶Ἀπειλεῖν] ἀντὶ
τοιαῦτ' 'ἀπειλεῖν, ὡς παρεσκευασμένης καὶ ὡς ἀπειλεῖ,
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ ἵνα ἐκεῖνοι τὸ
ἄρχειν. ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός, ἀμφίβολον τῆς
γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν. μάχης φυλάξωνται.
χο. Μεγαλόμητις εἶ, περίφρονα
δ' ἔλακες. ὥσπερ οὖν φονολιβεῖ τύχᾳ
φρὴν ἐπιμαίνεται λῖπος ἐπ' ὀμμάτων.
αἵματος εὐπρέπειαν τίετον. ἔτι σὲ χρὴ
στερομέναν φίλων τύμμα τύμμα τῖσαι.

κλ. Καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν,
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην,
ἄτην, ἐριννύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν
ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
κεῖται, γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ.
ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος,
καὶ κοινόλεκτρος τοῦδε, θεσφατηλόγος
πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἰσοτριβής. ἄτιμα δ' οὐκ ἐπραξάτην.
ὁ μὲν γὰρ οὕτως. ἡ δέ τοι κύκνου δίκην,
τὸν ὕστατον μέλψασα θανάσιμον γόον,
κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
εὐνῆς παροψόνημα τῆς ἐμῆς χλιδῆς.
χο. Φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος,
μηδὲ δεμνιοτήρης,
μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου καὶ
πολλὰ τλάντος γυναικὸς διαί,
πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.
ἰώ, παρανόμοις Ἑλένα μία τὰς πολλάς,
τὰς πάνυ πολλὰς ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ,
νῦν δὲ τελείαν πολύμναστον
ἐπηνθίσω δι' αἷμ' ἄνιπτον,
ἥτις ἦν τότ' ἐν δόμοις
ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.

¶Φιλήτωρ] ἐκ ψυχῆς φιλουμένη τῷ Ἀγαμέμνονι.
¶Παροψόνημα] τὴν ἐκ περιουσίας τρυφήν.

κλ. Μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς· μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασα,
ἀξύστατον ἄλγος ἔπραξεν.
χο. Δαῖμον, ὃς ἐμπίτνεις δώμασι καὶ
διφυεῖσι Ταντα λίδαισιν
κράτος ἰσόψυχον ἐκ γυναικῶν
καρδία δηκτὸν ἐμοὶ κρατύνεις.
ἐπὶ δὲ σώματος δίκαν μοι
κόρακος ἐχθροῦ σταθεὶς ἐκνόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται.
νῦν δ' ὤρθωσας στόματος γνώμην τὸν τριπάχυιον
δαίμονα γέννας τῆσδε κικλήσκων.
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
νείρᾳ τρέφεται πρὶν καταλῆξαι,
τὸ παλαιὸν ἄχος νέος ἰχώρ.
χο. Ἦ μέγαν οἴκοις τοῖσδε δαίμονα καὶ βαρύμηνιν αἰνεῖς.
φεῦ φεῦ κακὸν αἶνον ἀτηρᾶς τύχας ἀκορέστου·
ἰὼ ἰὴ διαὶ Διὸς πανταιτίου πανεργέτα.
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται; ☜
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν; ἰὼ, ἰὼ, ☜
βασιλεῦ βασιλεῦ πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
ὤμοι μοι κοίταν τάνδ' ἀνελεύ-
θερον δολίῳ μόρῳ δαμεὶς ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

¶ Διφυεῖσι Ταντα λίδαισι] Ἀτρεῖ καὶ Θυέστῃ, ἢ Ἀγαμέμνονι καὶ Μενελάῳ. ¶ Γυναικῶν] Κλυταιμνήστρας καὶ Ἑλένης λέγει αἳ κατὰ φαυλότητα ἴσας τὰς ψυχὰς ἔχουσι. ¶ Κόρακος] ὡς κόραξ ἐσθίων νεκρῶν σῶμα βοᾷ, οὕτω καὶ ὁ δαίμων ἐκνόμως δικάσει παρὰ τὸ δίκαιον.

κλ. Αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν, μηδ' ἐπιλεχθῆς *
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος τόνδ' ἀπέτισεν
τέλεον νεαροῖς ἐπιθύσας.
χο. Ὡς μὲν ἀναίτιος εἶ τοῦδε φόνου, τίς ὁ μαρτυρήσων;
πῶ. πῶ. πατρόθεν δὲ συλλή- πτωρ γένοιτ' ἂν ἀλάστωρ.
βιάζεται δ' ὁμοσπόροις ἐπιρροαῖσιν αἱμάτων
μέλας ἄρης. ὅποι δὲ καὶ προβαίνων
πάχνα κουροβόρῳ παρέξει.
χο. Ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ, πῶς σε δακρύσω
φρενὸς ἐκ φιλίας; τί ποτ' εἴπω;
* κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤ μοι μοι κοίταν τάνδ' ἀνελεύ-
θερον δολίῳ μόρῳ δαμεὶς,
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
κλ. Οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
τῷδε γενέσθαι. οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
οἴκοισιν ἔθηκ'. ἀλλ' ἐμὸν ἐκ τοῦ-
δ' ἔρνος ἀερθὲν τὴν πολύκλαυτον
τ' Ἰφιγένειαν ἀνάξια δράσας,
ἄξια πάσχων, μηδὲν ἐν ᾅδου
μεγαλαυχείτω ξιφοδηλήτῳ θανάτῳ τίσας ἅπερ ἦρξεν.
χο. Ἀμηχανῶ φροντίδων στερηθεὶς
εὐπάλαμνον μέριμναν, ὅπα τράπωμαι, πίτνοντος οἴκου.
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν. ψακὰς δὲ λήγει.
δίκη δ' ἐπ' ἄλλο πρᾶγμα θήγει βλάβης.

κλ. Μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς· μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς.
ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασα,
ἀξύστατον ἄλγος ἔπραξεν.
χο. Δαῖμον, ὃς ἐμπίπτεις δώμασι καὶ
διφυέσι Ταντα λίδαισιν
κράτος ἰσόψυχον ἐκ γυναικῶν
καρδίᾳ δηκτὸν ἐμοὶ κρατύνεις.
ἐπὶ δὲ σώματος δίκην μοι
κόρακος ἐχθροῦ σταθεὶς ἐκνόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται.
νῦν δ' ὤρθωσας στόματος γνώμην ὃν τριπάχυιον
δαίμονα γέννας τῆσδε κικλήσκων.
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
νείρᾳ τρέφεται πρὶν καταλῆξαι,
τὸ παλαιὸν ἄχος νέος ἰχώρ.
χο. Η μέγαν οἴκοις τοῖσδε δαίμονα καὶ βαρύμηνιν αἰνεῖς.
φεῦ φεῦ κακὸν αἶνον ἀτη- ρᾶς τύχας ἀκορέστου·
ἰὼ ἰὴ διαὶ Διὸς παναιτίου πανεργέτα.
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται; ☞
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν; ἰὼ, ἰώ, ☞
βασιλεῦ βασιλεῦ πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
ὤμοι μοι κοίτην τάνδ' ἀνελεύ-
θερον δολίῳ μόρῳ δαμεὶς ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

¶Διφυέσι Ταντα λίδαισι] Ἀτρεῖ καὶ Θυέστῃ, ἢ Ἀγαμέμνονι καὶ Μενελάῳ. ¶Γυναικῶν] Κλυταιμνήστρας καὶ Ἑλένης λέγει αἳ κατὰ φαυλότητα ἴσας τὰς ψυχὰς ἔχουσι. ¶Κόρακος] ὡς κόραξ ἐπὶ τῶν νεκρῶν σώματι βοᾷ, οὕτω καὶ ὁ δαίμων ἐκνόμως δικάζει παρὰ τὸ δίκαιον.

κλ. Αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν,   μηδ' ἐπιλεχθῇς *
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος   τόνδ' ἀπέτισεν
τέλεον νεαροῖς ἐπιθύσας.
χο. Ὡς μὲν ἀναίτιος εἶ   τοῦδε φόνου, τίς ὁ μαρτυρήσων;
πῶ. πῶ. πατρόθεν δὲ συλλή-   πτωρ γένοιτ' ἂν ἀλάστωρ.
βιάζεται δ' ὁμοσπόροις   ἐπιρροαῖσιν αἱμάτων
μέλας ἄρης. ὅποι δὲ καὶ προβαίνων
πάχνα κουροβόρῳ παρέξει.
χο. Ἰὼ ἰὼ   βασιλεῦ βασιλεῦ, πῶς σε δακρύσω
φρενὸς ἐκ φιλίας; τί ποτ' εἴπω;
• κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤ μοι μοι   κοίταν τάνδ' ἀνελεύ-
θερον δολίῳ μόρῳ δαμεὶς,
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
κλ. Οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
τῷδε γενέσθαι.   οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
οἴκοισιν ἔθηκ'. ἀλλ' ἐμὸν ἐκ τοῦ-
δ' ἔρνος ἀερθὲν τὴν πολύκλαυτον
τ' Ἰφιγένειαν ἀνάξια δράσας,
ἄξια πάσχων, μηδὲν ἐν ᾄδου
μεγαλαυχείτω ξιφοδηλήτῳ   θανάτῳ τίσας ἅπερ ἦρξεν.
χο. Ἀμηχανῶ φροντίδων στερηθεὶς
εὐπάλαμον μέριμναν,   ὅπα τράπωμαι, πίτνοντος οἴκου.
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψακὰς δὲ λήγει.
δίκη δ' ἐπ' ἄλλο πρᾶγμα θήγει βλάβης.

πρὸς ἄλλαις θηγαίαις μοῖρα.
ἰὼ γᾶ γᾶ, εἴθ' ἐμ' ἐδέξω πρὶν τόνδ' ἐπιδεῖν
ἀργυροτοίχου δροίτας νῦν κατέχοντα χαμεύναν.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἢ σὺ τόδ' ἔρξαι τλήσῃ, κτείνασ' ἄνδρα τὸν αὐτῆς
ἀποκωκῦσαι ψυχὴν ἄχαριν χάριν. ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι.
ἡμ. Τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ
σὺν δακρύοις ἰάπτων ἀληθείᾳ φρενῶν πονήσει;
κλ. Οὔ σε προσήκει τὸ μέλημα λέγειν
τοῦτο. πρὸς ἡμῶν κάππεσε, κάτθανε.
καὶ καταθάψομεν
οὐχ ὑποκλαυθμῶν τῶν ἐξ οἴκων,
ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως θυγάτηρ, ὡς χρή,
πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ' ἀχέων περὶ χεῖρε βαλοῦσα φιλήσῃ.
χο. Ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους. δύσμαχα δ' ἐστὶ κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διὸς
παθεῖν τὸν ἔρξαντα. θέσμιον γάρ.
τίς ἂν γοναὶ ῥᾷον ἐκβάλοι δόμων,
κεκόλληται γένος προσάψαι.
κλ. Ἐς τόνδ' ἐνέβη ξὺν ἀληθείᾳ χρησμόν. ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν
ὅρκους θεμένα, τάδε μὲν στέργειν,
δύστλητά περ ὄνθ'. ὁ δὲ λοιπόν, ἰόν-
τ' ἐκ τῶνδε δόμων, ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισιν.
κτεάνων τε μέρος βαιὸν ἐχούσῃ
πᾶν, ἀπόχρη μοι δ' ἀλληλοφόνους

μανίας μελάθρων ἀφελούσῃ.
αἴγ. Ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου,
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις ἐριννύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοὶ,
χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατὴρ,
πατέρα Θυέστην τὸν ἐμὸν, ὡς τορῶς φράσαι,
αὐτοῦ τ' ἀδελφὸν, ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης, μοῖραν εὕρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
αὐτοῦ. ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεὺς, προθύμως μᾶλλον ἢ φίλως πατρὶ
τὠμῷ· κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδίων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος.
ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν,
ἔσθει βορὰν ἄσωτον ὡς ὁρᾷς γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
ᾤμωξεν ἄμ, πίπτει δ' ἀπὸ σφαγῆς ἐρῶν,
μόρον δ' ἄφερτον πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ·
οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ

¶ Χερῶν ἄκρους κτένας] ἤγουν τὰς διαστάσεις τῶν δακτύλων.

συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις.
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν συνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.
χο. Αἴγισθ' ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.
αἴγ. Σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσῃ, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ γῆρας, αἵ τε νήστιδες
δύαι, διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πήσας μογῇς.
χο. Γύναι σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα,
ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;
αἴγ. Καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ,
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ' ἐξορίνας ἠπίοις ὑλάγμασιν
ἄξῃ· κρατηθεὶς δ' ἡμερώτερος φανῇ.
χο. Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
ὃς οὐκ ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

¶Νερτέρα προσήμενος] ὑποδεεστέρα καθέδρα ὤν. οἱ γὰρ ζυγῖται τῶν θαλαμίων ἀνώτεροι εἰσίν.

¶Πήσας] ἀντὶ τοῦ παίσας.

¶Οὐκ ἔτλης αὐτοκτόνως] οὐχ ὑπέμεινας, φησί, δρᾶσαι σὺ αὐτὸς τὸ ἔργον μόνος, ἀλλὰ σὺν τῇ γυναικί.

αἰγ. Τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς.
ἐγὼ δ᾽ ὕποπτος ἐχθρὸς ἦ παλαιγενής,
ἐκ τῶνδε· τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν. τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον
κριθῶντα πῶλον. ἀλλ᾽ ὁ δυσφιλὴς κότῳ
λιμὸς ξυνοίκος μαλθακόν σφ᾽ ἐπόψεται.
χο. Τί δὴ τὸν ἄνδρα τόνδ᾽ ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες; ἀλλὰ σὺν, γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν᾽. Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ,
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;
αἰγ. Ἀλλ᾽ ἐπεὶ δοκεῖς τάδ᾽ ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα.
χο. Εἶα δὴ φίλοι λοχῖται τοὔργον οὐχ ἑκὰς τόδε.
εἶα δὴ ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
αἰγ. Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
χο. Δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ᾽ ἐρούμεθα.
κλ. Μηδαμῶς ὦ φίλτατ᾽ ἀνδρῶν ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ᾽ ἐξαμῆσαι πολλὰ δύστηνον ὁ ἔρως,
πημονῆς δ᾽ ἅλις γ᾽ ὕπαρχε· μηδὲν ἡματώμεθα.
στείχετε δ᾽ οἱ γέροντες πρὸς δόμους πεπρωμένους τούσδε
πρὶν παθεῖν. ἔρξαντα καιρὸν χρῆν τάδ᾽ ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο, τῶνδ᾽ ἅλις γ᾽ ἐχοίμεθ᾽ ἄν,
δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ᾽ ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.
αἰγ. Ἀλλὰ τούσδε μοὶ ματαίαν γλῶσσαν ὧδ᾽ ἀπανθίσαι,
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονας πειρωμένους,
σώφρονος γνώμης δ᾽ ἁμαρτεῖν τὸν κρατοῦντα.
χο. Οὐκ ἂν Ἀργείων τόδ᾽ εἴη, φῶτα προσσαίνειν κακόν.

¶Κριθῶντα πῶλον] οὐχ ὑποζεύξω τὸν μὴ πειθαρχοῦντα ὡς κριθῶντα πῶλον, ἤγουν πίονα ταῖς κριθαῖς· ἀλλὰ συγκλείσας, καὶ λιμώττειν ἐάσας πραΰνω.

¶Τὴν τύχην] τὸν οἰωνὸν δηλονότι.

Κριθιῶντα potius legendū ex Polluce. Fabius Beaumleus.

συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις.
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν συνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.
Χο. Αἴγισθ' ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.
Αἰγ. Σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσῃ γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ γῆρας, αἵ τε νήστιδες
δύαι, διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πήσας μογῇς.
Χο. Γύναι σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα,
ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;
Αἰγ. Καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ,
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ' ἐξορίνας νηπίοις ὑλάγμασιν
ἄξῃ· κρατηθεὶς δ' ἡμερώτερος φανῇ.
Χο. Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
ὃς οὐκ ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

¶Νερτέρᾳ προσήμενος] ὑποδεεστέρᾳ καθέδρᾳ ὤν. οἱ γὰρ ζυγοὶ τῶν θαλαμίων ἄνωθεν εἰσι.

¶Πήσας] ἀντὶ τοῦ παθών.

¶Οὐκ ἔτλης αὐτοκτόνως] οὐχ ὑπέμεινας, φησὶ, δρᾶσαι σὺ αὐτὸς τὸ ἔργον μόνος, ἀλλὰ σὺν τῇ γυναικί.

Αἰγ. Τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς.
ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενής,
ἐκ τῶνδε τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν. τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον
κριθῶντα πῶλον. ἀλλ' ὁ δυσφιλὴς κότῳ
λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.
Χο. Τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες; ἀλλὰ σὺν γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν'. Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ,
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;
Αἰγ. Ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα.
Χο. Εἶα δὴ φίλοι λοχῖται τοὔργον οὐχ ἑκὰς τόδε.
εἶα δὴ ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
Αἰγ. Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
Χο. Δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' ἐρούμεθα.
Κλ. Μηδαμῶς ὦ φίλτατ' ἀνδρῶν ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον ὁ ἔρως,
πημονῆς δ' ἅλις γ' ὑπάρχει· μηδὲν ᾑματώμεθα.
στείχετε δ' οἱ γέροντες πρὸς δόμους πεπρωμένους τούσδε
πρὶν παθεῖν. ἔρξαντα καιρὸν χρῆν τάδ' ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἅλις γ' ἐχοίμεθ' ἄν,
δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ' ἔχει λόγος γυναικὸς, εἴ τις ἀξιοῖ μαθεῖν.
Αἰγ. Ἀλλὰ τούσδε μοὶ ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτεῖν τὸν κρατοῦντα.
Χο. Οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.

Κειθῶντα πῶλον] οὐχ ὑποζεύξω τὸν μὴ πειθαρχοῦντα ὡς κριθῶντα πῶλον, ἤγουν πίονα ταῖς κριθαῖς· ἀλλὰ συγκλείσας, καὶ λιμώττειν ἐάσας πραΰνω.

Κριθιῶντα potius legendu' ex Polluce. Fabius Beaumleus.

Τὴν τύχην] τὸν οἰωνὸν δηλονότι.

αἴγ. Ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.
χο. Οὐκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.
αἴγ. Οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.
χο. Πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην, ἐπεὶ πάρα.
αἴγ. Ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.
χο. Κόμπασον θαρρῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.
κλ. Μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων
Καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων.

¶Καὶ σὺ θήσομεν] ἐγώ, φησί, καὶ σὺ κρατοῦντες τῶνδε τῶν δωμάτων διαθησόμεθα τὰ καθ' αὐτοὺς καλῶς.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ Χοηφόροι.

λείπει ἡ ἀρχή.

* * *

ὀρ. Τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
πότερα δόμασι πῆμα προσκυρεῖ νέον;
ἢ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσας νερτέροις μειλίγμασιν;
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ
πρέπουσαν. ὦ Ζεῦ, δός με τίσασθαι μόρον
πατρός, γενοῦ δὲ σύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς
μάθω γυναικῶν ἥτις ἥδε προστροπή.
χο. Ἰαλτὸς ἐκ δόμων ἔβαν

¶Πρέπουσα] ἐμφαίνουσα.

¶Ἰαλτὸς] ὑπὸ Κλυταιμνήστρας πεμφθεῖσα. ἐπὶ [illegible]

χοὰς προπομπὸς ὀξύχειρι σὺν κτύπῳ·
πρέπει παρηὶς φοίνισσα μυγμοῖς,
ὄνυχος ἄλοκι νεοτόμῳ.
δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ.
λινοφθόροι δ' ὑφασμάτων
λακίδες ἔφλαδον ὑπ' ἄλγεσι
πρόστερνοι στολμοὶ, πέπλων ἀγελάστοις
ξυμφοραῖς πεπληγμένων. τορὸς γὰρ φόβος ὀρθόθριξ
δόμων ὀνειρόμαντις ἐξ ὕπνου κότον
πνέων, ἀωρόνυκτον ἀμβόαμα
μυχόθεν ἔλακε περὶ φόβῳ,
γυναικείοισιν ἐν δώμασι βαρὺ πιτνῶν.
κριταί τε τῶνδ' ὀνειράτων
θεόθεν ἔλακον ὑπέγγυοι μέμφεσθαι τοὺς γᾶς
νέρθεν περιθύμως, τοῖς κτανοῦσί τ' ἐγκοτεῖν.
τοιάνδε χάριν ἄχαριν, ἀπότροπον κακῶν,
ἰὼ γαῖα γαῖα, μωμένα μ' ἰάλλει
δύσθεος γυνά. φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν.
τί γὰρ λύτρον πεσόντος αἵματος πέδῳ;
ἰὼ πάνοιζυς ἑστία, ἰὼ κατασκαφαὶ δόμων.

¶ Σὺν κτύπῳ] σὺν κοπετῷ· ὅπως ἐναγίζουσα συγκόπτομαι καὶ θρηνοῦσα. ¶ Πρέπει] διαφαίνεται. ¶ Ἄλοκι] αὔλακι, τομῇ. ¶ Βόσκεται κέαρ] ἀεὶ τῷ τρέφομαι τῷ θρηνῷ. ¶ Λινοφθόροι] τὰ λίνα διαφθείρουσαι. τὸ ἑξῆς, οἱ δὲ στολισμοὶ τῶν ὑφασμάτων περὶ τοῖς στέρνοις, λινοφθόροι λακίδες ἐρράγησαν. ¶ Ὑπ' ἄλγεσι] ὑπὸ τῶν κοπετῶν. ¶ Τορὸς] σαφής. ¶ Ὀρθόθριξ] ὀρθοῦσθαι ποιῶν τὰς τρίχας. ¶ Ὀνειρόμαντις] δι' ὀνείρων τοῖς δόμοις μαντευόμενος. ¶ Ἐξ ὕπνου] ἀπὸ τοῦ, δι' ὕπνου. ¶ Ἀωρόνυκτον] κατὰ τὸ μεσονύκτιον. ¶ Μυχόθεν ἔλακε] ἐκ τῶν τῆς καρδίας μυχῶν περισσῶς τῷ φόβῳ ἀναλακεῖν καὶ βοῆσαι τὴν Κλυταιμνήστραν ἐποίησεν ὁ σαφὴς φόβος, δι' ὀνείρων μαντευόμενος. ¶ Γυναικείοισιν] οἱονεὶ τοῖς ἐστερημένοις τοῦ κουριδίου ἀνδρός. ¶ Ὑπέγγυοι] ἀληθεῖς, θεοφόρητοι, τὴν ἀπόφασιν ἐγγυώμενοι, ὅτι ἐκ θεῶν ἠσφαλισμένοι τὴν μαντείαν. ¶ Περιθύμως] ὑπερβαλλόντως. ¶ Ἄχαριν] τοῖς ὀργιζομένοις νεκροῖς ἄχαριν. ἣ ἐμοὶ [illegible] ὑπηρετοῦσιν αὐτῷ. ¶ Ἰὼ γαῖα] ὦ γῆ μήτηρ. τοῦτο δὲ διὰ μέσου ἀναπεφώνηται. ¶ Μωμένα] ζητοῦσα. ¶ Δύσθεος γυνὰ] δεῖ νοεῖν ὅτι τὸ δύσθεος γυνά, ἠρέμα πως ἐφθέγξατο· διό φησι, φοβοῦμαι γὰρ ἔπος τόδε ἐκβάλλειν.

ἀνήλιοι βροτοστυγεῖς δνόφοι καλύπτουσι δόμους,
δεσποτῶν θανάτοισι. σέβας δ' ἄμαχον, ἀδάματον,
ἀπόλεμον τὸ πρὶν, δι' ὤτων φρενός τε
δαμίας περαῖνον, νῦν ἀφίσταται. φοβεῖ-
ται δέ τις. τὸ δ' εὐτυχεῖν
τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.
ῥοπὴ δ' ἐπισκοπεῖ δίκης ταχεῖα, τοὺς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει, χρονίζοντ' ἄχη βρύει·
τοὺς δ' ἄκραντος ἔχει νύξ.
δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ,
τίτας φόνος πέπηγεν οὐ διαῤῥυδάν.
διαλγὴς ἄτη διαφέρει τὸν αἴτιον παναρκέτας νόσου βρύειν.
τοὺς δ' ἄκραντος ἔχει νύξ.
οἴγοντι δ' οὔτι νυμφικῶν ἑδωλίων
ἄκος· πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ
βαίνοντες τὸν χαιρομυσῆ φόνον καθαί-

¶Ἀνήλιοι] οὓς οὐδὲ ἥλιος ἐπιδεῖ, διὰ τὸ Ἀγαμέμνονος μῖσος. φιλοῦντες γὰρ αὐτὸν, οὐδὲ ἀκούειν ἠνείχοντο κατ' αὐτοῦ. ¶Σέβας] ἑκούσιον σέβας τὸ μὴ ἐκ φόβου, ἀλλ' ἐξ αἰδοῦς αὐτοῖς γινόμενον. τοῦτο δὲ θέλει εἰπεῖν ὅτι ἡ αἰδὼς ἣν περὶ Ἀγαμέμνονος εἶχον οἱ δῆμοι, νῦν εἰς φόβον ἐτράπη. ἐκεῖνον γὰρ ᾐδοῦντο καὶ ἐφίλουν. τούτους δὲ φοβοῦνται ὡς τύραννον διαπλούμενον. ¶Δαμίας] δημοσίας, τοῦ δήμου. ¶Φοβεῖται δέ τις] ἀντὶ τοῦ, ἕκαστος φοβεῖται φθέγξασθαι. ¶Θεός τε καὶ θεοῦ πλέον] γνωμικῶς. ¶Ῥοπὴ δ' ἐπισκοπεῖ] ἡ δὲ τῆς δίκης ῥοπὴ τοὺς μὲν ἐπισκοπεῖ ταχέως καὶ ἀμύνεται, ἄλλοις δὲ ἐν ἀμφιβόλῳ ἐᾷ τὴν τιμωρίαν, οὐκ ἀθρόως αὐτοὺς ἀμειβομένη, ὥστε τοὺς ἠδικημένους ὑπ' αὐτῶν λυπεῖσθαι. ἄλλους δὲ σκότος καλύπτει, ὡς μηδ' ὁρᾶσθαι ὑπ' αὐτῆς. ὁμοίως ὁ φόνος πέπηγε καὶ οὐ διαῤῥεῖ, ἀλλ' ἐπίζεσιν αὐτόν. ¶Ἐν φάει] φανερῶς. ¶Τὰ δ' ἐν μεταιχμίῳ] ὅσα δὲ ἐν ἀμφιβόλῳ, ταῦτα σύν τινι μεγάλῳ ἀποτίσει. ¶Βρύει] αὐξεῖ. ¶Ἄκραντος ἔχει νὺξ] ἀντὶ τοῦ, αἰώνιος θάνατος. ¶Τίτας] τιμωρός. ¶Οὐ διαῤῥυδὰν] ἀντὶ τοῦ οὐ διαῤῥέων. ¶Διαλγὴς ἄτη] τοῦτ' ἔστιν ὁ φόνος. ¶Διαφέρει] διασπαράσσει. ¶Παναρκέτας] τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῷ. ¶Τοὺς δ' ἄκραντος] τοῦτο ὥσπερ ἐπῳδόμενόν ἐστι. ¶Νυμφικῶν ἑδωλίων] τὸ γυναικεῖον αἰδοῖον λέγει. ὥσπερ γὰρ τῷ ἐπιβάντι νυμφικῆς κλίνης, οὐκ ἔστιν ἴασις πρὸς ἀναπαρθένευσιν τῆς κόρης· οὕτως οὐδὲ τῷ φονεῖ πάρεστι πόρος πρὸς ἄκεσιν τοῦ φόνου. ¶Πάντες ἐκ μιᾶς] πάντες οἱ ποταμοὶ εἰς ἓν συνερχόμενοι.

ροντες ἰοῦσαν ἄτην. ἐμοὶ δ᾽ ἀνάγκην γὰρ ἀμφίπτολιν
θεοὶ προσήνεγκαν. ἐκ γὰρ οἴκων
πατρῴων δούλιον ἐσᾶγον αἶσαν·
δίκαια καὶ μὴ δίκαια, πρέποντ᾽ ἀρχαῖς βίου,
βίᾳ φερομένων αἰνέσαι, πικρὸν φρενῶν
στύγος κρατούσῃ. δακρύω δ᾽ ὑφ᾽ εἱμάτων
ματαίοισι δεσπότου τύχαις, κρυφαίοις πένθεσι παχνουμένη.
ἠλ. Δμωαὶ γυναῖκες δωμάτων εὐθήμονες
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
πομποὶ, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τύμβῳ χέουσα τάσδε κηδείους χοάς,
πῶς εὔφρον᾽ εἴπω, πῶς κατεύξωμαι πατρί·
πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρὶ, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ᾽ οὐ πάρεστι θάρσος, οὐδ᾽ ἔχω τί φῶ,
χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός·
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
ἔστ᾽, ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν τε τῶν κακῶν ἐπαξίαν;
ἢ σῖγ᾽ ἀτίμως, ὥσπερ οὖν ἀπώλετο

¶Ἰοῦσαν ἄτην] ἀντὶ τοῦ, τὴν ἐπιοῦσαν αὐτῷ ἄτης. ἀττικῶς δὲ τὸ πρὸς αἰτιατικὴν συντάσσειν, καθαίρουσι τὸν φόνον· τὸ δὲ κοινὸν, καθαίρουσι τοῦ φόνου. ¶Ἐμοὶ δὲ] τὸ ἑξῆς, ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενα ἐστὶν ἀπαρχαῖς βίου τὰ τῶν βίᾳ με φερομένων αἰνέσαι, πικρὸν φρενῶν στύγος κρατούσῃ. ἀνάγκην γάρ μοι οἱ θεοὶ προσήνεγκαν. ¶Ἀμφίπτολιν] τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην, ὅ ἐστι, πόλεμον. ὡς ἀμφιμάτορας κόρους φησὶν ὁ Εὐριπίδης· ἐκ διαφόρων γὰρ πόλεων ἦσαν οἱ Ἕλληνες. ¶Δίκαια καὶ μὴ δίκαια] εἴτε δικαίως, εἴτε μή. ἔστι δὲ παροιμία, δοῦλε δεσποτῶν ἄκουε καὶ δίκαια καὶ ἄδικα. ¶Πρέποντ᾽ ἀρχ. βίου] πρέποντά μοι ἐστὶ καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανῄρημαι τὸν βίον, τὰ τῶν πρὸς βίαν κεκτημένων ἐπαινέσαι, καλυπτούσῃ τὸ κατ᾽ αὐτῶν ἀποστύγημα, καὶ μηδὲ παρρησίᾳ τὸν δεσπότην κλαιούσῃ. ¶Ματαίοισι] ἐπὶ ματαίαις τύχαις. ¶Κρυφαίοις πένθεσι] τοῦτ᾽ ἔστι, μὴ ὡς φαινούσῃ τὸ μῖσος τὸ κατὰ Κλυταιμνήστρας. ¶Εὐθήμονες] τοῦτ᾽ ἔστιν εὐπρεπεῖς εὐθετοῦσαι τὰ κατὰ τὸν οἶκον. ¶Κηδείους] συγγενικάς. ¶Κατεύξωμαι] λείπει λόγον. ¶Τῶνδ᾽ οὐ πάρεστι] τῶν λόγων. ¶Πέλανον] πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦσι. ¶Τάσδε] τὰς χοάς. ¶Τῶν κακῶν] παρ᾽ ὑπόνοιαν. ἔδει γὰρ τῶν καλῶν εἰπεῖν.

πατρὶ, τάδ' ἐκχέουσα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥστις ἐκπέμψας, πάλιν,
δικοῦσα τεῦχος, ἀστρόφοισιν ὄμμασιν.
τῆσδ' ἔστε βουλῆς ὦ φίλαι μεταίτιαι.
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν·
μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει,
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἂν εἴ τι τῶνδ' ἔχοις ὑπέρτερον.
χο. Αἰδουμένη σοὶ, βωμὸν ὡς, τύμβον πατρὸς,
λέξω (κελεύεις γὰρ) τὸν ἐκ φρενὸς λόγον.
ἠλ. Λέγοις ἂν ὥσπερ ᾐδέσω τάφον πατρός.
χο. Φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν.
ἠλ. Τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;
χο. Πρῶτον μὲν αὑτὴν, χ' ὅστις Αἴγισθον στυγεῖ.
ἠλ. Ἐμοί τε καὶ σοί γ' ἆρ' ἐπεύξομαι τάδε.
χο. Αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.
ἠλ. Τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
χο. Μέμνησ' Ὀρέστου, καὶ θυραῖος ἔσθ', ὅμως. κ'εἰ
ἠλ. Εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.
χο. Τοῖς αἰτίοις νῦν τοῦ φόνου μεμνημένη.
ἐλ. Τί φῶ, δίδασκ' ἄπειρον ἐξηγουμένη.

¶Γάποτον χύσιν] ἐπεξηγήσατο τί εἰσιν ἃ φέρει, διὰ τοῦ γάποτον χύσιν. ¶Στείχω, καθάρμαθ'] τοῦτο πρὸς τὸ παρ' Ἀθηναίοις ἔθος· ὅτι καθαίροντες οἰκίας ὀστρακίνῳ θυμιατηρίῳ, ῥίψαντες ἐν ταῖς τριόδοις τὸ ὄστρακον, ἀμεταστρεπτεὶ ἀνεχώρουν. ¶Ἐκπέμψας, πάλιν] πάλιν, εἰς τοὐπίσω ἀναχωρήσω, πρὸς τὸν Ἀθηναίων νόμον. ¶Ἀστρόφοισιν ὄμμασιν] τὸ ἑξῆς, δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν, στείχω πάλιν, καθάρματα ὥστις ἐκπέμψας. ¶Τῆσδ' ἔστε βουλῆς] ἀναδέξασθε τὴν αἰτίαν τῆς βουλῆς. ¶Μεταίτιαι] σύμβουλοι. ¶Μὴ κεύθετ' ἔνδον] τὴν βουλήν. ¶Τὸ μόρσιμον γὰρ] αὐτὴ δὲ, οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον. ¶Ὑπέρτερον] τῶν ὑπ' ἐμοῦ ἀμεινόνων λεγομένων. ¶Αἰδουμένη] λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον, ὡς βωμόν. ¶Χέουσα] τὰς χοὰς χέουσα, εὔξαι ἀγαθὰ τοῖς εὖ φρονοῦσι, τῷ Ἀγαμέμνονι δηλονότι. ¶Τίνας δὲ τούτους] τίνας τοὺς εὖ φρονοῦντας αὐτῷ ὀνομάσω; ¶Πρῶτον μὲν αὑτὴν] σεαυτὴν δηλονότι, κἀκεῖνον ὅστις Αἴγισθον στυγεῖ. ¶Αὐτὴ σὺ] σὺ σκόπησον τίς στυγεῖ Αἴγισθον. οὐκ ἐμὸν γὰρ εἰπεῖν. ¶Τῇδε προστιθῶ στάσει] τῇ στάσει ἡμῶν.

χο. Ελθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινά.
ἠλ. Πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;
χο. Απλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ.
ἠλ. Καὶ ταῦτα μοῦ 'στιν εὐσεβῆ θεῶν πάρα;
χο. Πῶς δ' οὔ, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;
ἠλ. Ερμῆ χθόνιε κηρύξας ἐμοί,
τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς
εὐχάς, πατρῴων δ' ὀμμάτων ἐπισκόπους,
καὶ γαῖαν αὐτὴν ἣ τὰ πάντα τίκτεται,
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει.
κἀγὼ χέουσα τάσδε χέρνιβας βροτοῖς,
λέγω καλοῦσα πατέρ', ἐποίκτειρόν τ' ἐμέ,
φίλον τ' Ορέστην, πῶς ἀνάξομεν δόμοις.
πεπραγμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
φεύγων Ορέστης ἐστίν, οἱ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ορέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι. καὶ σὺ κλῦθί μου πάτερ,
αὐτῇ τε μοι δός, σωφρονεστέραν πολὺ
μητρὸς γενέσθαι, χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε, τοῖς δ' ἐναντίοις
λέγω φανῆναί σου πάτερ τιμάορον.

¶Πότερα δικαστὴν ἢ δικ.] κριτὴν ἢ τιμωρόν. ὅ ἐστιν, ἀκουσόμενον τὰ πράγματα, ἢ πρὸ ἀκοῆς τὴν τιμωρίαν ἐπάξοντα, ὡς ἀναμφιβόλου ὄντος τοῦ κακοῦ. ¶Καὶ ταῦτα] αἰτία τοῦ, καὶ τὸ ταῦτα εἰπεῖν, παρὰ θεῶν ὅσια κρίνεται; ¶Επισκόπους] νῦν τὰς ἐπισκόπους. ¶Θρέψασα] θρέψασα ἡ γῆ τὸν σπόρον τοῖς ἐπιοῦσι καρποῖς, αὖθις αὐτοῦ κῦμα λαμβάνει. ¶Πῶς] ἀντὶ τοῦ ὅπως. ¶Ανάξομεν] βασιλεύσομεν. ¶Πεπραγμένοι] νενικημένοι, καταγωνισμένοι. ¶Αντίδουλος] ἰσόδουλος, ἐν δούλης τάξει. ¶Υπερκόπως] ὑπερηφάνως. ¶Χλίουσι] τρυφῶσι. ¶Τοῖς δ' ἐναντίοις] τοῖς δ' ἐχθροῖς σου λέγω σε φανῆναι τιμωρόν.

καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκην.
ταῦτ' ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς,
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν.
ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ.
τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς·
ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.

Χο. Ἵετε δάκρυ καναχὲς ὀλόμενον ὀλομένῳ δεσπότᾳ,
πρὸς ἔρυμα τόδε κακῶν, κεδνῶν
τ' ἀπότροπον ἄγος ἀπεύχετον,
κεχυμένων χοᾶν. κλύε δέ μοι κλύε
σέβας ὦ δέσποτα ἐξ ἀμαυρᾶς φρενός,
ὀτοτοτοτοτοῖ. ἰώ, τίς δορυ-
σθενὴς ἀνὴρ ἀναλυτὴρ δόμων σκύθης τ' ἐν
χεροῖν παλίντον' ἐν ἔργῳ βέλη 'πιπάλλων ἄρης,
σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη;

Ηλ. Ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ,
κήρυξ μεγίστη τῶν ἄνω τε καὶ κάτω· * *
νέου δὲ μύθου τοῦδε κοινωνήσατε.

Χο. Λέγοις ἄν, ὀρχεῖται δὲ καρδία φόβῳ.

Ηλ. Ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.

¶Ἀντικατθανεῖν] γράφεται ἀντικατακτανεῖν. ¶Ἐν μέσῳ] ἐν κεφαλαίῳ, ἐν ὑποθέσει τίθημι. ¶Ἐπανθίζειν] στέφειν ὡς ἄνθεσι. ¶Παιᾶνα] ὅτι ἐπὶ ἀποθανόντος παιᾶνα εἶπε καταχρηστικῶς. καὶ Εὐριπίδης, Παιᾶνα τὸν κάτωθεν ἀσπόνδῳ θεῷ. ¶Καναχὲς] καναχηδόν. δακρύετε καναχὲς, ἠχητικόν. ¶Κεχυμένων] τὸ ἑξῆς, ὀλόμενον κεχυμένων χοᾶν πρὸς ἔρυμα, τόδε ἵετε δάκρυ. ἄγος ἀπεύχετον (τὸ δάκρυ τὸ ἀποτρεπτικὸν ἄγος εἶπεν.) ἀπότροπον τῶν ἡμετέρων κακῶν, καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν. ¶Ἐξ ἀμαυρᾶς] τῆς ἀσθενοῦς, ὡς πρὸς σύγκρισιν Ἠλέκτρας. ἢ ὅτι σκιὰ οἱ νεκροί. ¶Ἀναλυτὴρ δόμων] τῶν ἐν τοῖς δόμοις κακῶν. ¶Ἐν ἔργῳ] ὅτι, μὴ μόνον φέρων, ἀλλὰ καὶ πράττων ἐν τῷ ἔργῳ, ἐν τῷ βάλλειν. ¶Σχέδια] γράφεται ἕτοιμα. ¶Αὐτόκωπα] τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη. σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα καὶ οὐ πόρρωθεν, ὥσπερ τὰ βέλη. ¶Ὀρχεῖται] λίαν κινεῖται.

χο. Τίνος ποτ' ἀνδρὸς, ἢ βαθυζώνου κόρης;
ἠλ. Εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
χο. Πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;
ἠλ. Οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κειραίατο.
χο. Ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.
ἠλ. Καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.
χο. Ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.
ἠλ. Αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.
χο. Μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦν τόδε;
ἠλ. Μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.
χο. Καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;
ἠλ. Ἔπεμψε χαίτην κουρίμην χάριν πατρί.
χο. Οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
ἠλ. Κἀμοὶ προσέστη καρδίας κλυδώνιον
χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει.
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφαρκτοι δυσχίμου πλημμυρίδος,
πλόκαμον ἰδούσῃ τόνδε. πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
ἐμὴ δὲ μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάισμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου· σαίνομαι δ' ὑπ' ἐλπίδος. φαῦ.

¶Ἐχθροὶ γὰρ] λείπει τὸ εἰσίν. ¶Ὅδ' ἐστὶ] ὁ πλόκαμος. ¶Ὁμόπτερος] συγγενής. ¶Καρδίας κλυδώνιον] κίνησις τῆς χολῆς τῆς κατ' αὐτήν. ¶Ἐπαίσθην] ὡς βέλει ἐκρούσθην, ἐξ ἐναντίας τιτρώσκοντα. ¶Δίψιοι] θερμοὶ ἄγευστοι. ὡς δίψιον ἄργος, τὸ πάνυ ἄνυδρον. ¶Οὐδαμῶς ἐπώνυμον] οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς. ¶Φρόνημα] τὸ δύσθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη. ¶Τάδ' αἰνέσω] λείπει οὐκ ἔχω. ¶Σαίνομαι] παραμυθοῦμαι.

εἴθ' εἶχε φωνὴν εὔφρον', ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην·
ἀλλ' εὖ σαφῶς τόνδ' ἀποπτύσαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν, εἶχε συμπενθεῖν ἐμοὶ,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
οἵοισιν ἐν χειμῶσι, ναυτίλων δίκην,
στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,
ποδῶν ὅμοιοι, τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς·
καὶ γὰρ δύ' ἐστὸν τῶδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ' ἐκείνου καὶ συνεμπόρου τινός.
πτέρναι, τενόντων θ' ὑπογραφαὶ μετρούμεναι
εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.

Hoc tacite damnavit Euripides in Electra.

Χο. Εὔχου τὰ λοιπὰ, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς·
Ηλ. Ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
Χο. Εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.
Ηλ. Καὶ τίνα σύνοισθά μοι καλουμένη βροτῶν;
Χο. Σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.

¶Εἴθ' εἶχε φωνὴν] ὁ πλόκαμος δηλονότι. ¶Δίφροντις] διχογνώμων. ¶Μὴ κινυσσόμην] ἐφανταζόμην. κίνυγμα γὰρ τὸ εἴδωλον. ¶Ἀλλ' εὖ] εὖ αἰτὶ τοῦ ἀκριβῶς. ¶Ἀποπτύσαι] μισῆσαι. ¶Ἄγαλμα τύμβου] λείπει ἡ εἰς. ¶Ναυτίλων] ἤγουν ναυτῶν. ὅτι κατὰ δυνατὸν δίκη. ¶Σμικροῦ γένοιτ' ἂν] ἀντὶ τοῦ, εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ' ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν. ¶Καὶ μὴν στίβοι] τὸ ἑξῆς. καὶ μὴν δεύτερον τεκμήριον στίβοι, ἤγουν οἱ ἐν τῇ γῇ τύποι τῶν ποδῶν. ¶Ὅμοιοι, τοῖς τ' ἐμοῖσιν] ἐπειδὴ ἄδηλον πῶς ὅμοιοι, ἐπάγει, τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς. ¶Τενόντων θ'] τὸν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν, τένοντας φησίν. ¶Καὶ φρενῶν καταφθορά] ἀλγηδὼν καὶ λύπη πάρεστι, καὶ ὥσπερ ὠδίνω τὰ παρόντα. ¶Ἐπεὶ τί νῦν] ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ὑπὸ θεῶν, ὅτι εἶπας τὰ λοιπά; ¶Ἐκπαγλουμένην] ἐκπάγλως θαυμάζουσαν.

ἠλ. Καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ὀρ. Ὅδ᾽ εἰμί, μὴ μάτευ᾽ ἐμοῦ μᾶλλον φίλον.
ἠλ. Ἀλλ᾽ ἦ δόλον τιν᾽ ὦ ξέν᾽ ἀμφί μοι πλέκεις.
ὀρ. Αὐτὸς κατ᾽ αὐτοῦ γ᾽ ἆρα μηχανορραφῶ.
ἠλ. Ἀλλ᾽ ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.
ὀρ. Κἀν τοῖς ἐμοῖσιν, εἴπερ ἔν γε τοῖσι σοῖς.
ἠλ. Ὡς ὄντ᾽ Ὀρέστην τάδε ἐγώ σε προσυννέπω.
ὀρ. Αὐτὸν μὲν νῦν ὁρῶσα δυσμαθεῖς ἐμέ· Αὐτόν με
κουρὰν δ᾽ ἰδοῦσα τήνδε κηδείου τριχὸς
ἀνεπτερώθης, κἀδόκεις ὁρᾶν ἐμέ,
ἰχνοσκοποῦσά τ᾽ ἐν στίβοισι τοῖς ἐμοῖς·
σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ
σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχός.
ἰδοῦ δ᾽ ὕφασμα τοῦτο, σῆς ἔργον χερός·
σπάθης τε πληγάς· εἰς δὲ θηρείων γραφήν,
ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ κπλαγῇς φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς.
ἠλ. Ὦ φίλτατον μέλημα δώμασιν πατρός, μέλημα
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῇ πεποιθὼς δῶμ᾽ ἀνακτήσῃ πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον·
ἐμοὶ προσαυδᾶν δ᾽ ἔστ᾽ ἀναγκαίως ἔχον.
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον· ἡ δὲ πανδίκως ἐχθαίρεται·
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·

¶Τυγχάνω] ἐπέτυχον. ¶Δυσμαθεῖς] ἀπιστεῖς. ¶Κηδείου] τῆς ἐπὶ κηδείᾳ τετμημένης. ¶Συμμέτρου] παραπλησίου. ¶Ἰδοῦ δ᾽ ὕφασμα] οὐ πάντως ἐν τῷ νῦν χιτῶνι, ἀλλ᾽ εἰκὸς αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν σπάργανον. ¶Εἰς δὲ θηρείων] παρὰ τὸ, ἐν στερροῖσι πόδεσσι κύνας ἔχε. ¶Δακρυτὸς] ἢ ὅτι παρ᾽ ἐλπίδας ὤφθη, ἢ ὅτι φανεὶς, δάκρυα αὐτῇ ἐκίνησε. ¶Προσαυδᾶν δ᾽ ἔστ᾽] ὁ δὲ αἰτία τοῦ στόρ. ¶Η δὲ πανδίκως ἐχθαίρεται] ἐν σοὶ ὁρῶ μητέρα στεργόμενον, αὕτη δὲ ἀπέχθεταί μοι. ¶Καὶ τῆς τυθείσης] ἀπὸ κοινοῦ τὸ, εἰς σέ μοι ῥέπει στέργηθρον.

πιστὸς δ᾽ ἀδελφὸς ἦσθ᾽ ἐμοὶ σέβας φέρων·
μόνον κράτος τε καὶ δίκη σὺν τῷ τρίτῳ
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι.
Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·
ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρὸς
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασι
δεινῆς ἐχίδνης. τοὺς δ᾽ ἀπωρφανισμένους
νῆστις πιέζει λιμός. οὐ γὰρ ἐντελὴς
θήραν πατρῴαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ, τήνδε τ᾽ Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ᾽ ἀποφθείρας, πόθεν
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ᾽ αἰετοῦ γένεθλ᾽ ἀποφθείρας, πάλιν
πέμπειν ἔχοις ἂν σήματ᾽ εὐπειθῆ βροτοῖς·
οὔτ᾽ ἀρχικός σοι πᾶς ὅδ᾽ αὐανθεὶς πυθμὴν,
βωμοῖς ἀρήξει, βουθύτοις ἐν ἤμασι.
κόμιζ᾽, ἀπὸ σμικροῦ δ᾽ ἂν ἄρας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.
χο. Ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρὸς,
σιγᾶθ᾽· ὅπως μὴ πεύσεταί τις ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ᾽ ἀπαγγείλῃ τάδε
πρὸς τοὺς κρατοῦντας, οὓς ἴδοιμ᾽ ἐγώ ποτε

¶Τοὺς δ᾽ ἀπωρφανισμένους] ἀντὶ τοῦ ἡμᾶς. ¶Οὐ γὰρ ἐντελὴς θήραν πατρῴαν προσφέρειν] οὐκ ἔστι γένναν ἐντελὴς, ὥστε τὴν πατρῴαν θήραν προσάγειν τῇ καλιᾷ. ¶Νεοσσοὺς τούσδ᾽ ἀποφθ.] ἐὰν ἀποκτείνῃς ἡμᾶς. ¶Εὔθοινον γέρας] εὔθυνον, διὰ τοῦ υ τὸ δίκαιον σημαίνει· εὔθοινον δὲ διὰ τῆς οι, καλὴν εὐωχίαν ἔχον γέρας, παρὰ τὸ θοίνη. ¶Οὔτ᾽ αἰετοῦ γένεθλ.] Ὅς τέ οἱ αὐτῷ φίλτατος οἰωνῶν. ¶Βωμοῖς ἀρήξει] ἀντὶ τοῦ ἐπιμεληθήσεται τῶν βωμῶν. ¶Κόμιζ᾽, ἀπὸ σμ.] ἀντὶ τοῦ, σῶζε ἡμᾶς· δυνάσαι γὰρ ἀπὸ σμικρᾶς αἰτίας ἀνοικοδομῆσαι τὸν πεσόντα δόμον. ¶Γλώσσης χάριν] μὴ δυνάμενος ἐχεμυθεῖν.

θανόντας ἐν κηκῖδι πισσήρει φλογός.
ὀρ. Οὔτοι προδώσει λοξίου μεγασθενὴς
χρησμὸς, κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ, καὶ δυσχειμέρους
ἄτας ὑφ᾽ ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους,
τρόποι δ᾽ αὐτὸν ἀνταποκτεῖναι λέγων,
ἀποχρῆμα τοῖσι ζημίαις ταυρούμενον,
αὐτὸν δ᾽ ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε
τίσειν μ᾽ ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα
βροτοῖς πιφαύσκων εἶπε, τάσδε νῷν νόσους,
σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις
λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν.
λευκὰς δὲ κόρσας τῇδ᾽ ἐπαντέλλειν νόσῳ·
ἄλλας τε φωνεῖ προσβολὰς ἐριννύων,
ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας.
ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ᾽ ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,
καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει καὶ διώκεται πόλεως,

¶ Ἐν κηκῖδι] ἐν ἀναδόσει φλογὸς ἰσχυρᾶ. ¶ Πισσήρει] καιόμενα γὰρ τὰ ξύλα πίσσαν ἀφίησι. ¶ Κἀξορθιάζων] ἀναπεπταμένως βοῶν. ¶ Τοῖσι ζημίαις] ὁ ἐμὲ ζημίαν μεμφόμενος, ἢ Αἴγισθον τὸν ζημιωθέντα πολλὰ ἐπὶ τῷ φόνῳ τοῦ πατρός. ¶ Αὐτὸν δ᾽ ἔφασκε] αὐτὸν τὸν Ἀγαμέμνονα ἔφασκε πλεονεκτεῖν. ¶ Μειλίγματα] τῶν ἐχθρῶν μειλίγματα. αἱ κολάσεις γὰρ τῶν ἀδικούντων, μειλίγματα εἰσὶ τῶν ἀδικηθέντων. ἢ, μέχρι γήρως ἀτυχήσομεν, ἢ παρ᾽ αὐτὰ γηράσομεν. παρὰ τὸ, Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι. τοὺς μὲν γὰρ πολίτας λιμώξειν ἐκ γῆς ἔφασκε πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος, ὡς μὴ ἐκδικήσαντας· ἡμᾶς δὲ σωματικῶς φθαρῆναι. ¶ Κόρσας] θρίχας. ¶ Ἐν σκότῳ] τὸν ἐν σκότῳ νοῦν κινοῦντα τὴν ὀφρῦν, λαμπρῶς ἡμᾶς ἐπιξενοῦσαι ἔλεγε. ¶ Τὸ γὰρ σκοτεινὸν] ἡ νόσος. ¶ Πεπτωκότων] ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.

χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας·
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λίβος,
βωμῶν τ' ἀπείργειν, οὐχ ὁρωμένην πατρὸς
μῆνιν δέχεσθαι, οὔτε συλλύειν τινά.
πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ,
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ.
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι.
κ' εἰ μὴ πέποιθα, τοὔργον ἐξεργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ, καὶ πατρὸς πένθος μέγα,
καὶ προσπιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενὶ,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν·
θήλεια γὰρ φρήν· εἰ δὲ μὴ, τάχ' εἴσεται.
Χο. Ἀλλ' ὦ μεγάλαι μοῖραι Διόθεν τῇδε τελευτᾶν,
ᾗ τὸ δίκαιον μεταβαίνει· ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα δίκη μέγ' ἀυτεῖ·
ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω· δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.
Ορ. Ὦ πάτερ, αἰνόπατερ, τί σοι φάμενος ἢ τί ῥέξας,

¶Λυμανθὲν] λυμανθέντα κακῶς. ¶Βωμῶν τ' ἀπείργειν] ἀπὸ κοινοῦ τὸ ἔφησεν. ¶Συλλύειν] συγκλύειν, συνοικεῖν. ¶Ταριχευθέντα] καὶ ὁ σώφρων τὸ γῆρας ἅμα μαραίνει ταριχεύει. ¶Τοιοῖσδε] κατ' ἀπόφασιν ἀναγνωστέον. ¶Κ' εἰ μὴ πέποιθα] καὶ εἰ μὴ δεῖ τῶν χρησμῶν, ἀλλὰ δεῖ τὰ ἄλλα. ¶Δυοῖν γυναικοῖν] ἤγουν Αἰγίσθου καὶ Κλυταιμνήστρας. ¶Τῇδε τελευτᾶν] τούτῳ τῷ τρόπῳ εἴη ἀποβῆναι. ¶Ἡ τὸ] ἢ αὐτὴ τοῦ καθάπερ. ¶Μεταβαίνει] ἐπανιέναι. ¶Ἀντὶ μὲν ἐχθρᾶς] τοῦτο πράσσουσα ἡ δίκη. ἀντὶ λοιδορίας τὴν λοιδορίαν, ἀντὶ πληγῆς πληγήν. ¶Πληγὴν τινέτω] ὁ φονεύσας. ¶Αἰνόπατερ] δεινὰ παθών.

τύχοιμ' ἂν ἕκαθεν οὐρίσας, ἔνθα σ' ἔχουσιν εὐναί,
σκότῳ φάος ἰσόμοιρον· χάριτες δ' ὁμοίως
κέκληνται γόος εὐκλεὴς προσθοδόμοις Ἀτρείδαις.
χο. Τέκνον, φρόνημα τοῦ θανόντος οὐ δαμάζει
πυρὸς ἡ μαλερὰ γνάθος, φαίνει δ' ὕστερον ὀργάς·
ὀτοτύζεται δ' ὁ θνήσκων, ἀναφαίνεται δ' ὁ βλάπτων.
πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει
τὸ πᾶν ἀμφιλαφὴς ταραχθείς.
ἠλ. Κλῦθί νυν ὦ πάτερ ἐν μέρει πολυδάκρυτα πένθη.
δίπαις τοῖς ἐπιτυμβιδίοις θρῆνος ἀναστενάζει.
τάφος δ' ἱκέτας δέδεκται φυγάδας θ' ὁμοίως.
τί τῶνδ' εὖ, τί δ' ἄτερ κακῶν; οὐκ ἀτείακτος ἄτα.
χο. Ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρήζων
θείη κελάδους εὐφθογγοτέρους·
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων,
παιὼν μελάθροις ἐν βασιλείοις,
νεοκρᾶτα φίλον γε κομίζοι. ἠλ. Εἰ γὰρ ὑπ' Ἰλίῳ
πρός τινος Λυκίων πάτερ δορίτμητος κατηναρίσθης,

¶Ἕκαθεν οὐρίσας] μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον. ὅ ἐστιν, ἀπὸ Φωκίδος ἐλθών. Ἄλλως. πόρρωθεν σου ἀφοριζόμενος. σὺ μὲν γὰρ ἐν σκότῳ, ἐγὼ δὲ ἐν τῷ φωτί. ἐναντίον μὲν γὰρ τὸ φῶς τῷ σκότῳ. τοῦτ' ἔστι, πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων· ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς, ὁμοίως χάριτες κέκληνται. ¶Χάριτες] χάριτας δὲ νεκρῶν ταύτας φασὶ τὸν γόον. ¶Προσθοδόμοις] τοῖς πρότερον ἐσχηκόσι δόμους. νῦν γὰρ οὐκ εἰσὶ δόμοι. φροῦδα γὰρ τάδε ἤδη. Ἄλλως. προσθοδόμοι, ἱκέται. ¶Οὐ δαμάζει] τοῦτ' ἔστιν, οὐ συναναλίσκεται τῷ σώματι ἡ ψυχικὴ δύναμις. ¶Γνάθος] ἡ γνάθος συνήθως, ὡς καὶ ὁ κρημνὸς παρὰ Πινδάρῳ, καὶ ἡ ἠχὼ παρὰ Σιμωνίδῃ. ¶Φαίνει δ' ὕστερον] τὴν ὀργὴν ἡ ψυχὴ ὕστερον φανεροποιεῖ. ¶Ὀτοτύζεται] δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνεῖσθαι. ¶Ματεύει] ζητεῖ τὸ ἀντιμωρεῖσθαι. ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή. ζητεῖ γὰρ παντελῶς ταραττομένη τὴν ἐκδίκησιν. ¶Κλῦθί νυν] ἐξῆς. ¶Ἐν μέρει] κατὰ διαδοχὴν, ὡς καὶ τοῦ ἀδελφοῦ. ¶Δίπαις τοῖς] ἴσως. ¶Ἱκέτας] ἱκέτιν μὲν ἐμὲ, φυγάδα δὲ Ὀρέστην. πληθυντικῶς δὲ ἑκάτερον εἶπεν, ἀντὶ ἑνικοῦ. ¶Οὐκ ἀτείακτος] οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν. ἀπὸ τῶν παλαιστῶν, οἳ ἀποτειάζονται ὑπὸ τῶν ἀνταπάλων. ¶Χρήζων] ὁ χρησμῳδῶν Ἀπόλλων. ¶Νεοκρᾶτα] Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. οἱ δὲ, νεοκρᾶτα τὴν ἐπὶ νεκροῖς σπονδήν. νεωστὶ κεκερασμένον, λείπει κρατῆρα. ¶Εἰ γὰρ ὑπ' Ἰλίῳ] ἐξῆς.

λιπὼν ἂν εὔκλειαν ἐν δόμοισι, τέκνων τε 'κελεύθοις,
ἐπιστρεπτὸν αἰῶνα κτίσας, πολύχωστον ἂν εἶχες
τάφον διαποντίου γᾶς δώμασιν εὐφόρητον,
φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι,
κατὰ χθονὸς ἐμπρέπων, σεμνότιμος ἀνάκτωρ,
πρόπολός τε τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων.
βασιλεὺς γὰρ ἦς, ὄφρα ἔζης, μόρσιμον λάχος πιμπλάντων
χεροῖν, πεισίμβροτόν τε βάκτρον.
μηδ' ὑπὸ Τρωίας τείχεσι φθίμενος πάτερ,
μετ' ἄλλων δουρικμῆτι λαῷ,
παρὰ Σκαμάνδρου πόρον τεθάφθαι.
πάρος δ' οἱ κτανόντες νιν, οὕτως δαμῆναι,
θανατηφόρον αἶσαν πρόσω τινὰ πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον.
Χο. Ταῦτα μὲν ὦ παῖ κρείσσονα χρυσοῦ,
μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· δύνασαι γάρ. ἀλλὰ διπλῆς γὰρ τῆσδε μα
δοῦπος ἱκνεῖται, τῶν μὲν ἀρωγοὶ (ράγνης
κατὰ γῆς ἤδη· τῶν δὲ κρατούντων
χέρες οὐχ ὅσιαι στυγερῶν τούτων, παισὶ δὲ μᾶλλον γεγένη).

¶Κελεύθοις] ταῖς προσόδοις. ¶Ἐπιστρεπτὸν] ζηλωτὸν, ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ὑμῶν. ¶Πολύχωστον] ὑπὸ πολλῶν κεχωσμένον. ¶Διαποντίου] ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας. ¶Εὐφόρητον] αἰτία τοῦ εὐτυχῆ. φορητὸν γὰρ ἡ τύχη. ¶Χθονίων τυράννων] Πλούτωνος καὶ Περσεφόνης. ¶Φίλος φίλοισι] ἴσω. πρὸς τὸ, πολύχωστον ἂν εἶχες τάφον, ἀποδώσει ὁ χορός. ¶Μόρσιμον λάχος] τὴν ἐκ μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων. ¶Πεισίμβροτον] τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίᾳ διατάττον. ¶Μηδ' ὑπὸ τρωίας] γυναικικῶς οὐδὲ τούτῳ ἀρέσκεται, ἀλλὰ τῷ μηδὲ τὴν ἀρχὴν ἀναιρεθῆναι. ¶Πάρος δ' οἱ] ἀπέστρεψε τὸν λόγον εἰς τὸν πατέρα αὐτοῦ. ¶Δαμῆναι] λείπει τὸ ὤφελον· πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα. ¶Πρόσω τινὰ πυνθάνεσθαι] ἐμέ. ¶Ὑπερβορέου] ὑπερβορείου, τῆς ἄγαν πνεούσης. ¶Μείζονα φωνεῖς] ῥᾷδιον γὰρ τὸ εὔχεσθαι. ¶Ἀλλὰ διπλῆς] διπλῆ ἡ μάστιξ ἐπλήγη ἡμῶν. ¶Τῶν μὲν ἀρωγοὶ] ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα. ¶Χέρες οὐχ ὅσιαι] τοῦτο ἰδίᾳ ἀναπεφώνηται, τῶν ἄγαν στυγερῶν τούτων. τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος, τοῖς παισὶν αὐτοῦ συμβέβηκεν· πρὸς ὃ εἶπεν ἡ Ἠλέκτρα ὅτι ὡς βέλος ὁ λόγος οὗτος ἥψατό μου.

ἠλ. Τοῦτο διαμπερὲς οὖς ἵκετο ἅπερ τε βέλος.
χο. Ζεῦ Ζεῦ κάτωθεν ἀμπέμπων
ὑστερόποινον ἄτην βροτῶν τλήμονι καὶ πανούργῳ
χειρὶ, τοκεῦσι δ' ὅμως τελεῖται,
ἐφυμνῆσαι γένοιτό μοι
πευκήεντ' ὀλολυγμὸν ἀνδρὸς θεινομένου,
γυναικός τ' ὀλλυμένας. τί γὰρ κεύθω φρενός;
θεῖον ἔμπας ποτᾶται. πάροιθεν δὲ πρῴρας,
δριμείας τε καρδίας, θυμὸς ἔγκοτον στύγος.
καὶ ποτ' αὖ ἀμφιθαλὴς Ζεὺς ἐπὶ χεῖρα βάλοι.
φεῦ φεῦ, κάρανα δαΐξας. πιστὰ γένοιτο χώρα.
δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ.
κλῦτε δὲ Γᾶ χθονίων τε τιμαί.
ἀλλὰ νόμος μὲν, φονίας σταγόνας
χυμένας ἐς πέδον, ἄλλο προσαιτεῖν
αἷμα. βοᾷ γὰρ λοιγὸν ἐριννὺς
παρὰ τῶν προτέρων φθιμένων ἄτην
ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ.
ποῖ ποῖ δὴ νερτέρων τυραννίδες;
ἴδετε πολυκρατεῖς ἀραὶ φθιμένων,
ἴδεσθ' Ἀτρειδᾶν τὰ λοίπ' ἀμηχάνως

¶ Ὑστερόποινον ἄταν] τὴν ἐριννύν. ¶ Καὶ πανούργῳ χειρὶ] τῇ χειρὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου. ¶ Τοκεῦσι] ἵνα τὸ ὅμοιον καὶ ἴσον τῷ πατρί μου φυλαχθῇ. ¶ Ὀλολυγμὸν] παιηνικὸν, λαμπρόν. ¶ Ἔμπας ποτᾶται] ὅμως τὸ εἱμαρμένον περιίπταται πάντας, καὶ ἵνα αὖ ἐπιβουλευθῶσιν παρὰ τὸ μειράκιον. ¶ Πάροιθεν δὲ πρῴρας] τῆς ὄψεώς μου. ¶ Ἔγκοτον στύγος] ὀργίλον μῖσος. ¶ Ἀμφιθαλὴς] ὁ ποιήσων ἀμφοτέρους ἡμᾶς διαθηλῦσαι. ¶ Ἐπὶ χεῖρα βάλοι] τοὺς ἐχθρούς. ¶ Κάρανα] τὰ τοῦ οἴκου ἄκρα. λέγει δὲ τοὺς περὶ Αἴγισθον. ¶ Πιστὰ γένοιτο] καὶ γένοιτο πιστὰ τῇ χώρᾳ, ὅτι οὐ τούτων αἴτιος. ¶ Ἀπαιτῶ] λείπει τὸ λαβεῖν. ¶ Τετιμέναι] αἱ ἐριννύες παρὰ τῶν χθονίων θεῶν τετιμημέναι. ¶ Βοᾷ γὰρ λοιγὸν] βοᾷ, διὰ βοῆς ἐφέλκεται. ¶ Παρὰ τῶν προτέρων] τοῦ Ἀγαμέμνονος. ¶ Ἄτην ἑτέραν] τὸ ἑξῆς, ἄτην ἑτέραν ἐπάγουσα λοιγὸν ἐπ' ἄτῃ. ¶ Νερτέρων τυρ.] ἀντὶ τοῦ, οἱ κάτω γῆς θεοί. ¶ Ἀραὶ φθιμένων] αἰσχυνοποιεῖ τὰς ἀράς. ¶ Ἀτρειδᾶν τὰ λοιπὰ] ὑμᾶς τοὺς ὑπολοίπους τῶν Ἀτρειδῶν ἀπεσπασμένους καὶ φυγαδευθέντας τῶν οἴκων.

ἔχοντα, καὶ δωμάτων ἄτιμα. πᾶ τις τράποιτ' ἂν ὦ Ζεῦ;
ἠλ. Πέπαλται δ' αὖτέ μοι φίλον κέαρ,
τόνδε κλύουσαν οἶκτον. καὶ τότε μὲν δύσελπις,
σπλάγχνα δέ μου κελαινοῦται πρὸς ἔπος κλυούσῃ·
ὅταν δ' αὖτ' ἐπαλκὲς θρασὺ ἀπέστασεν ἄχος
πρὸς τὸ φανεῖσθαί μοι καλῶς·
τί δ' ἂν εἰπόντες τύχοιμεν ἂν ἢ τάπερ
πάθομεν ἄχθεα πρός γε τῶν τεκομένων;
πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται.
λύκος γὰρ ὥστ' ὠμόφρων, ἄσαντος ἐκ ματρός ἐστι θυμός.
ἔκοψα κομμὸν ἄριον, εἴτε κισσίας νόμοισι πολεμιστρίας
ἀπριγκτοι πληκτά. πολύπλακτα δ' ἦν ἰδεῖν
ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα·
ἄνωθεν ἀνέκαθεν κτύπῳ δ' ἐπιρροθεῖ
κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα. ἰὼ ἰὼ δαΐα
πάντολμε μῆτερ, δαΐαις ἐν ἐκφοραῖς ἄνευ πολιτᾶν ἄνα-
κτ', ἄνευ δὲ πενθημάτων ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι.
ὀρ. Τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι·
πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει,
ἕκατι μὲν δαιμόνων, ἕκατι δ' ἀμᾶν χερῶν·
ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.
ἠλ. Εμασχαλίσθη δέ θ' ὡς τότ' ἔδυ.
ἔπρασσε δ' ἅπερ νιν, ὧδε θάπτει
μόρον κτεῖναι μωμένα ἄφερτον αἰῶνι σῷ.

¶ Κλύουσαν] ἀντὶ τοῦ κλυούσῃ. ¶ Καὶ τότε] ὅτε σε οἰκτιζόμενον ἴδω Ὀρέστα. ¶ Κελαινοῦται] (σκοτοῦται). ¶ Πρὸς ἔπος] ἀντὶ τοῦ, ἀκούουσα τοῦ ὑπὸ σοῦ λόγου. ¶ Επαλκὲς] ἰσχυροποιόν. ¶ Πρὸς τὸ φανεῖσθαι] πρὸς τὸ καλά μοι ἀποβῆν. ¶ Τί δ' ἂν] τί δ' ἂν εἰπόντες κατὰ Κλυταιμνήστρας, τύχοιμεν τῆς συμμαχίας ὦ πάτερ, ἢ ἃ πεπόνθαμεν; ¶ Πάρεστι σαίνειν] τῇ μητρὶ τὸν Ἀγαμέμνονα. ¶ Τὰ δ' οὔτι] τὰ ἄχη. ¶ Ὠμόφρων] ἀκολάκευτος. ¶ Αρειον] πολεμικόν. ¶ Θυμὸς] ὁ τοῦ Ἀγαμέμνονος. ¶ Επασσυτεροτριβῆ] ἀλληλοπάλληλον κτύπον ποιοῦντα. ¶ Ορέγματα] λύμματα. ¶ Ανωθεν] ὦ ἄνωθεν ἐπιγινομένῳ τῇ κεφαλῇ κτύπῳ. ¶ Νοσφίσας ὀλοίμαν] ἐκ τούτου εἴρηται τὸ, Τεθναίην ὅτ' ἐκεῖνον ἀποτείσαντα πυθοίμην. Καλλιμάχου. ¶ Εμασχαλίσθη] κατασκευάσει δὲ τὸ μασχαλισθῆναι αὐτὸν ἡ Κλυταιμνήστρα. ἡ καὶ

οὕτως ἀτίμως αὐτὸν θάψασα, δυστυχίαν μεγίστην κατασκευάζουσα τῇ σῇ. εἴθ᾽ Ὀρέστα ἔθου, ἵνα δυστυχῆ βίον ζήσῃς, τοῦ Ἀγαμέμνονος μὴ δυναμένου σοι συμμαχῆσαι πρὸς τιμωρίαν Κλυταιμνήστρας.

κλύεις πατρῴους δυσατίμους,
λέγεις πατρῷον μόρον. ἐγὼ δ᾽ ἀπεστάτουν
ἄτιμος οὐδὲν ἀξία.
μυχοῦ δ᾽ ἄφερκτος πολυσίνου κυνὸς δίκαν,
ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
χαίρουσα πολύδακρυν γόον κεκρυμμένα.
τοιαῦτ᾽ ἀκούων ἐν φρεσὶ γράφου, δι᾽ ὤτων δὲ συν-
τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει.
τὰ μὲν γὰρ οὕτως ἔχει, τὰ δ᾽ αὐτὸς ὀργᾷ μαθεῖν.
πρέπει δ᾽ ἀκάμπτῳ μένει καθήκειν.
σέ τοι λέγω, ξυγγενοῦ πάτερ φίλοισι.
ἐγὼ δ᾽ ἐπιφθέγγομαι κεκλαυμένα,
στάσις δὲ πάγκοινος ὧδ᾽ ἐπιρροθεῖ,
ἄκουσον ἐς φάος μολὼν, ξὺν δὲ γενοῦ πρὸς ἐχθρούς.
ἄρης ἄρει ξυμβαλεῖ, δίκα δίκα.
ἰὼ θεοὶ, κραίνετ᾽ ἐνδίκως.
τρόμος μ᾽ ὑφέρπει κλυούσαν εὐγμάτων.
τὸ μόρσιμον μένει πάλαι, εὐχομένοις δ᾽ ἂν ἔλθοι.
ἰὼ πόνος ἐγγενὴς, καὶ παράμουσος ἄτης

¶ Πατρῴους] τοὺς τοῦ πατρός σου. ¶ Μυχοῦ δ᾽ ἄφ.] κατάκλειστος περὶ τὴν εἱρκτήν. ¶ Ἑτοιμότερα γέλ.] οὐδέποτε οὕτως ἑτοίμως ἐγέλασα, ὡς τότε ἑτοίμως ἐδάκρυσα. ¶ Λίβη] τὰ δάκρυα. ¶ Χαίρουσα πολ.] πρὸς τὸ κατάκλειστος. ¶ Τοιαῦτ᾽ ἀκούων] πρὸς τὸν Ὀρέστην φησίν. ¶ Τέτραινε] διατήρει. διακόμιζε. ¶ Ἡσύχῳ φρενῶν] ἠρεμαίᾳ τῇ ψυχῇ. αἴτι τοῦ, προσέχων καὶ μὴ ἀποπλανώμενος. ¶ Τὰ μὲν γὰρ] ταῦτα τὰ συμβάντα τῷ Ἀγαμέμνονι. αὐτὸς δὲ, τοῦτ᾽ ἔστιν ὁ πατὴρ, ἐπιθυμεῖ καὶ τὰ λοιπὰ γνῶναι. τοῦτ᾽ ἔστι τὴν τιμωρίαν. ¶ Ὀργᾷ μαθεῖν] ἀντὶ τοῦ, μάθε, τῷ θυμῷ σου. ¶ Πρέπει] πρέπει δέ σοι ἀμετακινήτῳ δυναμένῳ ὁρμᾶν κατ᾽ αὐτῶν. ¶ Ξυγγενοῦ] σύμμαχος. ¶ Κεκλαυμένα] ἐλεεινά. ¶ Στάσις δὲ πάγκοινος] ἐπιβοᾶσι ἡ σύστασις ἡμῶν ἡ κοινὴ βοηθὸν ἐλθεῖν. ¶ Ἄρης ἄρει] ὁ ἄρης ἡμῶν τῷ τῶν ἐχθρῶν. ¶ Τὸ μόρσιμον μένει] πέπηγε μὲν καὶ ὤφειλεν πάλαι ὑπὸ μοιρῶν, τὴν Κλυταιμνήστραν ἀνδροκτονήσασαν, ἀναιρεθῆναι. τὸ κατ᾽ αὐτῆς δὲ καλῶς κυρωθὲν ὑπὸ τῆς δίκης, ἔλθοι. ὃ δεῖ, μὴ μελλήσῃ πρὸς τιμωρίαν Κλυταιμνήστρας τὸ θεῖον. ¶ Εὐχομένοις δ᾽ ἂν ἔλθοι] τὸ κατ᾽ εὐχὴν ἡμῶν πληρωθείη. ¶ Ἐγγενὴς] συγγενής. ὃν ὑπὸ συγγενῶν ἐπάθομεν. ¶ Καὶ παράμουσος] ἀντὶ τοῦ καθήκοντος.

αἱματόεσσα πλαγά. ἰὼ δύστον' ἄφερτα κήδη·
ἰὼ δυσκατάπαυστον ἄλγος, δώμασιν ἔμμοτον.
τῶνδ' ἐκὰς οὐδ' ἀπ' ἄλλων ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν
δι' ὠμὰν ἔριν, αἱματηρᾶν θεῶν κατὰ γᾶς ὅδ' ὕμνος.
ἀλλὰ κλύοντες μάκαρες χθόνιοι
τῆσδε κατευχῆς, πέμπετ' ἀρωγὴν
παισὶ προφρόνως ἐπὶ νίκην.

ὀρ. Πάτερ τρόποισιν οὐ τυραννικοῖς θανών,
αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων.

ἠλ. Κἀγὼ πάτερ τοιάνδε σου χρείαν ἔχω,
φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον.
οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
κτιζοίατ', εἰ δὲ μή, παρ' εὐδείπνοις ἔσῃ
ἄτιμος ἐν πυροῖσι κνισωτοῖς χθονός.
κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας,
οἴσω πατρῴων ἐκ δόμων γαμηλίους·
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.

ὀρ. Ὦ γαῖ' ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.

ἠλ. Ὦ Περσέφασσα δὸς δέ τ' εὔμορφον κράτος.

ὀρ. Μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης πάτερ.

ἠλ. Μέμνησο δ' ἀμφίβληστρον ᾧ σ' ἐκαίνισαν.

ὀρ. Πέδαις δ' ἀχαλκεύτοις ἐθηρεύθης πάτερ.

¶ Ἄφερτα] ἀφόρητα. ¶ Ὅδ' ὕμνος] ταῦτα τὰ ᾄσματα τοῖς κατὰ γῆν θεοῖς πρέπει, καὶ οὐ τοῖς οὐρανίοις. ¶ Οὐ τυρ.] οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως. ¶ Προσθεῖσαν Αἰγ.] ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου, τιμωρησαμένην αὐτόν. ¶ Οὕτω γάρ] οὕτω γὰρ ἄν σοι κρατήσαντες, πολυτελῶς θύσομεν. ἔννομοι δὲ αἱ νόμιμοι θυσίαι, αἱ πολυτελεῖς. εἰ δὲ μή, ἄτιμος ἐν πυροῖς κνισωτοῖς. ¶ Κτιζοίατ'] γίγνοιτο. ¶ Εἰ δὲ μή] τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἁγνισμῶν. ¶ Παρ' εὐδείπνοις χθονός] ὅ ἐστι παρὰ τοῖς κατοιχομένοις, δείπνων τυχόμενος. ¶ Παγκληρίας] κτήσεως. ¶ Ἐκ δόμων γαμηλίους] εἰ γὰρ Αἴγισθος ἀπολεῖται, κἀγὼ γαμηθήσομαι. ¶ Πρεσβεύσω] τιμήσω. ¶ Ὦ γαῖα] ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόσωπα Ὀρέστου καὶ Ἠλέκτρας. πρῶτον δὲ Ὀρέστου. ¶ Οἷς ἐνοσφίσθης] οἷς ἀπέθανες. ¶ Πέδαις δ' ἀχαλκεύτοις] ἀσιδήροις δεσμοῖς. λέγει δὲ τῷ ἀδιεξοδεύτῳ ἐσθῆτι.

ἠλ. Αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.
ὀρ. Ἆρ' ἐξεγείρῃ τοῖσδ' ὀνείδεσιν πάτερ;
ἠλ. Ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;
Ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις,
ἢ τὰς ὁμοίας ἀντίδος βλάβας λαβεῖν,
εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.
καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς πάτερ,
ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ.
οἴκτειρε θῆλυν, ἄρσενός θ' ὁμοῦ γόον.
καὶ μὴ 'ξαλείψῃς σπέρμα πελοπιδῶν τόδε.
οὕτω γὰρ, οὐ τέθνηκας, οὐδὲ περ θανών.
παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
θανόντι. φελλοὶ δ' ὡς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον.
ἄκου', ὑπὲρ σοῦ τοιάδ' ἐστ' ὀδύρματα.
αὐτὸς δὲ σώζῃ, τόνδε τιμήσας λόγον,
καὶ μὴν ἀμόμφητον δὲ τίνα τὸν λόγον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ' ἄλλ' ἐπειδὴ δρᾶν κατώρθωσαι φρενὶ,
ἔρδοις ἂν ἤδη, δαίμονος πειρώμενος.
ὀρ. Ἔσται, πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου,
μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος.
θανοῦντι δ' οὐ φρονοῦντι δειλαία χάρις

¶Βουλευτοῖσιν] ἐπιβουλευτοῖς πέπλοις. ¶Ἤτοι δίκην] ἢ τὴν δίκην συμμαχοῦσαν ἡμῖν κατ' αὐτῶν πέμψον, ἢ σὺ κόλασον αὐτούς. ¶Ἀντίδος λαβεῖν] ἀντίλαβε. ¶Οὕτω γὰρ] ἐὰν ἡμᾶς σώζῃς. ¶Κληδόνες] εὐφημίαι διὰ φήμης σώζουσί σε. ¶Φελλοί] ἐκεῖνοι γὰρ ἐπιπλέοντες σημαίνουσι τὴν ἐν βυθῷ σαγήνην, οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα. φελλοὶ δέ εἰσι κοῦφα ξύλα τὰ ἀναβαστάζοντα ἐν τῇ θαλάσσῃ τὰ δίκτυα. ¶Τὸν ἐκ βυθοῦ κλωστῆρα] ἐν [illegible] τὸν κλωστὸν λίνον. ¶Ἄκουε] ἀντὶ τοῦ πείθητι. ¶Τόνδε τιμήσας λόγον] ἀντὶ τοῦ, ἐπακούσας ἡμῶν. ¶Καὶ μὴν ἀμόμφητον] λείπει ἡ εἰς. ¶Ἀνοιμώκτου] πολυθρυλλήτου. ¶Τὰ δ' ἄλλα] ὦ Ὀρέστα, τὰ κατὰ τὴν σφαγὴν τοῦ Αἰγίσθου. ¶Ἔξω δρόμου] ἔξω τοῦ προκειμένου. ¶Ἀνήκεστον] ἀνίατον πάθος. ¶Οὐ φρονοῦντι] τῷ ὑπ' αὐτῆς θανόντι, καὶ μὴ φρονοῦντι τὰ αὐτῆς.

ἔπεμψεν; οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε
τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος
ἑνός, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.
Χο. Οἶδ' ὦ τέκνον, παρῆ γάρ, ἔκ τ' ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.
Ορ. Ἦ καὶ πέπυσθε τοὔναρ ὥστ' ὀρθῶς φράσαι;
Χο. Τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει.
Ορ. Καὶ ποῖ τελευτᾷ καὶ καρανοῦται λόγος;
Χο. Ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.
τινὸς βορᾶς χρῄζοντα νεογενὲς δάκος·
αὐτὴ προσέσχε μαζὸν ἐν τ' ὀνείρατι.
Ορ. Καὶ πῶς ἄτρωτον οὐκ ἂρ' ἦν ὑπὸ στυγός.
Χο. Ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.
Ορ. Οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει.
Χο. Ἡ δ' ἐξ ὕπνου κέκραγεν ἐπτοημένη.
πολλοὶ δ' ἀνῆλθον ἐκτυφλωθέντες σκότῳ,
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
πέμπει τ' ἔπειτα τάσδε κηδείους χοάς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.

¶Εἰκάσαι τάδε] οὐ δικάζω ὅτι οὐκ ἐπέμφθη. ἀντὶ τοῦ, ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν. ¶Θέλοντι δὲ] ὁ δὲ ἀντὶ τοῦ γάρ. ¶Πάρει] χάρεσται παρῆς. ¶Δύσθεος γυνὴ] ἀσεβής. ¶Καρανοῦται] κεφαλαιοῦται. ¶Λόγος] ἀντὶ τοῦ, τὰ ἑξῆς τοῦ ὀνείρου. ¶Ἐν σπαργάνοισι παιδὸς] ὡς παῖδα αὐτὸν ὁρμίσαι ἐν τοῖς σπαργάνοις. ἀπὸ κοινοῦ, τὸ ἔδοξας. ¶Χρῄζοντα] πρὸς τὸν δράκοντα εἶπε τὸ χρῄζοντα. ¶Νεογενὲς] ἀντὶ τοῦ νέον. ¶Ὑπὸ στυγὸς] τοῦ μισητοῦ θηρίου. ¶Ὥστ' ἐν γάλακτι] ἀντὶ τοῦ γάλακτος αἷμα. ¶Ἀνδρὸς ὄψανον] ὄψανον, ὄψις, φαντασία. τὸ χ δὲ ὅτι ἀπὸ ὄψεως παρήγαγε τὸ ὄψανον, τὸ ἐκ τοῦ ἀνδρὸς Ἀγαμέμνονος φάντασμα. ¶Ἀνῆλθον] ἀνέλαμψαν. ¶Ἐκτυφλωθέντες] οἱ σβεσθέντες ἤδη λαμπτῆρες. νὺξ γὰρ ἦν. ¶Κηδείους χοὰς] τὰς πρὸς ἀμένειαν Ἀγαμέμνονος. ¶Ἄκος] θεραπευτικὸν ἴαμα, θεράπευμα τμητικὸν τῶν κακῶν οἰκθέντα ποιεῖν. λείπει δὲ τὸ ποιεῖν.

ὀρ. Ἀλλ' εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ,
τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον,
κρίνω δέ τοι νιν ὥστε συγκόλλως ἔχειν.
εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλείπων ἐμοὶ,
ὄφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο,
καὶ μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον,
θρόμβῳ δ' ἔμιξεν αἵματος φίλον γάλα·
ἡ δ' ἀμφιταρβὴς τῷδ' ἐπῴμωξεν πάθει·
δεῖ τοι νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως. ἐκδρακοντωθεὶς δ' ἐγὼ
κτείνω νιν, ὡς τοὔνειρον ἐννέπει τόδε·
τερασκόπον δὲ τῶνδέ σ' αἱροῦμαι πέρι.
χο. Γένοιτο δ' οὕτως, τἄλλα δ' ἐξηγοῦ φίλοις·
τοὺς μέν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων.
ὀρ. Ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω,
αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς·
ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον,
δόλῳ τε καὶ ληφθῶσιν ἐν ταυτῷ βρόχῳ
θανόντες, ᾗ καὶ Λοξίας ἐφήμισεν
ἄναξ Ἀπόλλων μάντις ἀψευδὴς, τὸ πρίν.
ξένῳ γὰρ εἰκὼς, παντελῆ σάγην ἔχων,
ἥξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας
Πυλάδῃ, ξένος τε καὶ δορύξενος δόμων.
ἄμφω δὲ φωνὴν ἥσομεν παρνασίδα,

¶Συγκόλλως ἔχειν] συνημμένως τῇ ἀληθείᾳ. ¶Τὸν αὐτὸν χῶρον] τὴν γαστέρα τῆς Κλυταιμνήστρας. ¶Δεῖ τοι νιν, ὡς ἔθρεψεν] ὥσπερ δι' αἵματος ἔθρεψε τὸν δράκοντα, δεῖ αὐτὸν θρέψαι τῷ ἰδίῳ γάλακτι. ὅ ἐστι, δι' αἵματος τὴν ἐμὴν ἐπιθυμίαν πληρῶσαι. ¶Ἐκδρακοντωθεὶς] ἀγριωθεὶς κατ' αὐτῆς. ¶Ἁπλοῦς ὁ μῦθος] σύντομος. ¶Τήνδε] τὴν Ἠλέκτραν. ¶Ἄνδρα τίμιον] τὸν Ἀγαμέμνονα. ¶Ἡ καὶ λοξίας] ᾗ ἀντὶ τοῦ καθό. τὸ ἑξῆς, ἐφήμισε τὸ πρίν. ¶Παντελῆ] τελείαν. ¶Σάγην] παρασκευήν. ἤ, τελείαν περιβολὴν ἔχων ξένου. ¶Φωνὴν ἥσομεν παρνασίδα] φωκικήν. οἶμαι δὲ φωκικὴν λέγει.

γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω.
καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ
δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς.
μενοῦμεν οὕτως, ὥστ' ἐπεικάζειν τινὰ
δόμοις παραστείχοντα, καὶ τάδ' ἐννέπειν·
τί δὴ πύλῃσι τὸν ἱκέτην ἀπείργετε,
Αἴγισθος εἴπερ οἶδεν ἔνδημος παρών;
εἰ δ' οὖν ἀμείψω βηλὸν ἕρκειον πυλῶν,
κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρὸς,
ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
ἐρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ,
πρὶν αὐτὸν εἰπεῖν, ποδαπὸς ὁ ξένος, νεκρὸν
θήσω, ποδώκει περιβαλὼν χαλκεύματι.
φόνου δ' ἐρινὺς οὐχ ὑπεσπανισμένη
ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
σὺ δ' οὖν σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς,
ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε.
ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
σιγᾶν θ' ὅπου δεῖ, καὶ λέγειν τὰ καίρια.
τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω,
ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.
Χο. Πολλὰ μὲν γ' ἀὴρ τρέφει δεινὰ καὶ δειμάτων ἄχη,
πόντιαί τ' ἀγκάλαι κνωδάλων ἀνταίων βροτοῖσι

¶Δαιμονᾷ] πταίει κακ. ¶Μενοῦμεν οὕτως] κἂν μὴ δέξωνται θυρωροὶ, μενοῦμεν περὶ τὰς θύρας ἐπὶ τοσοῦτον ὥστε εἰκάζειν τινὰ ὅτι ἠτιμάσθημεν, καὶ τοιαῦτα λέγειν. ¶Βηλὸν] τὸν οὐδόν. ¶Σάφ' ἴσθι] τὸ ἑξῆς, σάφ' ἴσθι, πρὶν αὐτόν. ¶Ποδώκει] τῷ ταχεῖ ξίφει. ὡς ἐπὶ ἐμψύχου δὲ εἶπεν. ¶Οὐχ ὑπεσπανισμένη] οὐκ ἀποσπανίζουσα. ¶Ἄκρατον αἷμα] ὡς εἰ ἔφη, τὸ τρίτου κρατῆρος, μετὰ Ἀγαμέμνονος τὸ δύο τούτων τὸ αἷμα. ¶Σὺ δ' οὖν] ὦ Ἠλέκτρα. ¶Ἀρτίκολλα] σύμφωνα καὶ ὑγιῶς συναρμοζόμενα τῇ νεωστὶ συνθήκῃ ἡμῶν. ¶Τὰ καίρια] τὰ χρήσιμα. ¶Τούτῳ] τῷ Πυλάδῃ. ¶Ὀρθώσαντί μοι] συμπράξαντί μοι. ¶Πολλὰ μὲν] πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆς ἡλιακῆς ἀκτῖνος πτηνὰ καὶ ἑρπετά. εἰσὶ γὰρ ὄφεις ἐκ ἀέρος πίπτοντες. ¶Δειμάτων ἄχη] κατὰ περίφρασιν, δείματα. ¶Ἀγκάλαι] αἱ κοιλότητες. ¶Ἀνταίων] ἐναντι.

πλάθουσι, βλαστοῦσι καὶ μεταίχμιοι
λαμπάδες πεδάμεροι,   πτανά τε καὶ πεδοβά-
μονα, κἀνεμοέντων   αἰγίδων φράσαι κότον.
ἀλλ' ὑπέρτολμον ἀν-   δρὸς φρόνημα τίς λέγοι,
καὶ γυναικῶν φρεσὶν τλημόνων, καὶ   παντόλμους
ἔρωτας ἄταισι συννόμους βροτῶν,
ξυζύγους θ' ὁμαυλίας;   θηλυκρατὴς ἀπέρω-
τος ἔρως παρανικᾷ,   κνωδάλων τε καὶ βροτῶν.
ἴστω δ' ὅστις οὐχ ὑπόπτερος   φροντίσιν δαεὶς
τὰν ἁ παιδολύμας   τάλαινα Θεστιὰς μήσατο
πυρδαῆ τινα πρόνοιαν,   κ' αἴθουσα παιδὸς δαφοινὸν
δαλὸν ἥλικ', ἐπεὶ μολὼν   ματρόθεν κελάδησε
σύμμετρόν τε διαὶ βίου   μοιρόκραντον δ' ἐς ἦμαρ.
ἄλλαν δή τιν' ἐν λόγοις στυγεῖν   φοινίαν Σκύλλαν,
ἅτ' ἐχθρῶν ὕπαι   φῶτ' ἀπώλεσεν φίλον, Κρητικοῖς
χρυσοδμήτοισιν ὅρμοις   πιθήσασα δώροισι Μίνω,
Νῖσον ἀθανάτας τριχὸς   νοσφίσασ' ἀπροβούλως
πνέονθ' ἁ κυνόφρων ὕπνῳ.

¶Πλάθουσι] φύουσι καὶ αὔξουσι. ¶Μεταίχμιοι] αἱ μεταξὺ γῆς καὶ οὐρανοῦ λαμπάδες. τοῦτ' ἔστιν ὁ ὑπὸ ἡλίου φωτιζόμενος ἀήρ. ¶Πεδάμεροι] οἶμαι πέδουροι. εἰ δὲ τὸ σημαινόμενον, μετέωροι. Ἄλλως. αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ καθημεριναί. ¶Αἰγίδων] καταιγίδων. ¶Φράσαι] ἐννοῆσαι. ¶Ἀλλ' ὑπέρτ.] ὁ ἀλλά, ἀντὶ τοῦ δέ. ¶Τίς λέγοι] τίς λέγοι φρεσίν, ἀντὶ τοῦ ἐννοήσειεν. ¶Παντόλμους] ἀπὸ κοινοῦ τὸ τίς λέγοι. ¶Ὁμαυλίας] ὁμοκοιτίας. ¶Θηλυκρατής] ὁ γυναικῶν κρατῶν. λέγει δὲ ταῦτα, ὅτι ἡ Κλυταιμνήστρα κατωφορείας ἕνεκα τῷ Αἰγίσθῳ ἐγαμήθη. ¶Ἀπέρωτος] στυγνὸς καὶ ὑπερήφανος. ¶Ἴστω] γινωσκέτω δὲ ὁ παιδευθεὶς οὐχ ὑποπτέροις φροντίσιν. εἰ δὲ τὸ ὅς ὑποτακτικὸν ἀντὶ τοῦ ὁ προτακτικοῦ. Ἄλλως. οὐχ ὑπόπτερος, ὁ μὴ κοῦφος, ἀλλ' ἀληθῶς μαθεῖν θέλων. ¶Ἁ παιδ.] ἡ τῷ παιδὶ Μελεάγρῳ λυμηναμένη. οὕτω τὸ ἑξῆς, τὴν τινα μήσατο πρόνοιαν τάλαινα Θεστιὰς ἡ παιδολύμας καὶ πυρδαής. ¶Ἐπεὶ] ἀφ' οὗ ξύμμετρον τῷ παιδὶ δαλόν. ἐξότε ποιὸν ἀπὸ τῆς μητρὸς ἐβόησε, τοῦτ' ἔστιν, ἐξότε γεγέννηται. ¶Σύμμετρον] τὸν συμμετρηθέντα αὐτῷ εἰς τὸ διὰ βίου μοιρόκραντον ἦμαρ. ὅ ἐστιν, εἰς τὸ ἦμαρ τῆς ζωῆς τὸ ὑπὸ μοιρῶν δικαζόμενον. ¶Ἀλλὰ δή] ἀπὸ κοινοῦ τὸ ἴστω ὅστις. ¶Χρυσοδμήτοισιν ὅρμοις] ὅτι ὅρμοις ὑπὸ Μίνωος φησὶν εἰληφέναι Σκύλλαν, οὐ δι' ἔρωτα. ¶Νῖσον] τὸ ἑξῆς, ἀπώλεσεν ἁ κυνόφρων Νῖσον πνέοντα ὕπνῳ. ¶Ἀπροβούλως] ἀπρονοήτως, οὐ προσκεψαμένη τὸ ἀποβησόμενον. ὡς προδότις γὰρ τοῦ πατρὸς ἐτιμωρήθη ὑπὸ Μίνωος. ¶Πνέονθ'] ἀντὶ τοῦ ἀσθμαίνοντα.

κιχοῦσα δέ μιν Ἑρμῆς.
ἐπεὶ δ' ἐπεμνησάμην ἀμειλίχων
πόνων, ἀκαίρως δὲ δυσφιλὲς γαμή-
λευμ' ἀπεύχετον δόμοις
γυναικοβούλους τε μήτιδας φρενῶν,
ἐπ' ἀνδρὶ τευχεσφόρῳ, ἐπ' ἀνδρὶ δηΐοις ἐπικότῳ σέβας·
τίω δ' ἀθέρμαντον ἑστίαν δόμων
γυναικείαν ἄτολμον αἰχμάν.
κακῶν δὲ πρεσβεύεται τὸ λήμνιον
λόγῳ· γοᾶται δὲ δήποθεν κατά-
πτυστον· εἴκασε δέ τις
τὸ δεινὸν αὖ λημνίοισι πήμασι. θεοστυγήτῳ δ' ἄχει
βροτῶν ἀτιμωθὲν οἴχεται γένος.
σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς.
τί τῶνδ' οὐκ ἐνδίκως ἀγείρω;
τὸ δ' ἄγχι πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς
οὐτᾷ διαὶ δίκας. τὸ μὴ θέμις γὰρ, οὐ
λὰξ πέδοι πατούμενον. τὸ πᾶν Διὸς
σέβας παρεκβάντες ἀθεμίστως.
δίκας δ' ἐρείδεται πυθμήν.

¶Κιχαίνει] τὸν Νῖσον, μὴ τὴν Σκύλλαν. ¶Ἑρμῆς] ὁ θάνατος. ¶Ἐπεὶ δ' ἐπεμνησάμην] λείπει, μνήσομαι Κλυταιμνήστρας. ¶Ἀκαίρως δὲ] ὁ δὲ ἀντὶ τοῦ γάρ. ¶Γαμήλευμα] τὸ Αἰγίσθου. ¶Μήτιδας] λείπει, εἰργάσατο. ¶Ἐπ' ἀνδρὶ δηΐοις ἐπικότῳ σέβας] ἐπ' ἀνδρὶ φοβερῷ καὶ σεβαστῷ καὶ ὀργίλῳ τοῖς πολεμίοις. ¶Ἀθέρμαντον] ἀθράσευτον. διὰ τὸ θράσος γὰρ ἀνδροῦνται αἱ λήμνιαι. ¶Ἄτολμον αἰχμὰν] λείπει οὐ κατά. ¶Πρεσβεύεται] μεῖζον ὀνομάζεται. ¶Τὸ λήμνιον] λείπει ἔργον. ¶Λόγῳ] ἐν διηγήματι. ¶Κατάπτυστον] μισητόν. ¶Εἴκασε] εἰκονίσει τις. ¶Τὸ δεινὸν] τὸ κατὰ Κλυταιμνήστρας. ¶Θεοστυγήτῳ δ' ἄχει] ὁ δὲ, ἀντὶ τοῦ γάρ. ¶Οἴχεται γένος] τὸ τῶν λημνιάδων. ¶Οὐκ ἐνδίκως ἀγείρω] συνάξας κατηγορῶ. τοῦτο γάρ μοι τὸ δίκαιον ταῦτα λέγειν. ¶Τὸ δ' ἄγχι] τὸ δὲ ξίφος τῆς δίκης, τὸ ἔχον πικρίαν, διαπερὺ διὰ πνευμόνων ὁρμᾷ. ¶Τὸ μὴ θέμις] τὸ γὰρ μὴ δίκαιον οὐ δεῖ ἀμελεῖσθαι οὐδὲ παρασιωπᾶσθαι, ἀλλ' ἐκδικήσεως τυγχάνειν. ¶Τὸ πᾶν Διὸς] λείπει ὁ γάρ. τὸ γὰρ πᾶν τοῦ Διὸς σέβας παρεξέβησαν ἀθεμίστως οἱ περὶ τὸν Αἴγισθον. ¶Παρεκβάντες] ἀντὶ τοῦ, παρεξέβησαν. καὶ ἔστι μετοχὴ ἀντὶ ῥήματος. ὡς τό, καρπῷ βριθομένη. ¶Δίκας δ' ἐρείδεται] ῥίζα δικαιοσύνης καταβάλλεται.

προσχαλκεύει δ' αἶσα φασγανουργός,
τέκνον δ' ἐπιστρέφει δώμασι,
δαιμάτων παλαιτέρων, τίνει μύσος
χρόνῳ κλυτὴ βυσσόφρων ἐριννύς.
ὀρ. Παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον·
τίς ἔνδον ὦ παῖ, παῖ μάλ' αὖθις ἐν δόμοις.
τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ,
εἴπερ φιλόξενός ἐστιν Αἰγίσθου βία.
οἰ. Εἶεν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;
ὀρ. Ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται
σκοτεινὸν, ὥρα δ' ἐμπόρους μεθιέναι
ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
ἐξελθέτω τις δωμάτων τελεσφόρος,
γυνὴ, τόπαρχος. ἄνδρα δ' εὐπρεπέστερον.
αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους
λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
πρὸς ἄνδρα, κἀσήμηνεν ἐμφανὲς τέκμαρ.
κλ. Ξένοι, λέγοιτ' ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα,
καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτήρια,
στρωμνὴ, δικαίων τ' ὀμμάτων παρουσία.

¶Τέκνον δ' ἐπιστρέφει δώμ.] ἀντὶ τοῦ πάλιν. ἐπιστρέφει δὲ τοῖς οἴκοις τέκνον παλαιῶν αἱμάτων ὅ ἐστι, τίκτει ὁ φόνος ἄλλον φόνον. ¶Τίνει] ἀποτιεῖ. ¶Ἔνδον] ἐν δόμοις. ¶Ἐκπέραμα] ἐκπεράσαι τινὰ καλῶ. τὸ ἐκπέραμα λέγει τὸν διάκονον τὸν εἰσιόντα καὶ ἐξιόντα πρὸς τὰς ἀποκρίσεις. ¶Νυκτὸς ἅρμα] περίφρασις, ἡ νύξ. ¶Ἐμπόρους] ὁδοιπόρους. ¶Ἄγκυραν ἐν δόμοισι] ἐν τοῖς πανδόκοις δόμοις ἤγουν ξενοδόχοις καιρὸς τὴν ἄγκυραν προσορμίσαι τοὺς ὁδοιπόρους. ἀντὶ τοῦ καταλῦσαι. ¶Τελεσφόρος] ἀρχηγὸς. διοικητής. ¶Εὐπρεπέστερον] βέλτιον ἄνδρα ἐξελθεῖν. ¶Ἐν λεχθεῖσιν] ἐν ταῖς πρὸς γυναῖκας ὁμιλίαις ¶Οὐκ ἐπαργέμους] σκοτεινοὺς, ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων. πλεονάζει ἡ οὐ. ¶Δικαίων τ' ὀμμάτων παρ.] ἀντὶ τοῦ, καὶ δίκαιοι ἄνθρωποι.

εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ' ἐστὶν ἔργον οἷς κοινώσομεν.

Ορ. Ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
στείχοντα δ' αὐτόφορτον οἰκείᾳ σάγῃ
ἐς Ἄργος ὥσπερ δεῦρ' ἀπεζύγην πόδας,
ἀγνὼς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνήρ,
(ἐξιστορήσας καὶ σαφηνίσας ὁδὸν,
Στρόφιος ὁ Φωκεὺς πεύθομαι γὰρ ἐν λόγῳ)
ἐπείπερ ἄλλως ὦ ξέν' εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος,
τεθνεῶτ' Ὀρέστην εἰπὲ, μηδαμῶς λάθῃ·
εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ' οὖν μέτοικον εἰς τὸ πᾶν ἀεὶ ξένον
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν·
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου.
τοσαῦτ' ἀκούσας, εἶπον· εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων,
οὐκ οἶδα, τὸν τεκόντα δ' εἰκὸς εἰδέναι.

Ηλ. Οἳ 'γὼ, κατ' ἄκρας ἐνθάδ' ὡς πορθούμεθα·
ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρὰ,

¶ Βουλιώτερον] βουλευτικώτερον. ὅ ἐστι, εἰ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι' ἄλλο τι. ¶ Δαυλιεὺς] δαυλιεύς, ὁ καὶ αὐλιεύς. ¶ Αὐτόφορτον] ἐπὶ ἰδίᾳ πραγματείᾳ. ¶ Ἀπεζύγην] τῆς ὁδοῦ τῆς ὁδοιπορείας ἀπέλυσα, ἐπὶ τῷ ξενισθῆναι παρ' ὑμῖν. ἐκ μεταφορᾶς τῶν ἀποζευγνυμένων τοῦ ζυγοῦ ἵππων, καὶ ἐπὶ φάτνην ὁρμώντων. ¶ Ἐξιστορήσας] ἐρωτήσας καὶ μαθών. ¶ Πεύθομαι] ἤκουσα γὰρ ἐν τῷ μου πρὸς αὐτὸν διαλόγῳ, ὅτι Στρόφιος προσαγορεύεται. ¶ Ἄλλως] δι' ἄλλην χρείαν. ¶ Πρὸς τοὺς τεκόντας] τὸ ἑξῆς, ἀγνὼς πρὸς ἀγνῶτα εἶπεν, ἐπείπερ ὦ ξένε. τὰ δὲ ἄλλα, διὰ μέσου. ¶ Μηδαμῶς] μηδαμῶς λάθῃ με ἡ βουλὴ τῶν φίλων. λέγει δὲ τῶν περὶ Αἴγισθον. ¶ Εἴτ' οὖν κομίζειν] εἰς τοὺς οἴκους. ¶ Πόρθμευσον] διακόνησον. ¶ Εἰ δὲ τυγχάνω] πιθανῶς· ἵνα δοκῇ ὅλως ἀγνοεῖν. ¶ Ὦ δυσπάλαιστε] ὦ δυσκαταγώνιστε.

ὡς πόλλ' ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα,
τόξοις πρόσωθεν δυσκόποις χειρουμένη,
φίλων ἀποψιλοῖς με τὴν παναθλίαν·
καὶ νῦν Ὀρέστης (ἦν γὰρ εὐβούλως ἔχων)
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα,
νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας καλῆς
ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει.
ὀρ. Ἐγὼ μὲν οὖν ξένοισιν ὧδ' εὐδαίμοσι
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωστὸς γενέσθαι, καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶ
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
καταινέσαντα καὶ κατεξενωμένον.
κλ. Οὔτοι κυρήσεις μεῖον ἀξίως σέθεν,
οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν·
ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
κἀκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα.

¶Ἐπωπᾷς] ἐφορᾷς πολλὰ τὰ ἡμέτερα ἀτυχήματα. ¶Κἀκποδὼν] καὶ τὰ πόρρωθεν καλῶς κείμενα τῶν φίλων. ὅ ἐστι, τὰ ἐπὶ ξένης ἀγαθὰ ἐνδιαιτήματα τοῦ Ὀρέστου τοῖς τόξοις εὐστόχως κινουμένη. ¶Ἀποψιλοῖς με] ἀπογυμνοῖς με. ¶Καὶ νῦν Ὀρέστης] δέον εἰπεῖν τὸ πρότερον. τὸ γὰρ νῦν δηλοῖ καὶ τὸ παρεληλυθός. ¶Ἔξω κομίζων] τὸ ἑξῆς οὕτως τοῦ νοήματος. καὶ πρότερον ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα. ἦν γὰρ εὐβούλως ἔχων Ὀρέστης. ποίας Ὀρέστης ἦν τοῖς οἴκοις ἰατρικὴ ἐλπὶς τῆς ἀγαθῆς εὐφροσύνης. νῦν δὲ ἀπώλετο. ¶Πηλοῦ πόδα] παροιμία. ἔξω πηλοῦ πόδα. ¶Βακχείας καλῆς] ἡ εὐφροσύνη τῶν βασιλείων οἴχεται. ¶Παροῦσαν ἐγγράφει] τὰ ξένον αὐτοῦ ἀφανισθεῖσαν ἀρᾷ. ὡς πρὸς τὸ ἐλπὶς δ' ἀπέδωκεν. ¶Ἐστὶν εὐμενέστερον] ἢ τὸ ἀγαθὰ ἀγγεῖλαι. τοῦτο γὰρ φιλίας αἴτιον τοῖς ξένοις γίνεται. ¶Καρανῶσαι] κεφαλαιῶσαι, εἰπεῖν. ¶Ἀξίως σέθεν] τῆς σοὶ ἀξίων τιμῶν. ¶Ἦλθεν ἂν] ἐδόκει καὶ μὴ σὺ ἤγγειλας. ¶Ἡμερεύοντας] δι' ἡμέρας κάμνοντας.

αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.
ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε. κοὐ σπανίζοντες φίλων
βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.

χο. Εἶεν, φίλαι δμωΐδες οἴκων, πότε δὴ στομάτων
δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ.
ὦ πότνια χθὼν, καὶ πότνι' ἀκτὴ
χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
σώματι κεῖσαι τῷ βασιλείῳ,
νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
νῦν γὰρ ἀκμάζει πειθὼ δολία
ξυγκαταβῆναι. χθόνιον δ' Ἑρμῆν
καὶ τὸν νύχιον τοῖσδ' ἐφοδεῦσαι
ξιφοδηλήτοισιν ἀγῶσιν.

οἰ. Ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακὸν,
τροφὸν δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην.
ποῖ δὴ πατεῖς Γείλισσα δωμάτων πύλας;
λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος.

τρ. Αἴγισθον, ἡ κρατοῦσα τοῖς ξένοις, καλεῖ
ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
ἐλθὼν πύθηται τήνδε. πρὸς μὲν οἰκέτας

¶ Αἰνῶ] συμβουλεύω σοι ταῦτα πράσσειν, ὡς δώσοντι δίκην ἐάν τι παρὰ τὸ δέον ποιήσῃς. ¶ Πότε δὴ στομάτων] πότε ἐπιδειξόμεθα; ¶ Ὦ πότνια] ὦ προσφιλὴς καὶ τιμία ἡμῖν χθών. ¶ Καὶ πότνι' ἀκτὴ] ἡ ἀκτὴ τοῦ τάφου. ¶ Νῦν γὰρ ἀκμάζει] νῦν καιρὸν ἔχει ἡ δολία πειθὼ συναγωνίσασθαι τῷ Ὀρέστῃ καὶ συνελθεῖν πρὸς τὴν ὁδόν. ¶ Ἐφοδεῦσαι] ἀπὸ κοινοῦ τὸ νῦν ἀκμάζει. ¶ Ἀνὴρ ὁ ξένος] ξένον τὸν Ὀρέστην καλεῖ, ἵνα δόξωσιν ἀγνοεῖν τὸ σκαιώρημα. ¶ Τεύχειν κακόν] ἀντὶ τοῦ, πεποιηκέναι πένθος τῷ οἴκῳ διὰ τῆς ἀγγελίας. ¶ Λύπη δ' ἄμισθος] κακόμισθος. δάκρυα γὰρ προξενεῖ. Γείλισσαν δέ φησι τὴν Ὀρέστου τροφὸν, Πίνδαρος δὲ Ἀρσινόην, Στησίχορος δὲ Λαοδάμειαν. ¶ Αἴγισθον ἡ κρατοῦσα] ἡ τοὺς ξένους κρατοῦσα καὶ ὑποδεξαμένη, Αἴγισθον καλεῖν ἐκέλευσε. ¶ Τὴν νεάγγελτον] τὴν νεωστὶ ἀγγελθεῖσαν.

θέτο σκυθρωπῶν ἐντὸς ὀμμάτων γέλων,
κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις, καλῶς
κείνῃ, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει,
φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
ἦ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον,
εὖτ' ἂν πύθηται μῦθον. ὦ τάλαιν' ἐγώ,
ὥς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα,
ἄλγη δύσοιστα τοῖσδ' ἐν Ἀτρέως δόμοις
τυχόντ', ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα.
ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην.
τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
φίλον δ' Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη,
καὶ νυκτιπλάγκτων ὀρθίων κελευσμάτων,
καὶ πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοὶ
τλάσῃ. τὸ μὴ φρονοῦν γὰρ, ὡσπερεὶ βοτὸν,
τρέφειν ἀνάγκη (πῶς γὰρ οὔ) τρόπῳ φρενός·
οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις·
ἢ λιμὸς, ἢ δίψη τις, ἢ λιψουρία
ἔχει. νέα δὲ νηδὺς αὐτάρκης τέκνων
τούτων πρόμαντις οὖσα· πολλὰ δ' οἴομαι,
ψευσθεῖσα παιδὸς σπαργάνων φαιδρύντρια,

¶Παγκάκως ἔχει] ἀντὶ τοῦ, ὁ οἶκος κακῶς διάκειται ὑπὸ τῆς φήμης ἧς ἤγγειλαν οἱ ξένοι. ¶Τορῶς] σαφῶς. ¶Ἦ δὴ] ἀντὶ τοῦ ὄντως. ¶Ὥς μοι] ὡς ἀντὶ τοῦ λίαν. ¶Συγκεκραμένα] ἡ κρεουργία τῶν Θυέστου παίδων, καὶ ὁ τοῦ Ἀγαμέμνονος θάνατος. ¶Τοιόνδε πῆμ'] ὡς ἐπὶ τῇ τοῦ Ὀρέστου ἀγγελίᾳ νῦν. ¶Τλημόνως] καρτερικῶς ὑπέφερον. ¶Τῆς ἐμῆς ψυχῆς τριβὴν] τὸν συντρίψαντά μου ταῖς ἐπιμελείαις τὴν ψυχήν. ¶Καὶ νυκτιπλ.] οὐ μόνον δι' ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτῶν. ἀνωφέλητα ἐμοὶ τῇ τλάσῃ καὶ πολλὰ καὶ μοχθηρά. ¶Ὀρθίων κελευσμάτων] κελεύουσι γάρ τι καλοῦντες οἱ παῖδες. ¶Τρέφειν ἀνάγκη] ἀνάγκη τρέφειν ἐπιμελείᾳ ψυχῆς. πῶς γὰρ οὔ; ¶Οὐ γάρ τι φωνεῖ] ἀλλ' ἀνάγκην διὰ δακρύων ἐπιφέρει. ¶Νέα δὲ νηδὺς] ἡ γὰρ νέα νηδὺς τῶν τέκνων ἑαυτῇ ἀρκεῖ καὶ βοηθεῖ (βεύλε). ὅ ἐστιν, αἰνεῖ βούλεται τὰς ἐπιθυμίας. ¶Ψευσθεῖσα παιδὸς] ἀπὸ κοινοῦ, ἐξέθρεψα··

γναφεὺς τροφεύς τε ταὐτὸν εἰχέτην τέλος.
ἐγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
ἔχουσ', Ὀρέστην ἐξεδεξάμην πατρί.
τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον
οἴκων, θέλων δὲ τῶνδε πεύσεται λόγων.
χο. Πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον,
ἢ πῶς, λέγ' αὖθις, ὡς μάθω σαφέστερον,
εἰ ξὺν λοχίταις εἴτε καὶ μονοστιβῆ.
τρ. Ἄγειν κελεύει δορυφόρους ὀπάονας.
χο. Μή νυν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει,
ἀλλ' αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύῃ,
ἄνωχθ' ὅσον τάχιστα γηθούσῃ φρενί.
ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθώσῃ φρενί.
τρ. Ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις.
χο. Ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.
τρ. Καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.
χο. Οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.
τρ. Τί φής; ἔχεις τι τῶν λελεγμένων δίχα;
χο. Ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα·
μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι.
τρ. Ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις·
γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.
χο. Νῦν παραιτουμένῃ μοι πάτερ
Ζεῦ θεῶν ὀλυμπίων,

¶Χειρωναξίας] τὰς διὰ χειρῶν ἐργασίας. ¶Ἐξεδεξάμην πατρί] ἀντὶ τοῦ ἔθρεψα, ἀπέσωσα. ¶Ἐσταλμένον] ἐσκευασμένον, παρεσκευασμένον. ¶Δεσπότου στύγει] τῷ μισουμένῳ ὑπ' Ἀγαμέμνονος. ¶Ἐν ἀγγέλῳ γὰρ] χαίρεις. ¶Ἀλλ' ἦ] ἀλλ' ὄντως. ¶Τροπαίαν] μεταβολήν. ¶Οὔπω· κακός γε μάντις] τινὲς στίζουσιν εἰς τὸ οὔπω, ἵν' ᾖ, οὔπω ἐλπὶς οἴχεται δόμων. ταῦτα δὲ καὶ ὁ τυχὼν μάντις γνοίη. Ἄλλως. οὔπω κακός γε μ. τοῦ πάνυ κακοῦ μάντεως εἰπεῖν. ¶Τῶν λελεγμένων δίχα] παρὰ τὰ εἰρημένα μοι περὶ τοῦ Ὀρέστου. ¶Παραιτουμένῃ] παρὰ σοῦ αἰτουμένῃ. πλεονάζει ἡ παρά.

δὸς τύχας, τυχεῖν δέ μοι κυρίως
τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν
διαδικάσαι πᾶν ἔπος. ἔλακεν Ζεῦ. σὺ δέ νιν φυλάσσοις.
ἒ ἔ, πρὸ δὲ δὴ ἐχθρῶν τὸν ἔσω μελάθρων ὦ Ζεῦ θές.
ἐπεί μιν μέγαν ἄρας, δίδυμα καὶ τριπλᾶ
παλίμποινα θέλων ἀμείψῃ.
ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖ- νιν ζυγέντ' ἐν ἅρματι
πημάτων, ἐν δρόμῳ, προστιθεὶς
μέτρον. τίς ἂν σωζόμενον ῥυθμὸν τοῦτ' ἰδεῖν δάπεδον,
ἀνομένων πημάτων ὄρεγμα; οἵ τ' ἔσωθε δωμάτων
πλουτογαθῆ μυχὸν νομίζετε, κλύετε σύμφρονες θεοί.
ἄγετε, τῶν πάλαι πεπραγμένων
λύσασθ' αἷμα προσφάτοις δίκαις·
γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι,
τὸ δὲ καλῶς κτάμενοι. ὦ μέγα ναίων στόμιον, εὖ
δὸς ἀνιδεῖν δόμον ἀνδρός, καί νιν ἐλευθερίως
λαμπρῶς τ' ἰδεῖν φιλίοις ὄμμασι δνοφερᾶς
καλύπτρας. ξυλλάβοι δ' ἐνδίκως
παῖς ὁ Μαίας ἐπιφορώτατος πρᾶξιν οὐρίαν θέλων.
πολλὰ δ' ἄλλα φανεῖ χρηΐζων,

¶ Δὸς τύχας.] δός μοι εὐτυχίας εὐτυχῆσαι βεβαίως. ¶ Διαδικάσαι] δικαίως, κατὰ δίκην, κατὰ τὸ δίκαιον. ¶ Ὦ Ζεῦ θὲς] τὸν Ὀρέστην. ¶ Μέγαν ἄρας] ἐπάρας γὰρ τὸν Ὀρέστην, δυνήσῃ καὶ διπλασίονα ποινὴν εἰσπράξασθαι τὸν Ὀρέστην ποιῆσαι. ¶ Δίδυμα καὶ τριπλᾶ] διπλάσια καὶ τριπλάσια. ¶ Ἀνδρὸς] τοῦ Ἀγαμέμνονος. ¶ Πῶλον] τὸν Ὀρέστην. ¶ Ζυγέντα] ὁ τρόπος ἀπὸ τῆς μεταφορᾶς. φησὶ γὰρ ἐν ἅρματι πημάτων, τῷ δρόμῳ ἐπήγαγε. ¶ Μέτρον] τέλος αὐτῷ προστιθεὶς τῶν κακῶν. ¶ Ῥυθμὸν δάπ.] αἰτεῖ τὸ εὔτακτον δάπεδον καὶ μὴ τραχεῖαν πορείαν. ¶ Τοῦτ' ἰδεῖν] ἀντὶ τοῦ ἴδοι. τὸ δὲ ἑξῆς, ἴδοι δέ τις σωζόμενον αὐτῷ τὸν ῥυθμὸν τοῦ δρόμου. μηδὲ ὑπερδραμὼν ἐν τῷ δαπέδῳ, διαρρήξῃ τὸν χαλινόν. Ἄλλως. λείπει τὸ ὅπως. ὁ δὲ νοῦς, ὅπως ἐν τούτῳ ἴδοι σωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον, κατὰ τὸν δρόμον τῶν ἀνυομένων πημάτων. ¶ Νομίζετε] ἐπέχετε καὶ διοικεῖτε. ¶ Γέρων φόνος] Ἀγαμέμνονος ὁ παλαιὸς φόνος μὴ συγχωρήσῃ φόνον τῷ Ὀρέστῃ τεχθῆναι, διὰ τὸν φόνον Αἰγίσθου. ¶ Καλῶς κτάμενον] διὰ τοῦτο τὸ καλῶς ἀναιρεθησόμενον. λέγει δὲ τὸ αἷμα τοῦ Αἰγίσθου. ¶ Ὦ μέγα ναίων στόμιον] ὦ ᾅδη. ¶ Ἀνιδεῖν] ἀναβλέψαι. ¶ Δνοφερᾶς καλύπτρας] τοῦ σκότους. ¶ Ἐπιφορώτατος] ὡς ἐπὶ ἀνέμου εἶπεν, ἀντὶ τοῦ ὁ λογιώτατος. ¶ Φανεῖ] τὰ δὲ κρυπτὰ νῦν φανερώσει. Ἄλλως. φανεῖ χρηΐζων κρυπτά] θέλων πολλὰ κρυπτὰ εὑρήσει.

κρυπτά. ἄσκοπον δ' ἔπος λέγων,
νύκτα πρό τ' ὀμμάτων σκότον φέρει,
καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος.
καὶ τότε δὴ πλοῦτον δωμάτων λυτήριον,
θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοή-
των νόμον μεθήσομεν πόλει· τὰ δ' εὖ,
ἐμὸν ἐμὸν κέρδος αὔξεται τόδε·
ἄτα δ' ἀποστατεῖ φίλων.
σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ μέρος ἔργων,
ἐπαύσας πατρὸς ἔργῳ, θροούσᾳ
πρὸς σὲ τέκνον πατρὸς αὐδάν,
καὶ περαίνων ἐπίμομφον ἄταν,
Περσέως τε ἐν φρεσὶ καρδίαν σχέθων,
τοῖς θ' ὑπὸ χθονὸς φίλοισιν,
τοῖς τ' ἄνωθεν προπράσσων
χάριτος ὀργᾶς λυπρᾶς, ἔνδοθεν
φοινίαν ἄταν τιθείς,

¶Ἄσκοπον] ἀπροφύλακτον. ἀδιάσκοπος ἐστὶν ὁ λόγος καὶ ἀδιάγνωστος, τουτέστιν ὁ Ἑρμῆς. νύκτα γὰρ καὶ σκότον πρὸ τοῦ προσώπου φέρει. ¶Καὶ τότε δὴ] ὅταν ἀπαλλαγῶμεν. ¶Πλοῦτον] τὸν πλοῦτον τῶν δωμάτων ἐλεύθερον τῇ πόλει μεθήσομεν. ¶Λυτήριον] ἐλεύθερον. νῦν γὰρ ὑπὸ τυράννων ἀποκέκλεισται. ¶Θῆλυν] θηλυκόν. ¶Οὐριοστάταν] οὐρίως σταθέντα. ¶Ὁμοῦ κρεκτὸν] ὁμοῦ μεθήσομεν τὸν κρεκτὸν γοήτων νόμον. ὅ ἐστι, καὶ τῶν ἀγαθῶν τῇ πόλει μεταδώσομεν, καὶ τὸν Ἀγαμέμνονα ἀκινδύνως θρηνήσομεν. ¶Γοήτων] τὸν τῶν γοήτων, οἳ ὡς ἄδικοι περιόντες τὴν πόλιν. ¶Τὰ δ' εὖ, ἐμὸν ἐμὸν κέρδος] τὰ καλῶς ἀποβαίνοντα, τὸ ἐμὸν κέρδος ἐστίν· τῶν δὲ περὶ Ὀρέστην καὶ Ἠλέκτραν ἀπαλλαγὴ ἄτης. ¶Σὺ δὲ θαρσῶν] ὦ Ὀρέστα, σὺ δὲ θαρρῶν ἐμοὶ τέκνον θροούσῃ πρός σε πατρὸς αὐδάν, ὅ ἐστιν, ὡς ἂν εἰ πατὴρ συμβουλεύσῃ, ὅταν ἥκῃ καιρός, ἔργῳ ἐπιβαλοῦ, ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός. προσέχε δὲ κἀμοὶ συμβουλευούσῃ σοι οἷα πατήρ. ¶Μέρος ἔργων] ὁ καιρὸς τοῦ ἔργου. λείπει ἐπιβαλοῦ. ¶Ἐπαύσας πατρὸς ἔργῳ] ἀντὶ τοῦ, ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός. ¶Ἐπίμομφον ἄταν] κατεργασάμενος τὴν τῶν πολιτῶν μέμψεως ἀξίαν ἄτην. ὅ ἐστι, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν. ¶Περσέως] ἀντὶ τοῦ περθητοῦ. ἢ ἐπεὶ ἀπεστραμμένος ἐκεῖνος ἔτεμε Μέδουσαν, ἀποστραφείς, φησίν, ὡς ἐκεῖνος· μή πως θεασάμενος αἰδεσθῇς τὴν μητέρα. ¶Ἔνδοθεν] ἐν τῇ ψυχῇ. Ἄλλως. τὴν ἔνδον ἐπὶ τῆς οἰκίας φονίαν ἄτην καταβαλών. ὅ ἐστι τὴν Κλυταιμνήστραν.

τὸν αἴτιον δ' ἐξαπολλὺς μόρου.

Αἰγ. Ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ' ὑπάγγελος,
νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς
ξένους μολόντας οὐδαμῶς ἐφίμερον,
μόρον δ' Ὀρέστου. καὶ τόδ' ἀμφέρειν δόμοις
γένοιτ' ἂν ἄχθος δειματοσταγὲς φόνῳ
τῷ πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένῳ.
πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω;
ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
πεδάρσιοι θρώσκουσι θνήσκοντες μάτην;
τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;

Ἀγγ. Ἠκούσαμεν μὲν, πυνθάνου δὲ τῶν ξένων
ἔσω παρελθών. οὐδὲν ἀγγέλων σθένος,
ὡς αὐτὸς αὐτῶν ἄνδρα πεύθεσθαι πέρι.

Αἰγ. Ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον,
εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν,
εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών·
οὔτοι φρένα κλέψειεν ὠμματωμένην.

Χο. Ζεῦ Ζεῦ, τί λέγω, πόθεν ἄρξωμαι,
τάδ' ἐπευχομένη κἀπιθοάζουσα, ὑπὸ δ' εὐνοίας
πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;
νῦν γὰρ μέλλουσι μιανθεῖσαι
πειραὶ κοπάνων ἀνδροδαΐκτων
ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
οἴκων ὄλεθρον διὰ παντὸς,

¶Τὸν αἴτιον] τὸν Αἴγισθον. ¶Μόρον δ' Ὀρέστου] ὑπευλαβῶς ταῦτά φησι. ¶Φόνῳ] τῷ τοῦ Ἀγαμέμνονος. ¶Ἑλκαίνοντι καὶ δεδηγμένῳ] ὡς ἐπὶ μαχαίρας, οὐ παρακαλυφθέντι, ἀλλ' ἀειμνήστῳ ἐν τῷ τοῖς θρήνοις ἀμύσσειν αὐτῶν τὰ στήθη. ¶Θνήσκοντες μάτην] ἢ ἀληθῶς ἀποθανόντος. ¶Οὐδὲν ἀγγέλων σθένος] οὐ τοσοῦτον ἰσχύει εἰπεῖν ἄγγελος ὡς αὐτόπτης. ¶Ὠμματωμένην] τὴν συνετήν μου φρένα. ¶Ζεῦ Ζεῦ, τί λέγω] ταῦτά φησιν ὁ χορὸς, εἰσελθόντος τοῦ Αἰγίσθου. ¶Ἴσον] τὸ ἀληθές. ¶Πειραὶ κοπάνων] πειραὶ, αἱ αἰχμαὶ τῶν ξιφῶν. Ἄλλως. κοπάνων, τῶν συγκοπτῶν. παρὰ τὸ πείρειν. κοπάνων δὲ, τῶν κοπτικῶν ξιφῶν.

ἢ πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ
δαίων, ἀρχάς τε πολισσονόμους.
ἕξει πατέρων μέγαν ὄλβον.
τοιάνδε πάλην μόνος ὢν ἔφεδρος
δισσοῖς μέλλει θεῖος Ὀρέστης
ἅψειν. εἴη δ' ἐπὶ νίκῃ. αἰ. Ε ἒ ὀτοτοτοῖ.
χο. Ἔα, ἔα μάλα, πῶς ἔχει, πῶς κέκρανται δόμοις;
ἀποσταθῶμεν πράγματος τελουμένου.
ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
εἶναι. μάχης γὰρ δὴ κεκύρωται τέλος.
οἰ. Οἴμοι πανοίμοι δεσπότου τελουμένου,
οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν.
Αἴγισθος οὐκ ἔτ' ἔστι· ἀλλ' ἀνοίξατε
ὅπως τάχιστα, καὶ γυναικείας πύλας
μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ,
οὐχ ὡς δ' ἀρῆξαι διαπεπραγμένῳ· τί γάρ;
ἰοὺ ἰού. κωφοῖς ἀϋτῶ, καὶ καθεύδουσιν μάτην
ἄκραντα βάζω. ποῖ Κλυταιμνήστρα; τί δρᾷ;
ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας
αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένης.
κλ. Τί δ' ἐστὶ χρῆμα, τίνα βοὴν ἵστης δόμοις;
οἰ. Τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.
κλ. Οἲ ἐγὼ ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων·
δόλοις ὀλούμεθ' ὥσπερ οὖν ἐκτείναμεν·
δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
εἰδῶμεν εἰ νικῶμεν, ἢ νικώμεθα.
ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.

¶Η πῦρ καὶ φῶς] πῦρ δαίδων. ¶Εα ἔα] φωνῆς ἀκούσασιν ἀναιρουμένου τοῦ Αἰγίσθου. ¶Γυναικείας πύλας] τὰς τῆς Κλυταιμνήστρας. ¶Καὶ μάλ' ἡβῶντος] ἀνδρὸς δεῖ εἰς τὸ χαλάσαι τὰς πύλας. ¶Διαπεπραγμένῳ] τῷ σφαγέντι. ¶Τοὺς τεθνηκότας λέγω] αἰνίττεται ὅτι, ὁ τῷ λόγῳ τεθνηκὼς Ὀρέστης ἀπέκτεινε τὸν ζῶντα Αἴγισθον.

ὀρ. Σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.
κλ. Οἲ ἐγώ· τέθνηκας φίλτατ' Αἰγίσθου βία.
ὀρ. Φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῷ τάφῳ
κείσῃ. θανόντα δ' οὔτι μὴ προδῷς ποτέ.
κλ. Ἐπίσχες ὦ παῖ, τόνδε δ' αἴδεσαι τέκνον
μαστὸν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα,
οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.
ὀρ. Πυλάδη τί δράσω, μητέρ' αἰδεσθῶ κτανεῖν;
πυ. Ποῦ δαὶ τὰ λοιπὰ Λοξίου μαντεύματα
τὰ πυθόχρηστα; πιστὰ δ' εὐορκώματα;
ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.
ὀρ. Κρίνω σε νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
ἕπου, πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω.
καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός·
τούτῳ θανοῦσα συγκάθευδ'· ἐπεὶ φιλεῖς
τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν, στυγεῖς.
κλ. Ἐγώ σ' ἔθρεψα, νῦν δὲ γηρᾶναι θέλω.
ὀρ. Πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;
κλ. Ἡ μοῖρα τούτων ὦ τέκνον παραιτία.
ὀρ. Καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον.
κλ. Οὐδὲν σεβίζῃ γενεθλίους ἀρὰς τέκνον;
ὀρ. Τεκοῦσα γάρ μ' ἔρριψας ἐς τὸ δυστυχές.
κλ. Οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους.
ὀρ. Διχῶς ἐπράθην, ὢν ἐλευθέρου πατρός.
κλ. Ποῦ δῆθ' ὁ τιμὸς ὅντιν' ἀντεδεξάμην;
ὀρ. Αἰσχύνομαί σου τοῦτ' ὀνειδίσαι σαφῶς.

¶ Αἰγίσθου βία] ἀντὶ τοῦ ὦ Αἴγισθε. ¶ Οὔλοισιν ἐξήμελξας] τὸ οὖλον οὐδετέρως. ¶ Ποῦ δαὶ τὰ] μετασκευάζεται ὁ ἐξάγγελος εἰς Πυλάδην, ἵνα μὴ δ' λέγωσιν. ¶ Εὐορκώματα] τὰ ὁρκωμόσια, ἃ ἐξῆν ὠμόσατε ἡμῖν. ¶ Ἅπαντας ἐχθρούς] πλέον λέγει πάντας ἀνθρώπους ἔχειν τοὺς θεοὺς ἐχθρούς. ¶ Ἕπου, πρὸς αὐτόν] πρὸς αὐτὸν τὸν Αἴγισθον. πιθανῶς δὲ, ἵνα μὴ ἐν φανερῷ ἡ ἀναίρεσις γένηται. ¶ Γηρᾶναι] ἀπὸ τοῦ γήρημι. ¶ Δορυξένοις] ἵνα ἔστιν ἀπορρίψαι, τὸ δορυξένοις ἐκδοῦναι πρὸς ἀναστροφήν. ¶ Αἰσχύνομαί σου] τὸν Αἴγισθον φησί.

κλ. Μή, ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.
ὀρ. Μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη.
κλ. Ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι τέκνον.
ὀρ. Τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.
κλ. Κτενεῖν ἔοικας ὦ τέκνον τὴν μητέρα.
ὀρ. Σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.
κλ. Ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.
ὀρ. Τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;
κλ. Ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.
ὀρ. Πατρὸς γὰρ αἶσα τόνδε σ' ὁρίζει μόρον.
κλ. Οἲ 'γὼ τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην.
ὀρ. Ἦ κάρτα μάντις οὑξ ὀνειράτων φόβος.
κλ. Κανές γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.
χο. Στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.
ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.
ἔμολε μὲν δίκα πριαμίδαις χρόνῳ,
βαρύδικος ποινά· ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος
διπλοῦς λέων, διπλοῦς ἄρης. ἔλασε δ' ἐς τὸ πᾶν
ὁ πυθοχρήστας φυγάς.
θεόθεν εὖ φραδαῖσιν ὡρμημένος
ἐπολολύξατε δεσποσύνων δόμων,
ἀναφυγᾷ κακῶν, καὶ κτεάνων τριβᾶς,

¶ Ἀλλ' εἴφ' ὁμοίως] ὅτι Κασσάνδρας ὅπτε ἠγημένη. ¶ Ἔσω καθημένη] ἑτέρῳ συγκοιμωμένη. ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν χωνὴ οὖσα. ¶ Ἐγκότους κύνας] τὰς ἐριννύας. ¶ Πρὸς τύμβον μάτην] ὅτι μέλλω τελευτᾶν. παροιμίαν εἶναι τοῦτό φασι, πρὸς τύμβον κλαίειν καὶ πρὸς ἄνδρα νήπιον. ¶ Στένω μὲν οὖν] δυγναμένως ὀλεοῦσι τοὺς περὶ Αἴγισθον. ¶ Ἐπήκρισε] ὅσπερ ἄκρον ἦλθε. ¶ Διπλοῦς λέων] οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. ¶ Ἔλασε] ἤλασε δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν, λύσει τὸν ἀγῶνα ἀφίκετο, φησίν, εἰς τὸ τέλος τοῦ ἀγῶνος. ¶ Ὁ πυθοχρήστας] ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης. ¶ Τριβᾶς, ὡς φυγόντων τὰς συντριβὰς τῶν οἴκων.

ὑπὸ δυοῖν μιασόροιν, δυσοίμου τύχας·
ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας,
δολιόφρων ποινά· ἔθιγε δὲ μάχᾳ χερὸς ἐτήτυμος
διὸς κούρα· δίκαν δέ νιν προσαγορεύομεν
βροτοὶ τυχόντες καλῶς
ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον·
τάπερ ὁ λοξίας ὁ παρνάσιος,
μέγαν ἔχων μυχὸν χθονὸς ἐπ' ὄχθει
ἄξει ἀδόλως δολίαν βλαπτομέναν ἐν χρόνοις
θεῖσαν ἐποίχεται. κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ
ὑπουργεῖν κακοῖς. ἄξιον δ' οὐρανοῦχον ἀρχὰν σέβειν,
πάρα τὸ φῶς ἰδεῖν, μέγαν τ' ἀφῃρέθην
ψάλιον οἴκων. ἄν' ἄγε μὰν δόμοις πολὺν ἄγαν χρόνον.
χαμαιπετῆ σε κεῖσθ' ἀεί,
τάχα δὲ παντελὴς χρόνος ἀμείψεται
πρόθυρα δωμάτων, ὅταν ἀφ' ἑστίας
μῦσος πᾶν ἐλάσῃ καθαρμοῖς
ἄπαν ἐλατήριον. τύχα δ' εὐπροσώπῳ κοίτᾳ
τὸ πᾶν ἰδεῖν, ἀκοῦσαι θρεομένοις, μετοικοδόμων

¶ Δυσοίμου τύχας] δυσπόρου τῆς τύχης. τὸ δὲ ἑξῆς, τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ τῆς δυσοίμου τύχης. ¶ Ἔμολε] τῷ Αἰγίσθῳ ἔμολεν ἡ ποινὴ τῷ ἀποκτείναντι δόλῳ τὸν Ἀγαμέμνονα. ¶ Διὸς κούρα] ἡ δὲ διὸς θυγάτηρ ἡ δίκη πάρεστιν ἐν τῇ πρὸς Αἴγισθον μάχῃ, καὶ ἐρείσατο τοῦ ξίφους. δικαίως γὰρ Ὀρέστης ἠμύνατο. ¶ Ὀλέθριον πνέουσα] τὸ ἑξῆς. ἔμολεν ὀλέθριον πνέουσα. ¶ Τάπερ] ἀντὶ τοῦ καθάπερ. ¶ Δολίαν] τὴν Κλυταιμνήστραν τὴν δολίως βλάπτουσαν καὶ ἐπὶ πολλῷ χρόνῳ τὸν οἶκον, ἐποίχεται ἡ δίκη. ἐπεξῆλθε τὴν δίκην βλαπτομένην ἐκ πολλοῦ Ὀρέστης. ¶ Κρατεῖται] συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς. ¶ Οὐρανοῦχον ἀρχὰν] τοὺς θεοὺς, ἢ τὸν δία. ¶ Ψάλιον οἴκων] χαλινόν. ¶ Παντελὴς ὁ χρόνος] ὁ πάντα τελῶν χρόνος, τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα. ¶ Ἀμείψεται] ἀλλαγήσεται. οὐχ ὁμοίως ἔσται τοῖς πρότερον ἐν τῷ οἴκῳ ἡμῶν. ¶ Ἐλατήριον] τὸ ἐλαῦνον τοὺς ἀσεβεῖς. ἢ τὸ ἀπελαθῆναι ὀφεῖλον. ἐλατήριον δὲ, τὸ καθαρτικὸν φάρμακον. ¶ Εὐπροσώπῳ κοίτᾳ] ἡ δὲ τύχη νῦν ἐν εὐόπτῳ κοίτῃ, τουτέστιν ἐν ἀγαθῇ καταστάσει πρὸς τὸ ἰδεῖν τὰ νῦν γεγονότα, καὶ ἑτέρων λεγόντων ἀκοῦσαι. λείπει τὸ ἐστί. ¶ Μετοικοδόμων] οἱ νῦν τοὺς δόμους οἰκοῦντες, πεσοῦνται εἰς τὸ ἔμπαλιν τῆς προτέρας τύχης. τοῦτο δὲ ἀπὸ τῶν κύβων μετῆκται.

πεσοῦνται πάλιν, παρὰ τὸ φῶς ἰδεῖν.
ὀρ. Ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα,
πατροκτόνους τε δωμάτων πορθήτορας.
σεμνοὶ μὲν ἦσαν, ἐν θρόνοις τόθ' ἥμενοι,
φίλοι τε καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
πάρεστιν, ὅρκος τ' ἐμμένει πιστώμασι.
ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρὶ,
καὶ ξυνθανεῖσθαι· καὶ τάδ' εὐόρκως ἔχει.
ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρὶ,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ' αὐτὸν, καὶ κύκλῳ παρασταδὸν,
στέγαστρον ἀνδρὸς δείξαθ' ὡς ἴδοι πατὴρ,
οὐχ οὑμὸς, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε
ἥλιος ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς·
ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτὲ,
ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
τὸν μητρός· Αἰγίσθου γὰρ οὐ λέγω μόρον·
ἔχει γὰρ αἰσχυντῆρος ὡς νόμου δίκην·
ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος,
ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος,
φίλον τέως, νῦν δ' ἐχθρὸν ὡς φαίνει κακόν.
τί σοι δοκεῖ; μύραινά γ' ἢ ἔχιδν' ἔφυ,
σήπειν θιγοῦσ' ἂν ἄλλον, οὐ δεδηγμένον,
τόλμης ἕκατι κἀδίκου φρονήματος.

¶Ἴδεσθε χώρας] ἀνοίγεται ἡ σκηνὴ, καὶ ἐπὶ ἐκκυκλήματος ὁρᾶται τὰ σώματα ἃ λέγει διπλῆν τυραννίδα. ¶Ξυνώμοσαν] θάνατον τῷ πατρί. ¶Τὸ μηχάνημα] τὸν πέπλον. ¶Ἐκτείνατ' αὐτὸν] πρὸς τὸν χορόν. ¶Παρῇ μοι] ἡ μοι ἀντωνυμία, τὴν οἰκειότητα δηλοῖ. ¶Ἐν δίκῃ] ἐν τῇ κρίσει τῶν ἐριννύων. ¶Αἰγίσθου γὰρ οὐ λέγω] Αἰγίσθου γὰρ οὐ λέγω μόρον, μητρὸς δὲ, ἥτις ἐπ' ἀνδρὶ τοῦτο ἐμήσατο στύγος. ¶Βάρος] τὸ βάρος φίλον πρότερον. ¶Σήπειν θιγοῦσ' ἂν] ὑπερβολή· ὅτι καὶ τὸν μὴ δηχθέντα, ἀλλὰ μόνον ἀψάμενον σήπει.

τί νιν προσείπω, κἂν τύχω μάλ' εὐστομῶν;
ἄγρευμα θηρὸς, ἢ νεκροῦ ποδένδυτον
δρύτης κατασκήνωμα, δίκτυον μὲν οὖν.
ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
τοιοῦτον ἂν κτήσαιτο φιλήτης ἀνήρ,
ξένων ἀπαιόλημα, κἀργυροστερῆ
βίον νομίζων· τῷδέ τ' ἂν δολώματι
πολλοὺς ἀναιρῶν, πολλὰ θερμαίνοι φρενί.
τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ
γένοιτ'· ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.
χο. Αἲ αἲ μελέων ἔργων   στυγερῷ θανάτῳ διεπράχθης.
ἒ ἔ, μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ·
ἔδρασεν ἢ οὐκ ἔδρασε, μαρτυρεῖ δέ μοι
φᾶρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος·
φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται,
πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν,
πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε·
ἀλγῶ μὲν ἔργα καὶ πάθος, γένος τε πᾶν,
ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα.
οὔτις μερόπων ἀσινῆ βίοτον   διὰ πάντ' ἄτιμος ἀμείψει,
ἐς μόχθον δ' ὁ μὲν αὐτίχ', ὁ δ' ἥξει.
ὀρ. Αλλος γ' ἂν εἰδῆ, τοῦτ' ἄρ' οἶδ' ὅπη τελεῖ,
ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου
ἐξωτέρω. φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι. πρὸς δὲ καρδίᾳ φόβος

¶ Κἂν τύχω] αἰτιῶ, ἐπιτύχω δὲ δικτύως κακολογήσας. ¶ Ἄγρευμα] δίκτυον. ¶ Δρύτης κατασκήνωμα] περιπέτασμα ὄροις. ¶ Ποδιστῆρας] τοὺς πλέον τῶν ποδῶν καθήκοντας. ¶ Ἀπαιόλημα] ἀπάτημα. ¶ Φόνου δὲ κηκὶς] τοῦ αἵματος. ¶ Μίμνοντι] τῷ τοιαῦτα πράξαντι χρόνῳ πάθος ἀνθεῖ. ¶ Πολλὰς βαφὰς] ὡς πολυτελοῦς ὄντος τοῦ ἱματίου καὶ ἠφανισμένου τῷ αἵματι. ¶ Διὰ πάντα] ἢ διὰ, πρὸς τὸ ἀμείψεται. ¶ Ἄτιμος] ἀτιμώρητος. ¶ Ὅπη τελεῖ] εἰς τί ἀποβαίνει τὰ κατ' ἐμέ. ¶ Δύσαρκτοι] δυσχερῶς ἀρχόμενοι καὶ πειθόμενοι.

ἄδειν ἕτοιμος ἤδη ὑπορχεῖσθαι κότῳ.
ἕως δ' ἔτ' ἔμφρων εἰμί, κηρύσσω φίλοις,
κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης.
πατροκτόνον μίασμα, καὶ θεῶν στύγος,
καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοί,
πράξαντι μὲν ταῦτ', ἐκτὸς αἰτίας κακῆς
εἶναι, παρέντι δ' οὐκ ἐρῶ τὴν ζημίαν.
τόξῳ γὰρ οὔτις πημάτων προσίξεται.
καὶ νῦν ὁρᾶτέ μ' ὡς παρεσκευασμένος
ξὺν τῷδε θαλλῷ καὶ στέφει, προσίξομαι
μεσόμφαλόν θ' ἵδρυμα Λοξίου πέδον,
πυρός τε φέγγος ἄφθιτον κεκλημένον.
φεύγων τόδ' αἷμα κοινόν, οὐδ' ἐφ' ἑστίαν
ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
τάδ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
καὶ μαρτυρεῖν μοι, λεὼς ἐπορσύνθη κακά.
ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος,
ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών.
ἀλλ' εὖ τε πράξας, μηδ' ἐπιζευχθῇ στόμα
φήμῃ πονηρᾷ, μηδ' ἐπιγλωσσῶ κακά·
ἐλευθερώσας πᾶσαν Ἀργείων πόλιν,
δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.
ἆ ἆ. δμωαὶ γυναῖκες, αἵδε γοργόνων δίκην
φαιοχίτωνες καὶ πεπλεκτανημέναι
πυκνοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.

χο. Τίνες σὲ δόξαι φίλτατ' ἀνθρώπων πατρὶ
στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ νικῶν πολύ.

ὀρ. Οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί·
σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.

¶Πατροκτόνον] τὴν μητέρα. ¶Πλειστηρίζομαι] καυχῶμαι. ¶Λοξίαν χρήσαντα] εἰς τὰς ἐπιθυμίας τῆς τόλμης φημὶ τὸν Ἀπόλλωνα χρῆσαί μοι. ¶Προσίξεται] τοσαύτη ἐστὶν ὡς μηδὲ τοξότην ἐφάψασθαι τοῦ μήκους. ¶Πυρός τε φέγγος] τὸ ἐν Παρνασσῷ.

χο. Ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίτνει.
ὀρ. Ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές.
χο. Εἶτω καθαρμός. λοξίου δὲ προσθίγαν,
ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.
ὀρ. Ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ᾽, ἐγὼ δ᾽ ὁρῶ·
ἐλαύνομαι δὲ κ᾽ οὐκ ἔτ᾽ ἂν μείναιμ᾽ ἐγώ.
χο. Ἀλλ᾽ εὐτυχοίης, καί σ᾽ ἐποπτεύων πρόφρων
θεὸς φυλάσσοι καιρίοις ἐν συμφοραῖς.
ὅδε τοι μελάθροις τοῖς βασιλείοις
τρίτος αὖ χειμὼν πνεύσας γονίας ἐτελέσθη.
παιδόβοροι μὲν πρῶτον ὑπῆρξαν
μόχθοι τάλανές τε Θυέστου·
δεύτερον ἀνδρὸς βασίλεια πάθη·
λουτροδάικτος δ᾽ ὤλετ᾽ ἀχαιῶν πολέμαρχος ἀνήρ.
νῦν δ᾽ αὖ τρίτος ἦλθέ ποθεν σωτήρ· ἢ μόρον εἴπω.
ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
μετακοιμισθὲν μένος ἄτης;

¶ Καιρίοις] εὐκαίροις συντυχίαις.
¶ Γονίας] γονίας ἄνεμος, ὅταν ἐξ εὐδίας κινηθῇ χαλεπὸν πνεῦμα.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ τραγῳδίας ἣ ἐπιγράφεται Εὐμενίδες.

Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐριννύων, βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας, κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐριννύας πραΰνας, προσηγόρευσεν Εὐμενίδας. παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Τὰ τοῦ δράματος πρόσωπα.

Πυθίας προφῆτις, Ἀπόλλων, Ὀρέστης, Κλυταιμνήστρας εἴδωλον, Χορὸς Εὐμενίδων, Ἀθηνᾶ, Προπομποί.

Προλογίζει ἡ προφῆτις.

Εὐμενίδες.

Πυ. Πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν
τὴν πρωτόμαντιν Γαῖαν, ἐκ δὲ τῆς Θέμιν,
ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο
μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῷ τρίτῳ
λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός,
Τιτανὶς ἄλλη παῖς χθονὸς, καθέζετο
Φοίβη, δίδωσι δ' ἣ γενέθλιον δόσιν
Φοίβῳ· τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
λιπὼν δὲ λίμνην, Δηλίαν τε χοιράδα,
κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
ἐς τήνδε γαῖαν ἦλθε Παρνασοῦ θ' ἕδρας.
πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
ἀνήμερον τιθέντες ἡμερωμένην.
μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεώς,
Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα,

¶Πρεσβεύω] προτιμῶ. ¶Τὴν πρωτόμαντιν Γαῖαν] Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα· διὸ καὶ ταρταρῶσαι ἐζήτει αὐτὸν ἡ Γῆ. Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου αἰτίων β΄, φησί, Μελανθοῦς τῆς Δευκαλίωνος καὶ Κηφισοῦ τοῦ ποταμοῦ γίνεται Μέλαινα τοὔνομα. Μελαίνης δὲ καὶ Ποσειδῶνος, Δελφός. ἀφ' οὗ οἱ Δελφοί. ¶Τὸ μητρὸς] ἢ τῆς κοινῆς μητρὸς πάντων, ἢ τῆς Θέμιδος. ¶Λάχει] κλήρῳ. ¶Γενέθλιον δόσιν] ἀντὶ τοῦ, ἐπώνειον θεασαμένη τὸν τῆς ἀδελφῆς ἑαυτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν. ¶Ὄνομ' ἔχει] ἀπόδειξις αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος. ¶Δηλίαν τε χοιράδα] τὴν Κύνθον λέγει δὲ τὴν χοιράδα, σχεδὸν τὴν αἰτίαν φησὶ δι' ἣν ἀπέλιπεν Ἀπόλλων, ἐκκλίνων τὸ ἄπλιστον τοῦ χωρίου. Ἄλλως. Δηλίαν τε χοιράδα, τὴν στρογγύλην. ¶Ἐς τήνδε γαῖαν] χαριζόμενος Ἀθηναίοις, κατενεχθῆναί φασιν ἐκεῖσε Ἀπόλλωνα, κἀκεῖθεν τὴν προπομπὴν αὐτῷ εἶναι. ὁ δὲ Πίνδαρος, ἐκ Τανάγρας τῆς Βοιωτίας. ¶Παῖδες Ἡφαίστου] οἱ Ἀθηναῖοι. Θησεὺς γὰρ τὴν ὁδὸν ἐκάθηρε τῶν λῃστῶν· καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα, προέρχονται ἔχοντες πελέκεις, ὡς ἐξημερώσοντες τὴν γῆν. ¶Δελφός τε] καὶ ὁ Δελφὸς λεώς, ὅς ἐστι τῆς χώρας ἄναξ καὶ κυβερνήτης. ¶Κτίσας] ποιήσας. ἰδίωμα δὲ τοῦτο Αἰσχύλου.

ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται.
σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή·
Βρόμιος δ' ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεὸς,
λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον,
Πλείστου τε πηγὰς, καὶ Ποσειδῶνος κράτος
καλοῦσα, καὶ τέλειον ὕψιστον Δία.
ἔπειτα μάντις εἰς θρόνους καθιζάνω·
καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων, μακρῷ
ἄριστα δοῖεν, κ' εἰ παρ' Ἑλλήνων τινὲς,
ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται·
μαντεύομαι γὰρ, ὡς ἂν ἡγῆται θεός.
ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν,
πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,
ὡς μήτε σωκεῖν, μήτε μ' ἀκταίνειν στάσιν·
τρέχω δὲ χερσὶν, οὐ ποδωκίᾳ σκελῶν·
δείσασα γὰρ γραῦς, οὐδὲν, ἀντίπαις μὲν οὖν,

¶Παλλὰς] κατὰ ἡ Παλλάς, Δελφοὶ ἵν' ἔθ' ἱδρύσαντο προναίην. Καλλίμαχος. ¶Κωρυκὶς πέτρα] ὁ Παρνασσός. ¶Βρόμιος δ' ἔχει τὸν χῶρον] διὸ εἶπε, δαιμόνων ἀναστροφή. ¶Λαγὼ δίκην] λαγωοῦ δίκην καταπλέξαντι, ἢ μὴ ἀνθισταμένῳ. ¶Πενθεῖ] νῦν φησὶν ἐν Παρνασσῷ εἶναι τὰ κατὰ Πενθέα. ἐν δὲ ταῖς Ξαντρίαις, ἐν Κιθαιρῶνι. ¶Καλοῦσα] καλοῦσα φροιμιάζομαι. ¶Ἔπειτα μάντις] τοῦτό φησιν ἐπὶ δραματική ἐστιν ἡ ποίησις. εἰ δὲ ἦν διηγηματική, εἶπεν ἂν ὁ ποιητὴς, ταῦτα εἰποῦσα εἰς θρόνον ἐκαθέζετο. ¶Τῶν πρὶν εἰσό.] ἢ τοῦ θεοῦ ἢ τῶν προτέρων Ποσειδῶνος, γὰρ ἐς Καλαύρειαν ἐδέξατο. Καλλίμαχος, Μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσιν. ¶Ἴτων] ἴτωσαν, ἀττικώτερον. ¶Πάλιν μ' ἔπεμψεν] παρ' ὀλίγον ἔρημος ἡ σκηνὴ γίνεται. οὔτε γὰρ ὁ χορός πω πάρεστιν, ἥ τε ἱέρεια εἰσῆλθεν εἰς τὸν ναόν. ¶Σωκεῖν] κουφίζειν. σημαίνει δὲ καὶ τὸ γαυριᾶν καὶ ἀτάκτως πηδᾶν. Ἄλλως. σωκεῖν διὰ τὸ γῆρας. ¶Δείσασα γὰρ] τὰ δεινὰ δείσασα ἐξέπεμψέ με τοῦ μαντείου. ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ, καὶ τὰς ἐριννύας κοιμωμένας, ἔξεισι τεταραγμένη τετραποδηδὸν ἐκ τοῦ ναοῦ.

ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν,
ὁρῶ δ᾽ ἐπ᾽ ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ
ἕδραν ἔχοντα, προστρόπαιον, αἵματι
στάζοντα χεῖρας καὶ νεοσπαδὲς ξίφος
ἔχοντ᾽, ἐλαίας θ᾽ ὑψιγέννητον κλάδον,
λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον,
ἀργῆτι μαλλῷ. τῇδε γὰρ τρανῶς ἐρῶ.
πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος.
οὔτοι γυναῖκας ἀλλὰ γοργόνας λέγω.
οὐδ᾽ αὖτε γοργείοισιν εἰκάσω τύποις.
εἶδόν ποτ᾽ ἤδη Φινέως γεγραμμένας
δεῖπνον φερούσας· ἄπτεροι γε μὴν ἰδεῖν
αὗται, μέλαιναι δ᾽ ἐς τὸ πᾶν βδελύκτροποι,
ῥέγκουσι δ᾽ οὐ πλαστοῖσι φυσιάμασιν.
ἐκ δ᾽ ὀμμάτων λείβουσι δυσφιλῆ βίαν.
καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος, οὔτ᾽ ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ᾽ ὁμιλίας.

¶ Προστρόπαιον] ἱκέτην. ¶ Στάζοντα χεῖρας] ἐμφατικῶς τοῦτο· νεωστὶ αὐθεντηκότα παρίστησι. ¶ Νεοσπαδὲς] νεωστὶ ἐσπασμένον. ¶ Ἀργῆτι μαλλῷ] εἰώθασιν ὅταν ἀσαφές τι εἴπωσιν οἱ ποιηταί, ἐπιδιδάσκειν αὐτό. Ὅμηρος, Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους. ¶ Εὕδει γυναικῶν] ἐπὶ σκηνῆς φαίνεται τὸ μαντεῖον. ἡ δὲ προφῆτις προσιοῦσαν ἐπικλήσεις, ὡς ἔθος, τῶν θεῶν ποιησαμένη· ἀπροόπτως τε ἰδοῦσα τὰς ἐριννύας κύκλῳ τοῦ Ὀρέστου καθευδούσας, πάντα μηνύει τοῖς θεαταῖς· οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν (τοῦτο γὰρ νεωτερικὸν Εὐριπίδειον) ὑπὸ δὲ τῆς ἐκπλήξεως, τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. τὰ δὲ πρὸ τοῦ, ἀρχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. οἰκονομικῶς δέ, ἵν᾽ ἐν ἀρχῇ διώκηται Ὀρέστης, ἀλλὰ τοῦτο ἐν μέσῳ τοῦ δράματος καταπαύει, ταμιευόμενος τὰ ἀκμαιότατα ἐν μέσῳ. ¶ Ἐν θρόνοισιν ἥμενος] τῶν ἐριννύων. ¶ Ἀλλὰ γοργόνας λέγω] πρὸς τὸ φοβερὸν τῆς ὄψεως. ¶ Οὐδ᾽ αὖτε γοργείοισιν] ἀλλ᾽ οὐδ᾽ ἁρπυίας αὐτὰς λέγω. εἶδον γὰρ αὐτὰς ἐν γραφῇ πτερωτάς. ¶ Βδελύκτροποι] ἅς τις βδελύξαιτο καὶ ἀποστραφείη μισήσας. σκυθρωποί. ¶ Δυσφιλῆ] οἷον αἱματηρά. ¶ Καὶ κόσμος] ὃν ἔχουσι περικείμενον ἑαυταῖς. ¶ Τὸ φῦλον] οὐδέποτε τοιοῦτον γένος εἶδον. ¶ Τῆσδ᾽ ὁμιλίας] συνηθείας, συνουσίας, συστήματος.

οὐ δήλη γαῖα τοῦτ' ἐπεύχεται γένος
"τρέφουσ' ἀνατεὶ, μὴ μεταστένειν πόνων.
τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων
αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ.
"ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος,
"καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.
ἀπ. Οὔτοι προδώσω· διὰ τέλους δέ σοι φύλαξ
ἐγγὺς παρεστὼς, καὶ πρόσω δ' ἀποστατῶν,
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.
καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾷς
ὕπνῳ πεσοῦσαι δ' αἱ κατάπτυστοι κόραι,
"γραῖαι, παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται
θεῶν τις, οὐδ' ἄνθρωπος, οὐδὲ θήρ ποτε·
"κακῶν δ' ἕκατι κἀγένοντ'. ἐπεὶ κακὸν
σκότον νέμονται, τάρταρόν θ' ὑπὸ χθονὸς,
μισήματ' ἀνδρῶν καὶ θεῶν ὀλυμπίων·
ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γένῃ.
"ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
βεβῶντ' ἀνατεὶ τὴν πλανοστιβῆ χθόνα,
ὑπέρ τε πόντον, καὶ περιῤῥύτας πόλεις.
καὶ μὴ πρόκαμνε τόνδε "βουκολούμενος
πόνον· μολὼν δὲ παλλάδος ποτὶ πτόλιν,

¶Τρέφουσ' ἀνατεὶ] τὸ ἀναπεφῆς. ¶Ἰατρόμαντις] ὥσπερ εἴπῃ θεραπείας χρεία, ἰατρός ἐστιν· εἴπῃ μαντείας, τερασκόπος· εἴπῃ καθαρμῶν, καθάρσιος. ¶Καὶ τοῖσιν ἄλλοις] πόσῳ μᾶλλον τῶν ἰδίων; ¶Οὔτοι προδώσω] ἐπιφανεὶς ἀπόλλων συμβουλεύει Ὀρέστῃ καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς ἀθήνας. ἡ δευτέρα δὲ γίνεται φαντασία. στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει. καὶ γίνεται ὄψις τραγική· τὸ μὲν ξίφος ἡμαγμένον ἐπικατέχων Ὀρέστης· αἱ δὲ, κύκλῳ φρουροῦσαι αὐτόν. Ἄλλως. οὔτοι προδώσω. πρὸς Ὀρέστην φησίν. ἀπῆλθε γὰρ ἡ ἱέρεια. ¶Οὐ γενήσομαι πέπων] χάφεται πρέπων. ¶Γραῖαι, παλαιαὶ παῖδες] παλαιαὶ γὰρ παῖδες διὰ τὸ νέον· ἢ ἐπειδὴ ἄγαμοι καὶ παρθένοι εἰσί. τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει. ¶Κακῶν δ' ἕκατι] ἕνεκα τοῦ κακοποιεῖν. ¶Ἐλῶσι] ἀντὶ τοῦ ἐλάσουσι. ¶Βουκολεύμενος] φειδόμενος.

ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας,
κἀκεῖ δικαστὰς τῶνδε καὶ θελκτηρίους
μύθους ἔχοντες, μηχανὰς εὑρήσομεν,
ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων.
καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας.
ὀρ. Ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μὴ ἀδικεῖν,
ἐπεὶ δ' ἐπίστα, καὶ τὸ μὴ ἀμελεῖν μάθε.
σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.
ἀπ. Μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
σὺ δ' αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρὸς
Ἑρμῆ φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος,
πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμὸν
ἱκέτην· σέβει τοι Ζεὺς τόδ' ἐκ νόμων σέβας,
ὁρμώμενον βροτοῖσιν εὐπόμπῳ τύχῃ.
κλ. Εὕδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ.
εἰδ. Ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη
ἄλλοισιν ἐν νεκροῖσιν, ὡς μὲν ἔκτανον,
ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
αἰσχρῶς δ' ἀλῶμαι· προὐννέπω δ' ὑμῖν ὅτι
ἔχω μεγίστην αἰτίαν κείνων ὕπο.
παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων,
οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται,

¶Ἄγκαθεν] ταῖς ἀγκάλαις. ¶Ἐπίστα] ἐπίστασαι. ¶Σθένος δὲ] τὸ δὲ σὸν σθένος, ἀσφαλές ἐστιν εἰς τὸ εὖ ποιεῖν. ¶Ἐπώνυμος] ὅδιος γὰρ ὁ θεός. ¶Σέβει τοι Ζεύς] τὸ τῶν ἱκετῶν σέβισμα καὶ δέημα οὐ μόνον τιμᾷ ὁ Ζεύς, ἀλλὰ καὶ σέβει, ὁρῶν αὐτὸ ὁρμώμενον προσηκούσῃ τύχῃ. ¶Ἐγὼ δ' ὑφ' ὑμῶν] λείπει εἰμί. ὑπὲρ ὧν ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε. καὶ οἱ ἐμὲ φονεύσαντες, οὐκ ἀτιμάζονται. παιδευτικὰ δὲ ταῦτα. τὸ γὰρ τοὺς ἐναγεῖς, καὶ μετὰ θάνατον ὑπὸ νεκρῶν ἀτιμάζεσθαι, ἱκανῶς ἔχεται παιδεύσεως. ὁ μὲν Ὀρέστης φυγῇ οἴχεται Ἀθήναζε πυθόμενος. αἱ δὲ ἐριννύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος. τὸ τραγῳδούμενον τοῦτο ἐπιτηδεύσαντες, ἵνα διὰ τούτου ἐμφαίνῃ τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν. πῶς δὲ διεγείρονται; οὐχ ὑπὸ Ἀπόλλωνος, οὐδὲ ὑφ' ἑαυτῶν, ἀλλ' ἐν ἄλλῃ φαντασίᾳ. ἐφίσταται γὰρ τὸ εἴδωλον Κλυταιμνήστρας, καὶ μεμψάμενον διεγείρει. ὥστε ποικίλαις φαντασίαις πεποίηται. ¶Ἔχω μεγίστην] καὶ σφαγοῦσα, αἰτιῶμαι ὑπ' αὐτῶν διὰ Ἀγαμέμνονα.

κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.
ὅρα δὲ πληγὰς τάσδε καρδίας σέθεν.
εὕδουσα γὰρ φρὴν ὄμμασι λαμπρύνεται·
ἐν ἡμέρᾳ δὲ μοῖρ᾽ ἀπρόσκοπος βροτῶν.
ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
χοάς τ᾽ ἀοίνους, νηφάλια μειλίγματα,
καὶ νυκτίσεμνα δεῖπν᾽ ἐπ᾽ ἐσχάρᾳ πυρὸς
ἔθυον ὥραν οὐδενὸς κοινὴν θεῶν.
καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
ὁ δ᾽ ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων
ὤρουσεν, ὑμῖν ἐγκατιλλώψας μέγα.
ἀκούσαθ᾽ ὡς ἔλεξα τῆς ἐμῆς πέρι
ψυχῆς, φρονήσατ᾽ ὦ κατὰ χθονὸς θεαί.
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ.
(χο. Μυγμός.) κλ. Μύζοιτ᾽ ἄν, ἀνὴρ δ᾽ οἴχεται φεύγων πρόσω·
φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες.
(χο. Μυγμός.) κλ. Ἄγαν ὑπνώσεις, κ᾽ οὐ κατοικτίζεις πάθος,
φονεὺς δ᾽ Ὀρέστης τῆσδε μητρὸς οἴχεται. (χο. Ὠγμός.)
κλ. Ὤζεις, ὑπνώσεις, οὐκ ἀναστήσῃ τάχος;
τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;
(χο. Ὠγμός.) κλ. Ὕπνος πόνος τε κύριοι συνωμόται

¶ Εὕδουσα γὰρ φρὴν] ἐν τῷ καθεύδειν ὁ νοῦς ἀκριβέστερον ὁρᾷ, μὴ περιπλανώμενος τῇ θέᾳ. τραγικώτερον δὲ, τὸ εἴδωλον Κλυταιμνήστρας σώζει τὴν σφαγήν. ¶ Ἐν ἡμέρᾳ δὲ μοῖρα] ἡ τῆς φρενὸς μοῖρα οὐ προορᾷ ἐν ἡμέρᾳ. ¶ Νηφάλια] οἶνος γὰρ οὐ σπένδεται ἐριννύσιν. ¶ Ἔθυον ὥραν] ὥραν ἐν ᾗ οὐδεὶς τῶν θεῶν ἐκοινώνει τῆς θυσίας ὑμῖν. ἐν γὰρ τῷ μεσονυκτίῳ μόναις ἐριννύσιν ἀπάρχονται. ¶ Οὐδενὸς κοινὴν θεῶν] ὅτι ταύταις μόναις ἐν νυκτὶ θύουσιν. ¶ Ὁ δ᾽ ἐξαλύξας οἴχεται νεβροῦ δίκην] διὰ τὸ πεφευγέναι ἐκ τοῦ ναοῦ. ¶ Ἐγκατιλλώψας μέγα] χλευάσας. διὰ δὲ τούτων ἐρεθίζει αὐτάς. ¶ Μυγμὸς] παρεπιγραφή. τοῦτο δέ ἐστιν ὅ φησιν ὁ ποιητὴς, -αἱ δ᾽ ἐπέμυξαν. τὸ δὲ ἐγείρεσθαι τὰς παρειμένας ὕπνῳ, οὐ πιθανόν. κατὰ βραχὺ οὖν ἐκ προσβάσεως τὴν ἔγερσιν ποιοῦνται. ¶ Ὤζεις] ὡς παρὰ τὸ αἲ αἲ, αἰάζειν· οὕτω παρὰ τὸ ὢ ὤ, ὤζειν. ¶ Τί σοι] τί σου μέλλεις τὸ σὸν ἔργον ἀνύειν; ¶ Συνωμόται] συνωμοσίαν ποιήσαντες, κατεκοίμισαν ὑμᾶς.

δεινῆς δρακαίνης ἐξεκήρανας μένος.
(χο. Μυγμὸς διπλοῦς, ὀξύ.)
Λάβε λάβε λάβε λάβε, φράζου.
κλ. Οναρ διώκεις θῆρα, κλαγγαίνεις δ᾽ ἅπερ
κύων μέριμναν οὔποτ᾽ ἐκλιπὼν πόνου.
τί δρᾷς, ἀνίστω, μή σε νικάτω πόνος,
μηδ᾽ ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ᾽ ὕπνῳ.
ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσι.
τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίνεται.
οὐδ᾽ αἱματηρὸν πνεῦμ᾽ ἐπουρίσασα τῷ
ἀτμῷ κατισχναίνουσα νηδύος πυρί·
ἕπου, μάραινε δευτέροις διώγμασιν.
χο. Ἔγειρ᾽ ἔγειρε καὶ σὺ τήνδ᾽, ἐγὼ δέ σε.
εὕδεις; ἀνίστω, κἀπολακτίσασ᾽ ὕπνον,
ἰδώμεθ᾽ εἴ τι τοῦδε φροιμίου ματᾷ.
ἰοὺ ἰοὺ, πόπαξ ἐπάθομεν φίλαι.
ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ.
ἐπάθομεν πάθος δυσαχὲς, ὦ πόποι,
ἄφερτον κακόν. ἐξ ἀρκύων πέπλωκεν, οἴχεται δ᾽ ὁ θήρ.
ὕπνῳ κρατηθεῖσ᾽ ἄγραν ὤλεσα.
ἰὼ παῖ Διὸς ἐπίκλοπος πέλῃ.
νέος δὲ γραίας δαίμονας καθιππάσω,
τὸν ἱκέταν σέβων ἄθεον ἄνδρα καὶ τοκεῦσι πικρὸν,
τὸν μητραλοίαν δ᾽ ἐξέκλεψας ὢν θεός.

¶ Ἐξεκήρανας] παρεῖλον τό. ¶ Λάβε λάβε] ὀνειροπολοῦσα διώκειν Ὀρέστην, τοῦτό φησιν. ¶ Ἀντίκεντρα] ἴσα μάστιξιν. ¶ Ἐπουρίσασα] ἐφορμήσασα τῷ Ὀρέστῃ. οἰκεῖον δὲ τῷ πνεύματι τὸ ἐπουρίσασα. ¶ Κατισχναίνουσα] ἐκλεπτύνουσα, πυρετῷ ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτῆς. ¶ Ἔγειρ᾽ ἔγειρε] ἀνίστησιν αὐτὰς οὐκ ἀθρόως, μιμούμενος ἐμφατικῶς τὴν ἀλήθειαν. ἀλλ᾽ ἐγείρεταί τις προτέρα, ὥστε μὴ ἀθρόως τὸν χορὸν φθέγξασθαι. ¶ Ματᾷ] μάταιον γίνεται. ¶ Ἦ πολλὰ] κομματικῶς ἑκάστη κατ᾽ ἰδίαν προσωνεκτέον. αἱ γὰρ διακοπταὶ, περίφοροι τοῖς πάθεσιν. ¶ Ἐπάθομεν] λείπει, δεινά. ¶ Ἄφερτον] ἀφόρητον κακὸν ἐπάθομεν. ¶ Καθιππάσω] κατεπολέμησας. ¶ Τοκεῦσι πικρὸν] συλληπτικῶς.

τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν;
ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν,
ἔτυψεν δίκαν διφρηλάτου   μεσολαβεῖ κέντρῳ·
ὑπὸ φρένας, ὑπὸ λοβὸν   πάρεστι μαστίκτορος,
δαΐου δαμίου.   βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.
τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ
κρατοῦντες τὸ πᾶν δίκας πλέον,   φονολιβῆ θρόνον
περὶ πόδα, περὶ κάρα   πάρεστι γᾶς ὀμφαλὸν
προσδρακεῖν αἱμάτων   βλοσυρὸν ἀρόμενον ἄγος ἔχειν.
ἐφεστίῳ δὲ μάντις ὢν μιάσματι   μυχὸν ἐχράνατ' αὐ-
τόσσυτος, αὐτόκλητος,   παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
παλαιγενεῖς δὲ μοίρας φθίσας,
κἀμοί τε λυπρὸς, καὶ τὸν οὐκ ἐκλύσεται,
ὑπό τε γᾶν φυγὼν,   οὔποτ' ἐλευθεροῦται.
ποτιτρόπαιος δ' ὢν, ἕτερον ἐν κάρᾳ
μιάστορ' ἐκείνου πάσεται.
ἀπ. Ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν.
μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν,
χρυσηλάτου θώμιγγος ἐξορμώμενον,
ἀνῇς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρὸν,

¶Ἔτυψεν] ὡς ἡνίοχος, ἔτυψέ με. ¶Λοβὸν] λοβὸς, μέρος τοῦ ἥπατος. ¶Μαστίκτορος] λείπει τὸ ὡς. ¶Τὸ περίβαρυ] οὐ τὸ παχὺ, ἀλλὰ περισσῶς βαρύ. ¶Κρύος ἔχειν] ἡμᾶς φησί. ¶Τὸ πᾶν δίκας πλέον] παρὰ τὸ δίκαιον, τὸ πᾶν ἔχοντες. ¶Θρόνον] τὸν θρόνον οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονολιβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς ὅλον. τὸ δὲ γᾶς ὀμφαλὸν, αὐτὴ τοῦ, τὸ ἐν πυθοῖ. διὰ δὲ τούτων, ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας Ὀρέστου τὸν θεόν. ¶Προσδρακεῖν αἱμάτων] λείπει ὁ ὥστε, ὥστε τὸν ὀφθαλμὸν ἔχειν αἱμάτων ἄγος ἐπαίροντα. ¶Αὐτόκλητος] αὐτὸς αὐτὸν καλέσας ἐπὶ τῷ μιᾶναι τὸν ναόν. ¶Φθίσας] ἡμᾶς, ὅσον ἐπὶ σοί. ¶Ποτιτρόπαιος] προστρόπαιος, ἀντὶ τοῦ ἐναγής. ¶Ἕτερον ἐν κάρᾳ] ὢν ἐναγὴς ἐν τῷ κάρᾳ ὁ αὐτοῦ, ἕτερον μιάστορα λήψεται· καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν. ¶Ἀργηστὴν ὄφιν] σφαγηφόρον ὄφιν εἶπε τὸ βέλος διὰ τὸν ἰόν. ἢ ποιὸν, διὰ τὸ ἐπιρρῶσθαι. τὸ μὲν πρότερον, πρὸς πάσας ὁ λόγος, πρὸς μίαν δὲ ἑκάστην νῦν. ¶Θώμιγγος] νευρᾶς. ¶Ἀνθρώπων ἀφρὸν] τὸ αἷμα μέλανα ἀφρὸν εἶπεν· οὐ δήπου τὸ ἔμφυτον αὐτῶν (ἀναίμονες γάρ εἰσιν οἱ θεοί) ἀλλὰ τὸ ἀπ' ἀνθρώπων ἠθροισμένον ὡς τούτῳ τροφῇ χρωμένων αὐτῶν.

ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.
οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει·
ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμώρυχοι
δίκαι, σφαγαί τε, σπέρματός τ' ἀποφθοραὶ
παίδων, κακοῦ τε χλοῦνις ἠδ' ἀκρωνία.
λευσμόν τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν,
ὑπὸ ῥάχιν παγέντες. ἆρ' ἀκούετε,
οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς
στέργηθρ' ἔχουσαι. πᾶς δ' ὑφηγεῖται τρόπος
μορφῆς. λέοντος ἄντρον αἱματορρόφου
οἰκεῖν τοιαύτας εἰκός, οὐ χρηστηρίοις
ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος.
χωρεῖτ' ἄνευ βοτῆρος αἰπολούμεναι·
ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν.
εὐ. Ἄναξ ἄπολλον, ἀντάκουσον ἐν μέρει,
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλῃ,
ἀλλ' εἷς τὸ πᾶν ἔπραξας, ὡς παναίτιος.
ἀπ. Πῶς δή; τοσοῦτο μῆκος ἔκτεινον λόγου.
εὐ. Ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν.
ἀπ. Ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι τί μήν.
εὐ. Κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου.
ἀπ. Καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμοις.
εὐ. Καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς

¶Θρόμβους] τὰς πήξεις τοῦ αἵματος. ¶Καρανιστῆρες] αἱ ἀποκεφαλίζουσαι. ¶Χλοῦνις] ἡ ἀκμαία ἀποκοπή, παρὰ τὴν χλόην. ἢ ἐπεὶ χλούνης ὁ σῦς· κάπροι δὲ συνεχῶς ἀποσχίζονται· διὰ τοῦτο τὴν ἀποκοπὴν συϊκὴν εἶπεν, ἐκ ἀνθρωπίνην. ¶Ἀκρωνία] ἀκρωτηρίων μορίων. ¶Λευσμόν] κακῶν ἄθροισις ἢ λιθοβολίαι. Ἡρωδιανὸς δὲ τὸ σύστημα καὶ ἄθροισμα. ¶Ὑπὸ ῥάχιν] ἔνθα ἀνασκολοπίζονται. ¶Ἑορτῆς] εἰρωνικῶς, αἰτία τῆς διατριβῆς. ¶Τρόπος μορφῆς] ἀντὶ τοῦ, διὰ τῆς μορφῆς ὑμῶν ἡ κακία τῶν τρόπων ὑμῶν διαδείκνυται. ¶Τρίβεσθαι μύσος] προστρίβεσθαι. ¶Ἄνευ βοτῆρος] μόναι ὡς αἱ νεμέθρεια. ¶Αὐτὸς σὺ τούτων] ἐκ ἐπικοινωνῶν τῇ αἰτίᾳ, ἀλλὰ τοῦ παντὸς σὺ αἴτιος. ¶Ἔχρησας] ὥστε δέξασθαι τὸν φονέα. ¶Τὰς προπομποὺς] ἢ θηκεύσαντο, τὰς διωκτείας προπομποὺς εἰποῦσα.

ἀπ. Οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν.
εὐ. Ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον.
ἀπ. Τίς ἥδε τιμὴ, κόμπασον γέρας καλόν.
εὐ. Τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.
ἀπ. Τί γὰρ γυναικὸς ἥτις ἄνδρα νοσφίσῃ; ¶ Τί γὰρ γυναικὸς] τί προστέταχθε ποιεῖτε ἐπὶ ἀνδροφόνοις γυναιξί
εὐ. Οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος. ¶ Αὐθέντης] ὁ τοῦ Ἀγαμέμνονος φόνος οὐκ ἂν αὐθέντης, ὁ ὅμαιμος.
ἀπ. Η κάρτ' ἄτιμα, καὶ παρ' οὐδὲν ἠρκέσω
Ἥρας τελείας καὶ Διὸς πιστώματα.
κύπρις δ' ἄτιμος τῷδ' ἀπέρριπται λόγῳ,
ὅθεν βροτοῖσι γίνεται τὰ φίλτατα.
εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη,
ὅρκου τὲ μείζων τῇ δίκῃ φρουρουμένη.
ἢ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς,
τὸ μὴ γενέσθαι, μηδ' ἐποπτεύειν κότῳ.
οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν.
τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην,
τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν. ¶ Ἡσυχαιτέραν] ἡσυχωτέραν.
δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.
εὐ. Τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λείπω ποτέ.
ἀπ. Σὺ δ' οὖν δίωκε καὶ πόνον πλέον τίθου.
εὐ. Τιμὰς σὺ μὴ συντέμνε τὰς ἐμὰς λόγῳ.
ἀπ. Οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν.
εὐ. Μέγας γὰρ ἔμπας πὰρ Διὸς θρόνοις λέγῃ.
ἐγὼ δ' (ἄγει γὰρ αἷμα μητρῷον δίκας) ¶ Αἷμα μητρῷον] ἡ δίκη τοῦ μητρῴου αἵματος
μέτειμι τόνδε φῶτα καὶ κυνηγέτις.
ἀπ. Ἐγὼ δ' ἀρήξω, τὸν ἱκέτην τε ῥύσομαι.
δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει
τοῦ προστροπαίου μῆνις, εἰ προδῶ σφ' ἑκών. ¶ Μῆνις] μή τι τὶ θεῶν μήνιμα γένωμαι.
ὀρ. Ἄνασσ' Ἀθάνα, Λοξίου κελεύσμασιν
ἥκω, δέχου δὲ πρευμενῶς ἀλάστορα,

οὐ προστρόπαιον, οὐδ' ἀφοίβαντον χέρα,
ἀλλ' ἀμβλὺν ἤδη, προστετριμμένον τε πρὸς
ἄλλοισιν οἴκοις καὶ πορεύμασι βροτῶν,
ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν.
σῴζων ἐφετμὰς Λοξίου χρηστηρίους
πρόσειμι δῶμα καὶ βρέτας τὸ σὸν θεά·
αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.
Χο. Εἶεν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ·
ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς.
τετραυματισμένον γὰρ ὡς κύων νεβρὸν,
πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν.
πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ
σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,
ὑπέρ τε πόντον ἀπτέροις πωτήμασιν
ἦλθον διώκουσ' οὐδὲν ὑστέρα νεώς·
καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που καταπτακώς.
ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ.
ὅρα, ὅρα μάλ' αὖ, λεύσσετε πάντα·
μὴ λάθῃ φύγδα βὰς ὁ ματροφόνος ἀτίτας·
ὅδ' αὖτέ γ' οὖν ἀλκὰν ἔχων, περὶ βρέτει
πλεχθεὶς θεᾶς ἀμβρότου, ὑπόδικος θέλει γενέσθαι χερῶν·
τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷον χαμαὶ,

¶Προστρόπαιον] ἀκάθαρτον. ¶Προστετριμμένον] κατ' αὐτῶν ἐπελθόντα. ¶Ἀλλοισιν οἴκοις] ἄλλοις προστετριψάμενον τὸ μύσος. ¶Φραδαῖς] ταῖς ἐννοίαις ¶Τετραυματισμένον] ὡς αὐτὸ σχῆμα αἵματος ὄντος Ὀρέστου, καὶ μιαίνοντος τὴν γῆν ἧς ἐφάπτεται. τὸ μὲν ἀπορρεῖν τὸ αἷμα, παραδοξολογίας ἐστὶ τραγικῆς· ὅρα δὲ μὴ ἐκβαίνῃ τὴν πίστιν, ὁ ἀπὸ ἄργους εἰς δελφοὺς ὤχετο, εἶτα ἐκεῖθεν εἰς ἀθήνας, καὶ ἔτι αἷμα στάζων ἀπὸ τοῦ ξίφους. φαντασία οὖν ἀμήχανος. ἀλλὰ καὶ συγκέχυται τῇ παραδοξολογίᾳ. ¶Ἀνδροκμῆσι] μεγαλοκμῆσιν. ¶Σπλάγχνον] τὸ ἡμέτερον. ¶Ἀπτέροις] ὅτι μὴ πτερωτὰς εἰσήγαγεν αὐτάς. ¶Καταπτακὼς] καταπτήξας πρὸς τῷ ἀγάλματι. ¶Προσγελᾷ] προσσαίνει. ¶Ὅρα ὅρα] τὸ αὐτὸ πρόσωπόν ἐστι. ¶Ἀτίτας] ἀτιμώρητος. ¶Πλεχθεὶς θεᾶς] ἀνθ' ὧν ἡμῖν χρεωστεῖ, περίσφυξ θέλει γενέσθαι τῆς θεοῦ. ¶Οὐ πάρεστιν] οὐ πάρεστιν αὐτὸ νικῆσαι ἡμᾶς.

δυσαγκόμιστον, παπαῖ·
τὸ διερὸν πέδῳ κεχυμένον οἴχεται.
ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν
ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ
βοσκὰν φεροίμαν πώματος δυσπότου·
καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω.
ἀντιποίνους τίνῃς ματροφόνας δύας·
ὄψει δ' ἐκεῖ τις ἄλλον ἤλιτεν βροτῶν,
ἢ θεὸν, ἢ ξένον, τιν' ἀσεβῶν, ἢ τοκέας φίλους,
ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια.
μέγας γὰρ ἅδης ἐστὶν εὔθυνος βροτῶν,
ἔνερθε χθονός· δελτογράφῳ δὲ πάντ' ἐπωπᾷ φρενί.
ὀρ. Ἐγὼ, διδαχθεὶς ἐν κακοῖς, ἐπίσταμαι
πολλοὺς καθαρμοὺς, καὶ λέγειν ὅπου δίκη,
σιγᾷν θ' ὁμοίως· ἐν δὲ τῷδε πράγματι
φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου·
βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερὸς,
μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει.
ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ
Φοίβου, καθαρμοῖς ἠλάθη χοιροκτόνοις.
πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος,
ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίᾳ.

¶Δυσαγκόμιστον] τὸ ἅπαξ χυθὲν αἷμα, δυσίατον. ¶Τὸ διερὸν] τὸ διερὸν ἐκκεχυμένον εἰς τὴν γῆν, δυσαγκόμιστον. τοιοῦτο οὖν καὶ τὸ αἷμα. Ἄλλως. διερὸν, τὸ βρέξαν τὴν γῆν. ¶Ῥοφεῖν] καταπίνειν. ¶Πέλανον] θρόμβον αἵματος. ¶Εὔθυνος] δικαστής. ¶Δελτογράφῳ] ἐφορᾷ δὲ πάντα, ἀναγραφόμενος αὐτὰ τῇ ἰδίᾳ δέλτῳ. ¶Ἐγὼ διδαχθεὶς] διδαχθεὶς πολλοὺς καθαρμούς. ὅ ἐστι, τηλικαῦτα ἀτυχήσας, ὡς πολλῶν εἰδέναι καθαρμῶν. Ἄλλως. οἱ ἐναγεῖς οὔτε ἐν ἱεροῖς προσῄεσαν, οὔτε προσεβλέποντο, οὐδὲ διελέγοντο τινί. καὶ παρ' Εὐριπίδῃ, Τί σιγᾷς; μὴ φόνον τιν' εἰργάσω; ἐπεὶ Ὀρέστης μέλλει διαλέγεσθαι, δηλοῖ ὅτι ἐναγής ἐστι. ἐγὼ, φησὶ, διδαχθεὶς ὑπὸ κακῶν τῶν ἐμαυτοῦ, ἐν οἷς διδασκάλοις χρησάμενος ταῖς ἐμαῖς συμφοραῖς, ἐπίσταμαι καὶ σιγᾷν καὶ λαλεῖν ὅπου δεῖ, ἑκατέρου καιρὸν γινώσκων. ¶Βρίζει] κοιμᾶται. ¶Ἔκπλυτον] ἐκκεκαθαρμένον. ¶Ἀβλαβεῖ ξυνουσίᾳ] ἐβλάπτοντο γὰρ οἱ μυσαροὶ ξυντυγχάνοντες.

χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.
καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ
χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν, ἐμοὶ
μολεῖν ἀρωγόν· κτήσεται δ' ἄνευ δορὸς
αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν,
πιστὸν δικαίως ἐς τὸ πᾶν τε σύμμαχον.
ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικοῖς,
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου,
τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα,
φίλοις ἀρήγουσ', εἴτε φλεγραίαν πλάκα,
θρασὺς ταγοῦχος ὡς ἀνὴρ, ἐπισκοπεῖ·
ἔλθοι (κλύει δὲ καὶ πρόσωθεν ὢν θεὸς)
ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.
χο. Οὔτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος
ῥύσαιτ' ἂν, ὥστε μὴ οὐ παρημελημένον
ἔρρειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,
ἀναίματον βόσκημα δαιμόνων σκιά.
οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους,
ἐμοὶ τραφείς τε καὶ καθιερωμένος.
ἀπ. Καὶ ζῶν με δαίσεις, οὐδὲ πρὸς βωμῷ σφαγείς·
ὕμνον δ' ἀκούσῃ τόνδε δέσμιον σέθεν.
χο. Ἄγε δὴ καὶ χορὸν ἅψωμεν, ἐπεὶ μοῦσαν στυγερὰν
ἀποφαίνεσθαι δεδόκηκε, λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους

¶Αὐτόν τε] λεών τε ἐμόν. ¶Καὶ τὸν ἀργεῖον λεὼν] ὡς τότε συμμαχούντων ἀργείων ἀθηναίοις. ¶Τρίτωνος] ὅτι ἐκεῖ τοῦτο οἴεται αὐτὴν γεγεννῆσθαι. ¶Θρασὺς ταγοῦχος] ὡς θρασὺς ἡγεμών. ἁρμόττουσα δὲ ἡ ἀρχή· δεῖται γὰρ ἰσχυροῦ βοηθοῦ. ¶Ὅπως γένοιτο] τὸ ἑξῆς, ἔλθοι, ὅπως γένοιτο. ¶Ἀναίματον] ὁ μηδὲ αἷμα ἔχων ἐξ ἡμῶν, ἀλλὰ γενησόμενος σκιά· ῥοφησομένων γὰρ σου τὸ αἷμα. ἢ ἀναίματον, ἀντὶ τοῦ, ζῶντα σε νεκρὸν ποιήσομεν. ¶Οὐδ' ἀντιφωνεῖς] οὐκ ἀποκρίνῃ· ἢ, ἀντὶ τοῦ, οὐδὲ ἀντιφωνήσεις μοι. ἀλλὰ καὶ βουλομένου λαλεῖν, τὸ φθέγμα σου δεδήσεται. ¶Μοῦσαν στυγερὰν] ὡς ἐπὶ νεκρῷ. ¶Λάχη] τοὺς κλήρους ἡμῶν. ἀπὸ κοινοῦ δὲ τὸ δεδόκηκε. δεδόκηκεν ἡμῖν λέξαι τίνα ἔχομεν τὰ κατ' ἀνθρώπους λάχη ἐφορεύομεν.

ὡς ἐπινωμᾷ στάσις ἅμα. εὐθυδίκαιοι θ' ἡδόμεθ' εἶναι.
τοὺς μὲν καθαρὰς χεῖρας προσνέμοντας
οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει,
ἀσινὴς δ' αἰῶνα διοιχνεῖ·
ὅστις δ' ἀλιτρῶν, ὥσπερ ὅδ' ἀνὴρ,
χεῖρας φονίας ἐπικρύπτει, μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσι
παραγινόμεναι, πράκτορες αἵματος
αὐτῷ τελέως ἐφάνημεν. μᾶτερ ἅ μ' ἔτικτες, ὦ μᾶτερ
Νὺξ ἀλαοῖσι καὶ δεδορκόσι,
ποινάν κλῦθ'. ὁ Λατοῦς γὰρ ἶ- νίς μ' ἄτιμον τίθησι,
τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅ-
γνισμα κύριον φόνου. ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος, παρακοπά, παραφορά, φρενοδαλὶς,
ὕμνος ἐξ ἐριννύων, δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὔων βροτοῖς. τοῦτο γὰρ λάχος διανταία
μοῖρ' ἐπέκλωσεν ἐμπέδως
ἔχειν, θανάτων τοῖσιν αὐτουργίαις
ξυμπέσωσιν μάταιοι, τοῖς ὁμαρτεῖν, ὄφρ' ἂν
γᾶν ὑπέλθῃ· θανὼν δ' οὐκ ἄγαν ἐλεύθερος.
ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος παρακοπά,
παραφορά, φρενοδαλὶς, ὕμνος ἐξ ἐριννύων,

¶Ἐπινωμᾷ στάσις] ἐπισκοπεῖ. στάσις δὲ τὸ σύστημα. ¶Χεῖρας φονίας ἐπ.] τὸν φόνον κρύψαι θέλει. ¶Τοῖσι θανοῦσι] τοῖς ἀναιρεθεῖσι. ¶Μᾶτερ] ἐπεὶ ὑπὲρ τῆς μητρὸς Ὀρέστου ἀγωνίζονται, οἰκείως τὴν μητέρα ἑαυτῶν ὀνομάζουσι. ¶Καὶ δεδορκόσι] ζῶσι καὶ θανοῦσιν ἔκδικον. ¶Ματρῷον ἅγνισμα] τὸν τῷ ἰδίῳ θανάτῳ ἀφαγνιοῦντα τὸν φόνον τῆς μητρός. ἅγνισμα δὲ πως εὐφήμως τὸ μόλυσμα. ¶Φρενοδαλὶς] παρακίνησις τῶν φρενῶν. ¶Ὕμνος ἐξ] ἐπὶ Ὀρέστῃ δὲ μέλλοντι θύεσθαι, λεχθήσεται ὕμνος ἐξ ἡμῶν, ὡς ἐπὶ ἱερείῳ. παρακοπά, ἤγουν ὃς αὐτοῦ τὰς φρένας παρακόψει. ¶Δέσμιος φρενῶν] ὁ δεσμεύων αὐτοῦ τὰς φρένας. ¶Ἀφόρμικτος] οὐ γὰρ σὺν ὀργανικοῖς μουσικοῖς γίνεται οὗτος ὁ ὕμνος. ¶Αὔων βροτοῖς] ὁ ξηραίνων τοὺς βροτούς. ¶Διανταία] ἡ διαμπὰξ τιμωρουμένη. ¶Αὐτουργίαις] αὐτοφονίαις. ¶Τοῖς ὁμαρτεῖν] τούτοις ἡμᾶς ἀκολουθεῖν, ἕως ἀποθάνῃ ὁ τοιοῦτος. ¶Θανὼν] λείπει τὸ γίνεται ἵνα ᾖ, οὐκ ἐλεύθερος γίνεται, ἀλλὰ πάλιν κολάζεται. ¶Ἐπὶ δὲ τῷ] ἐφύμνιον αὐτῷ χεῖται. λέγεται δὲ καὶ μεσόφθεγμα.

δέσμιος φρενῶν ἀφόρμικτος, αὔων βροτοῖς.
γιγνομέναισι 'λάχη τάδ' ἐφ' ἁμῖν ἐκράνθη·
'ἀθανάτων δ' ἀπέχειν χέρας, οὐδέ τις ἐστὶ
συνδαίτωρ μετάκοινος. 'παλλεύκων δὲ πέπλων
ἄμοιρος ἄκληρος ἐτύχθην. δωμάτων γὰρ εἱλόμαν
ἀνατροπὰς, ὅταν ἄρης 'τίθασος ὢν φίλον ἕλῃ·
ἐπὶ τὸν, ὦ, διόμεναι κρατερὸν ὄνθ', ὁμοίως
μαυροῦμεν ὑφ' 'αἵματος νέου. σπευδόμεναι δ' ἀφελεῖν
τινὰ τάσδε μερίμνας· θεῶν δ' ἀτέλειαν 'ἐμαῖ-
σι λιταῖς ἐπικραίνειν, μηδ' ἐπ' ἄκροισιν ἐλθεῖν.
Ζεὺς γὰρ αἱματοσταγὲς 'ἀξιόμισον ἔθνος τόδε, λέσχας
ἇς ἀπηξιώσατο· δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι
σεμναὶ τακόμεναι 'κατὰ γᾶν μινύθουσιν ἄτιμοι
ἡμετέραις ἐφόδοις μελανείμοσιν,
ὀρχησμοῖς τ' ἐπιφθόνοις ποδός.
μάλα γὰρ οὖν ἁλομένα ἄνκαθεν βαρυπετῆ
καταφέρω ποδὸς ἀκμὰν, σφαλερὰ 'τανυδρόμοις
κῶλα δύσφορον ἄταν.
'πίπτων δ' οὐκ οἶδε τόδ' ὑπ' ἄφρονι
λύμᾳ. τοῖον γὰρ ἐπὶ 'κνέφας ἀνδρὶ μύσος πεπόταται,
καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος
αὐδᾶται 'πολύστονος φάτις.

¶Λάχη] γέρα. ¶Ἀθανάτων δ' ἀπέχειν] μὴ πλησιάζειν ἡμᾶς τοῖς θεοῖς. ¶Παλλεύκων] οὐδαμοῦ ὅπου ἑορτὴ καὶ ἀμπεχόνη καθαρὰ, πάρειμι. ¶Ὅταν ἄρης] ὅταν τὶς ἐχθρὸς συγγενὴς ὢν τὸν συγγενῆ φονεύσῃ. ¶Τίθασος] οἰκεῖος φίλος. ¶Ἐπὶ τὸν ὦ] διὰ μέσου τὸ ὦ. ¶Αἵματος νέου] διὰ τὸ νέον αἷμα τοῦ νεωστὶ εἰργασμένου. ¶Ἐμαῖσι λιταῖς] εὔχομαι τοῖς θεοῖς τελέσαι μου τὸ βούλημα, καὶ μὴ εἰς μάχην μοι ἐλθεῖν. ¶Ἔθνος τόδε] τὸ τῶν φονέων. ¶Κατὰ γᾶν μινύθουσι] καὶ τοὺς ὑψηλοὺς καθαιροῦμεν. ¶Τανυδρόμοις] τοῖς ταχυδρόμοις αὐτῶν κώλοις ἐπάγουσα τὰ σφαλερά μου κῶλα. ἢ ἀπ' ἄλλης ἀρχῆς, καὶ τοῖς τανυδρόμοις γίνεται σφαλερὰ τὰ κῶλα, διὰ τὴν ἐπιοῦσαν αὐτοῖς ἄτην δύσφορον ὑπ' ἐμοῦ. ἤγουν, καὶ ταχύδρομοι οὐ δύνανταί με ἐκφυγεῖν. ¶Πίπτων δ' οὐκ οἶδε] παραφρονῶν γὰρ οὐκ αἰσθάνεται τοῦ κακοῦ. ¶Κνέφας] σκότος φρενῶν. τὸ μύσος κνέφας εἴρηκε. ¶Πολύστονος φάτις] κακὴ δὲ φήμη περὶ τοῦ οἴκου αὐτοῦ λέγεται.

μένει γάρ. εὐμήχανοι δὲ καὶ τέλειοι, κακῶν
τε μνήμονες σεμναὶ, καὶ δυσπαρήγοροι βροτοῖς
ἄτιμ' ἀτίεται διόμεναι λάχη θεῶν διχοστατοῦν-
τ' ἀνηλίῳ λάμψαι, δυσοδοπαίπαλα
δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς.
τίς οὖν τάδ' οὐχ ἅζεταί τε καὶ δέδοικε βροτῶν,
ἐμοῦ κλύων θεσμὸν τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἔπι δέ μοι γέρας παλαιὸν, οὐ-
δ' ἀτιμίας κυρῶ, καίπερ ὑπὸ χθόνα
τάξιν ἔχουσα, καὶ δυσήλιον κνέφας.

ἀθ. Πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν,
ἀπὸ Σκαμάνδρου τὴν καταφθατουμένην,
ἣν δῆτ' ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοὶ,
ἐξαίρετον δώρημα Θησέως τόκοις·
ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος,
πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον·
καὶ νῦν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς,
ταρβῶ μὲν οὐδὲν, θαῦμα δ' ὄμμασιν πάρα,
τίνες ποτ' ἐστέ· πᾶσι δ' ἐς κοινὸν λέγω·

¶Εὐμήχανοι] λείπει τὸ ἐσμέν. ἡμεῖς γὰρ εὐμήχανοι ἐσμὲν, ἐπιτελεστικαί, καὶ τῶν κακῶν μνήμονες. ¶Δυσπαρήγοροι] οὐ ταχέως παρηγορούμεναι ὑπὸ βροτῶν. ¶Λάχη θεῶν] ἀφωρισμένα τῶν θεῶν τῇ προσούσῃ αὐτῆς σκότει. Ἄλλως. μετερχόμεναι λάχη, ὑφ' οὗ τιμώμεθα ὑπὸ θεῶν. ¶Δυσοδοπαίπαλα] δυσπαράβατα καὶ τραχέα ζῶσι καὶ τοῖς θνήσκουσι. ¶Τὸν μοιρόκραντον] τὸν ὑπὸ μοιρῶν καὶ θεῶν τετελεσμένον. ¶Ἔπι δέ μοι] ἔπεστι. ¶Πρόσωθεν ἐξήκουσα] ἐπὶ ὀχήματος ἔρχεται. ¶Ἀπὸ Σκαμάνδρου] μιτυληναῖοι ἐμάχοντο πρὸς ἀθηναίους περὶ πόλεως σιγείου. ἔδοξεν οὖν μονομαχίᾳ λῦσαι τὸν πόλεμον· καὶ ὑπὲρ μὲν μιτυληναίων ἐπολέμει Πιττακὸς, ὑπὲρ δὲ ἀθηναίων, Φρύνων. ἡττηθέντος δὲ Φρύνωνος διελύθη τὰ τῆς μάχης. ἔοικεν οὖν παρορμᾶν ἀθηναίους ὁ Αἰσχύλος εἰς τὸ ἀντέχεσθαι πάλιν σιγείου, λέγων τὴν θεὸν ἐκεῖθεν ἐληλυθέναι. ¶Καταφθατουμένην] καταφθάνουσαν. ¶Κόλπον αἰγίδος] ὡς ἁρμένῳ χρωμένη τῇ αἰγίδι.

βρέτας τε τοὐμὸν τῷδ᾽ ἐφημένῳ ξένῳ,
ὑμᾶς θ᾽ ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
οὔτ᾽ ἐν θεαῖσι πρὸς θεῶν ὁρωμένας,
οὔτ᾽ οὖν βροτείοις ἐμφερεῖς μορφώμασι.
λέγειν δ᾽ ἄμορφον ὄντα τοὺς πέλας κακῶς,
πρόσω δικαίων, ἠδ᾽ ἀποστατεῖ θέμις.
χο. Πεύσῃ τὰ πάντα συντόμως Διὸς κόρη.
ἡμεῖς γάρ ἐσμεν νυκτὸς αἰανῆ τέκνα.
Ἀραὶ δ᾽ ἐν οἴκοις γῆς ὕπαι κεκλήμεθα.
αθ. Γένος μὲν οἶδα, κληδόνας τ᾽ ἐπωνύμους.
ευ. Τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσῃ τάχα.
αθ. Μάθοιμ᾽ ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.
ευ. Βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.
αθ. Καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;
ευ. Ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.
αθ. Η καὶ τοιαύτας τῷδ᾽ ἐπιρροιζεῖς φυγάς;
ευ. Φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.
αθ. Ἄλλης ἀνάγκης οὔτινος τρέων κότον;
ευ. Ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν;
αθ. Δυοῖν παρόντοιν, ἥμισυς λόγος πάρα.
ευ. Ἀλλ᾽ ὅρκον οὐ δέξαιτ᾽ ἄν, οὐ δοῦναι θέλει.
αθ. Κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις.
ευ. Πῶς δή, δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένῃ.

¶ Σπαρτῶν γένει] τῶν σπειρομένων. ¶ Ἄμορφον] ἄμορφος οὖσα, οὐ δυνήσῃ με ἐφ᾽ οἷς εἶπον αἰτιάξαι. ¶ Αἰανῆ] σκοτεινά. ἢ θρηνητικά, καὶ αἰάζειν ποιοῦντα. ¶ Ἐπωνύμους] τὰ ἐπώνυμα οἷς καλεῖσθε. ¶ Ὅπου] ἐν τῷ ᾅδῃ. ¶ Ἐπιρροιζεῖ] ἐπιβοᾷς, ἐπιβάλλεις. ¶ Ἄλλης ἀνάγκης] ἐν ἐρωτήσει, μὴ ἐξ ἀνάγκης τοῦτο πεποίηκε. ¶ Δυοῖν παρόντοιν] ὑμῶν μὲν, κατηγορεῖν· ἐκείνου δὲ, ἀπολογεῖσθαι. Μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. Ἄλλως. δυοῖν, σοῦ καὶ Ὀρέστου. ¶ Ἀλλ᾽ ὅρκον οὐ δέξαιτ᾽ ἂν] μὴ προτείνε αὐτοῦ ὅρκον, καὶ διὰ τοῦτο θέλει νικᾶν. οὕτως, φησί, φανερόν ἐστι τὸ κατ᾽ αὐτὸν, ὡς μήτε αὐτὸν δύνασθαι ὀμόσαι ὅτι οὐκ ἔστι τοιοῦτος, μήτε θέλειν ἡμᾶς ὅρκον αἰτῆσαι, εἰ δικαίως αὐτὸν κολάζομεν.

ἀθ. Ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.
εὐ. Ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην.
ἀθ. Ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;
εὐ. Πῶς δ' οὔ; σέβουσαί γ' ἀξίαν τ' ἐπαξίων.
ἀθ. Τί πρὸς τάδ' εἰπεῖν ὦ ξέν' ἐν μέρει θέλεις;
λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
τὰς σάς, ἔπειτα τόνδ' ἀμυναθοῦ ψόγον.
εἴπερ πεποιθὼς τῇ δίκῃ, βρέτας τόδε
ἧσαι φυλάσσων ἑστίας ἀμῆς πέλας,
σεμνὸς προσίκτωρ, ἐν τρόποις Ἰξίονος·
τούτοις ἀμείβου πᾶσιν εὐμαθές τι μοι.
ὀρ. Ἄνασσ' Ἀθάνα πρῶτον ἐκ τῶν ὑστάτων
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχει μύσος,
πρὸς χειρὶ τῇ 'μῇ τὸ σὸν ἐφεζομένη βρέτας.
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα·
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ·
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι, καὶ βοτοῖσι, καὶ ῥυτοῖς πόροις.
ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω·
γένος δὲ τοὐμὸν ὡς ἔχει, πεύσῃ τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον' ἀνδρῶν ναυατῶν ἁρμόστορα.

¶ Ὅρκοις τὰ μὴ δίκαια] οὐκ ὀφείλει ὁ ἀδικῶν ὅρκῳ φυγεῖν τὴν κατηγορίαν. ἐπιορκήσει γάρ. ¶ Ἐπαξίων] ἀξίων οὐσῶν γονέων. ¶ Ψόγον] ἀντὶ τοῦ ἔγκλημα. ¶ Προσίκτωρ] ὃν τρόπον κἀκεῖνος προσεκάθητο τῷ ναῷ τοῦ Διὸς καθαρισθησόμενος. πρῶτος γὰρ Ἰξίων, φόνον ποιήσας, ἐκαθαρίσθη ὑπὸ Διός. ¶ Ἀμείβου] ἀποκρίνου μοι τὸ εὔγνωστον. ¶ Προστρόπαιος] ἐναγής. ¶ Παλαμναῖον] φονέα. ¶ Οἴκοισι] καὶ εἰς οἴκους εἰσελθὼν καὶ ὑδάτων μετέλαβον. ¶ Φροντίδα] τὴν τοῦ μύσους. ¶ Ἁρμόστορα] διάκτορα, βασιλέα.

ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. οὗτος ἔφθιτ' οὐ καλῶς, μολὼν
ἐς οἶκον· ἀλλά νιν κελαινόφρων ἐμὴ
μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασι
κρύψασα, λουτρῶν ἐξεμαρτύρει φόνον.
κἀγὼ κατελθὼν, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ,
εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους.
σὺ δ', εἰ δικαίως, εἴτε μὴ, κρῖνον δίκην·
πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω.
Αθ. Τὸ πρᾶγμα μεῖζον εἴ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνους διαιρεῖν ὀξυμηνίτου δίκας·
ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις·
ὅμως δ' ἄμομφον ὄντα σ' αἱροῦμαι πόλει.
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου, (ἰὸς νόσος.
χωροῖεν αὖθις ἰὸς ἐκ φρονημάτων πέδῳ πεσὼν ἄφερτος αἰα-

¶Ξὺν ᾧ σὺ] διὰ τούτων φιλοποιεῖται τὴν θεόν. ¶Κελαινόφρων] δολιόφρων. ¶Ποικίλοις ἀγρεύμασι] τῷ πέπλῳ. ¶Λουτρῶν ἐξεμαρτύρει] ἐκήρυξε τὸν διὰ τῆς ἐπιχύσεως τῶν λουτρῶν γενόμενον αὐτοῦ φόνον. λέγεται γὰρ, μετὰ τὸ φονεῦσαι, γυμνὸν ἐξαγαγεῖν καὶ δεῖξαι τοῖς πολίταις. ¶Καὶ τῶνδε κοινῇ] πάντων. τοῦτο δὲ πρὸς τὸ, Ἄλλης ἀπ' ἄλλης οὔτινος τρίβων κότον; ¶Τάδ' αἰνέσω] τὰ κατὰ τὴν σὴν κρίσιν ἀποβαίνοντα, ὁποῖα ἂν ᾖ, ἐπαινέσω. ¶Εἴ τις οἴεται] εἴ τις οἴεται τὸ πρᾶγμα τόδε βροτὸς δικάζειν, μεῖζον ὂν κατὰ ἀνθρώπους οἴεται. ἐμοὶ δὲ περὶ φόνων δικάζειν, οὐχ ὅσιον. ¶Ὀξυμηνίτου δίκας] φόνους ἐφ' οἷς ταχέως μηνίουσιν Ἐριννύες. ¶Κατηρτυκὼς] τέλειος τὴν ἡλικίαν. τοῦτο δὲ ἀπὸ τῶν ζώων. ¶Ἀβλαβὴς δόμοις] διὰ τούτου ἐλπίδας αὐτοῦ χρηστὰς ὑποτίθησιν. ¶Αἱροῦμαι πόλει] δέχομαι ἐν τῇ πόλει. ¶Οὐκ εὐπέμπελον] ἀπαραίτητον, ἄχρηστον, ἀάρεστον. δυσάρεστοι φύσει εἰσὶν αὗται. ¶Τυχοῦσαι] ἀντὶ τοῦ τυχουσῶν.

τοιαῦτα μὲν τάδ' ἐστὶν· ἀμφότερα μένειν,
πέμπειν δὲ δυσπήματ' ἀμηχάνως ἐμοί.
ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε,
φόνων δικαστὰς ὁρκίων αἱρουμένους,
θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον.
ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
καλεῖσθ' ἀρωγὰ τῆς δίκης ὁρκώματα.
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
ἥξω, διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως·
ὅρκον περῶντας μηδὲν ἔκδικον φρεσίν.
χο. Νῦν καταστροφαὶ νέων θεσμίων, εἰ κρα-
τεῖ δίκα καὶ βλάβα τοῦδε μητροκτόνου,
πάντας ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμόσει βροτούς,
πολλὰ δ' ἔτυμα παιδότρωτα πάθεα προσμένει τοκεῦ-
σι, μετά τ' αὖθις ἐν χρόνῳ. οὔτε γὰρ βροτοσκόπων
μαινάδων τῶνδ' ἐφέρ- ψει κότος τις ἐργμάτων.
πάντ' ἐφήσω μόρον. πεύσεται δ' ἄλλος ἄλλοθεν,
προφωνῶν τὰ τῶν πέλας κακὰ
λῆξιν ὑπόδοσίν τε μόχθων. οὐκέτ' οὐ βέβαια· τλά-
μων δέ τις μάταν παρηγορεῖ. μηδέ τις κικλησκέτω
ξυμφορᾷ τετυμμένος, τοῦτ' ἔπος θροούμενος,

¶Πέμπειν δὲ] πέμπειν αὐτὰς ἀμηνίτως, δυσχερές ἐστιν ἐμοί. ¶Ἐπέσκηψεν τόδε] ὡς σκηπτὸς ἐπῆλθεν. ¶Φόνων δικαστὰς] ἀλλ' ἐνόρκους δικαστὰς ἐγὼ θήσω. ¶Ἐγὼ θήσω χρόνον] διετέλεσε γὰρ τὸ ἀρειοπαγητικὸν συνέδριον. ¶Ὑμεῖς δὲ μαρτ.] ὑμεῖς δὲ ὅρκους αὐτὸν αἰτήσατε. ¶Τῶν ἐμῶν τὰ βέλτατα] τὰ βέλτιστα. ¶Ὅρκον περῶντας] ὅρκον διδόντας. ¶Νῦν καταστροφαὶ] αἱ θεῖαι ἀπῆλθεν ἂν τρεπῶσιν δικασταί. ὁ δὲ Ὀρέστης ἀπολυθείη μέν. αἱ δὲ Ἐρινύες φρουροῦσιν αὐτόν. μέλλουσι δὲ οἰκεῖοι ἀδικεῖσθαι τῇ ἑαυτῶν προαιρέσει. ¶Ἤδη τόδ' ἔργον] τὸ μητροκτονεῖν. ¶Βροτοσκόπων] τῶν τοὺς βροτοὺς σκοπουσῶν. ¶Μαινάδων] ἡμῶν δηλονότι. ¶Πάντ' ἐφήσω μόρον] οὐκέτι τινὰ μὲν ἐννόμως ἡγήσομαι μόρον, τινὰ δὲ οὔ· ἀλλὰ πάντα ἐφήσω μόρον, ὅπως τις βούλεται ἀναιρεῖν. οὐ τιμωρήσω τοῖς ἀδικουμένοις, ἀλλὰ συγχωρήσω ἀλλήλους ἀναιρεῖν. ¶Πεύσεται δ' ἄλλος] ἀεὶ τὰ ἀλλήλων ἀκούσονται, καὶ οὐ γίνεται κακῶν ἀνάπαυσις. ¶Ὑπόδοσιν] διαδοχήν. ¶Μάταν παρηγορεῖ] παθὼν δέ τις, μάτην ἑαυτὸν παραμυθεῖται τῇ εἰς ἡμᾶς ἐλπίδι. ἤ, ἕκαστος δὲ τῶν φονέων παρηγορηθήσεται. τλήμων γὰρ ὁ ἀναιδής. ὅτι ὧδε τλήμων. ¶Κικλησκέτω] ἡμᾶς δηλονότι. ¶Θροούμενος] βοῶν.

ἰὼ δίκα, ἰὼ, θρόνοι τ' ἐρινύων·
ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς
οἶκτον οἰκτίσαιτ' ἐπει- δὴ πιτνεῖ δόμος δίκας·
ἔσθ' ὅπου τὸ δεινὸν εὖ καὶ φρενῶν ἐπίσκοπον
δεῖ μένειν καθήμενον. ξυμφέρει
σωφρονεῖν ὑπὸ στένει· τίς δὲ μηδὲν ἐν φάει
καρδίαν ἀνατρέφων, ἢ πόλις βροτός θ' ὁμοί-
ως ἔτ' ἂν σέβοι δίκαν; μήτ' ἄναρκτον βίον,
μήτε δεσποτούμενον αἰνέσῃς.
ἄπαντι μέσῳ τὸ κράτος θεὸς ὤπασεν, ἄλλα
ἄλλα δ' ἐφορεύει· ξύμμετρον δ' ἔπος λέγω,
δυσσεβείας μὲν ὕβρις τέκος ὡς ἐτύμως·
ἐκ δ' ὑγιείας φρενῶν, ὁ πᾶσι φίλος καὶ
πολύευκτος ὄλβος. ἐς τὸ πᾶν δέ τοι λέγω,
βωμὸν αἴδεσαι δίκας· μηδέ νιν,
κέρδος ἰδὼν, ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς.
ποινὰ γὰρ ἐπέσται, κύριον μένει τέλος.
πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων,
καὶ ξενοτίμους δωμάτων ἐπιστροφὰς αἰ-
δόμενός τις ἔστω. ἐκ τῶνδ' ἀνάγκας ἄτερ,
δίκαιος ὢν, οὐκ ἄνολβος ἔσται·
πανώλεθρος οὔ ποτ' ἂν γένοιτο.

¶Ταῦτά τις] ἀναιρούμενος πατὴρ ἢ μήτηρ ὑπὸ παιδός. ¶Πιτνεῖ δόμος δίκας] ἐπειδὴ γὰρ ὄλωλε τὸ δίκαιον. ¶Τὸ δεινὸν] οὐ πανταχῆ τὸ δεινὸν ἀπεῖναι φρενῶν δεῖ. ¶Σωφρονεῖν] ὥστε καθήμενον ὑπὸ στένει σωφρονεῖν. ὡς εἰ ἔλεγεν, ὑπὸ τῷ δέει. ἔστι δὲ ἀντὶ ἀθείας τὸ στένος. ¶Ἐν φάει] λαμπρότητι καὶ ὀρθότητι φρενῶν. ¶Μήτε δεσποτούμενον] ἀλλὰ τῆς μέσης αὐτῶν ἐφαπτόμενον. παρόσον οἱ μὲν πάντα πᾶσι τυραννούμενοι, κακῶς βιοῦσιν· οἱ δὲ ἄναρχοι, πονηρῶς. ¶Ἄλλα] ἄλλα ἄλλως ἐφορᾷ ὁ θεός· ἔσθ' ὅπη δέοις. ¶Ξύμμετρον] σύντομον. ¶Τέκος] ὕβρεις γεννῶνται. οἱ γὰρ ἀρξάμενοι τοῦ θείου καταφρονεῖν, ὑβρίζουσι τοὺς ἀνθρώπους. ¶Ἐκ δ' ὑγιείας] ἐκ τοῦ ὀρθὰς ἔχειν φρένας. νόσον δὲ φρενῶν, τὴν δυσσέβειαν φησίν· ὑγιείας δὲ, ἐξ ἧς ἂν εἴη ἡ τιμή· ἐξ ἐκείνης δὲ, ὕβρεις. ¶Ἐς τὸ πᾶν] καθολικῶς λέγω τὸ ἐπιφερόμενον. ¶Μηδέ νιν] τὴν δίκην. ¶Ἀνάγκας ἄτερ] ὁ χωρὶς ἀνάγκης δίκαιος ὤν.

Τὸν ἀντίτολμον δέ φαμι παραιβάδαν,
τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης,
βιαίως ξὺν χρόνῳ καθήσειν,
λαῖφος ὅτ' ἂν λάβῃ πόνος θραυομένας κεραίας·
καλεῖ δ' ἀκούοντας οὐ- δὲν· μέσᾳ δυσπαλεῖ τε δίνᾳ·
γελᾷ δ' ὁ δαίμων ἐπ' ἀνδρὶ θερμουργῷ,
τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις
δύαις λέπαδνον οὐδ' ὑπερθέοντ' ἄκραν·
δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον ἕρματι προσβαλὼν δίκας.
ὤλετ' ἄκλαυστος ἄϊστος.

ἀθ. Κήρυσσε κῆρυξ, καὶ στρατὸν κατειργάθου.
ἥ τ' οὖν διάτορος Τυρσηνική
σάλπιγξ, βροτείου πνεύματος πληρουμένη,
ὑπέρτονον γήρυμα φαρέτω στρατῷ.
πληρουμένου γὰρ τοῦδε βουλευτηρίου,
σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμούς,
πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον·
καὶ τῶνδ' ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.

χο. Ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει.
τί τοῦδέ σοι μέτεστι πράγματος, λέγε.

¶Τὸν ἀντίτ.] τὸν τὰ ἐναντία τοῖς εἰρημένοις τολμῶντα. ἀντὶ τοῦ τὸν ἄδικον. ¶Παραιβ.] παραβεβηκότα. ¶Παντόφυρτα] πάντοθεν συμπεφυρμένα. ¶Καθήσειν] ἀπὸ τῶν χειμαζομένων, ἐκ μεταφορᾶς. ἀντὶ τοῦ ταπεινωθήσεσθαι. ¶Πόνος] ἀτυχία. ¶Ἀκούοντας οὐδὲν] τοὺς θεούς. ¶Γελᾷ] γελᾷ, φησὶν, ὁ δαίμων ἐπὶ τῷ ἀδίκως πράττοντι· τὸν μηδέποτε προσδοκήσαντα τιμωρεῖσθαι, ἰδὼν ἐν μέσῃ τῇ δύῃ ὑπεζευγμένον καὶ χαλινωθέντα. τοῦτο γὰρ δηλοῖ τὸ λέπαδνον. ¶Τὸν πρὶν ὄλβον] τὸν πολυχρόνιον ὄλβον ἑαυτοῦ προσκρούσας τῷ βράχῳ τῆς δίκης ὤλετο. ¶Κήρυσσε] κληρώσασα Ἀθηνᾶ τοὺς ἀρίστους, ἄγει δικάσοντας. καθισάντων δὲ αὐτῶν ἐν μέσῳ στᾶσα, κελεύει διὰ τῆς σάλπιγγος καὶ τοῦ κήρυκος σιωπὴν ἡσυχάζειν, ὡς μὴ ἀρκοῦντος μόνου τοῦ κήρυκος. ἴσως δὲ πῶς τὰ νέων ἤθη ἀναχρονίζει. ἃ γὰρ νῦν γίνεται, ταῦτα τὴν Ἀθηνᾶν εἰσάγει λέγουσαν. ὀχλοῦντι γὰρ τῇ σάλπιγγι ἀνείργειν τὸ πλῆθος θέλοντες. ¶Κατειργάθου] κάτεχε, κώλυε. ¶Ἀρήγει] συμφέρει. ¶Αἰανῆ] διηνεκῆ· πρὸς τὸ ἀεί. ¶Καὶ τῶνδ' ὅπως] τῶν ἀρεοπαγιτῶν. ¶Ὧν ἔχεις] ἐν χρησμῳδίαις, δηλονότι μαντείων. παραφανέντος δ' Ἀπόλλωνος, ταῦτα φησίν.

ἀπ. Καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ δόμων
ἱκέτης ὅδ' ἀνὴρ, καὶ δόμων ἐφέστιος
ἐμῶν· φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος,
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως ἐπίστα, τήνδε κυρώσων δίκην.
ἀθ. Ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην.
ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων,
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.
εὐ. Πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως.
ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς·
τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.
ὀρ. Ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει.
εὐ. Ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.
ὀρ. Οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον.
εὐ. Εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.
ὀρ. Λέξω. ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμών.
εὐ. Πρὸς τοῦ δ' ἐπείσθης, καὶ τίνος βουλεύμασι;
ὀρ. Τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.
εὐ. Ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;
ὀρ. Καὶ δεῦρό γ' αἰεὶ τὴν τύχην οὐ μέμφομαι.
εὐ. Ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.

¶Καὶ μαρτυρήσων] ὅτι οὐκ ἔστιν ἐναγής· ἐκάθηρα γὰρ αὐτόν. ¶Καὶ ξυνδικήσων] σύνδικοι λέγονται οἱ ἴσον μέτοχοι ἐν τῇ δίκῃ τῆς αἰτίας. ¶Ὑμῶν] τῶν ἐριννύων. ¶Εἰσάγω δὲ τὴν δίκην] ὅρα τὸ δικαστήριον. ¶Ὁ γὰρ διώκων] ὁ κατήγορος. ¶Πολλαὶ μέν ἐσμεν] τοῦτο οὐ πρὸς τὰς τρεῖς, ἀλλὰ πρὸς τὸν χορόν. ιε' γὰρ ἦσαν. ¶Ἔπος δ' ἀμείβου] ῥητορικῶς πυνθάνονται. εἰ μὲν ὁμολογοίη, ὑπεύθυνος ἔσται· εἰ δὲ ἀρνοῖτο, ἐλεγχθήσεται. καὶ Ἀχιλλεὺς πρὸς τοὺς πρέσβεις, τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' Ἀτρείδης ἕνεκα γυναικός; ¶Τριῶν παλαισμάτων] ἐκ τριῶν πτώσεων. ἡ μεταφορὰ δέ ἐστιν ἀπὸ τῶν παλαιόντων, οἳ ἐπὶ τοῖς τρισὶ πτώμασιν ὁρίζουσι τὴν ἧτταν. ¶Ξιφουλκῷ χειρὶ] πλεονάζει. αἱ μὲν γὰρ τὴν αἰτίαν τοῦ φόνου πυνθάνονται· ὁ δὲ, πρὸς τὸ πῶς, ξίφει, φησίν. ὡς τὸ, μὴ δὴ ἐμὴν ἰόντα. ¶Καὶ δεῦρό γ' ἀεὶ] ἕως δεῦρο. τὸ ἀεὶ ἐπὶ τοῦ ἕως τεθείκασιν Ἀττικοὶ πολλάκις. Δεῦρο μέμφομαι τόνδ' ἀεὶ τὸν λόγον. ¶Τάχα] ἀντὶ τοῦ ἴσως.

ὀρ. Πέποιθ', ἀρωγὰς δ' ἐκ τάφου πέμπει πατήρ.
χο. Νεκροῖσι νῦν πέποιθε μητέρα κτανών.
ὀρ. Δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτων.
χο. Πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.
ὀρ. Ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν.
χο. Τοιγὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνου.
ὀρ. Τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ;
χο. Οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.
ὀρ. Ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;
χο. Πῶς γάρ σ' ἔθρεψεν ἐντὸς ὦ μιαιφόνε
ζώνης; ἀπεύχῃ μητρὸς αἷμα φίλτατον;
ὀρ. Ἤδη σὺ μαρτύρησον· ἐξηγοῦ δέ μοι
Ἄπολλον, εἴ σφε σὺν δίκῃ κατέκτανον.
δρᾶσαι γὰρ ὥσπερ ἐστὶν οὐκ ἀρνούμεθα,
ἀλλ' εἰ δικαίως εἴτε μὴ τῇ σῇ φρενὶ
δοκεῖ τόδ' αἷμα, κρῖνον, ὡς τούτοις φράσω.
ἀπ. Λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν
θεσμὸν δικαίως, μάντις δ' ὢν οὐ ψεύσομαι.
οὔπωποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις,
οὐκ ἀνδρός, οὐ γυναικός, οὐ πόλεως πέρι,
ὃ μὴ κελεύσαι Ζεὺς ὀλυμπίων πατήρ.
τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει μαθεῖν.

¶Πέμπει πατήρ] ὡς ὑμῖν ἔπεμψεν ἡ μήτηρ, οὕτω βοηθοὺς κἀμοὶ πέμψει ὁ πατήρ. ¶Προσβολὰς] συντυχίας. ¶Δίδαξον τοὺς δικάζοντας] πανούργως φησί, μὴ ἡμᾶς δίδασκε, ἀλλὰ τοὺς δικαστάς. ¶Ἀνδροκτονοῦσα] ἐμέ, κἀκεῖνον ἠδίκησεν. ¶Τοιγὰρ σὺ μὲν] πῶς οὖν λέγεις ὅτι ἠδίκησέ με; πῶς δὲ Ἀγαμέμνονα, ὅπου ἀπέθανε δι' αὐτήν; ¶Τί δ' οὐκ ἐκείνην] οὐχ εἰ τέθνηκας, τούτου αἰτία εἶ σύ. πῶς δὲ ἐδίωκες; ὥστε οὐδὲ ἀποθανοῦσα, διὰ τὴν σὴν αἰτίαν ἀπέθανεν. ¶Ἐγὼ δὲ μητρὸς] ἐγὼ οὖν ὅμαιμος εἰμὶ τῇ μητρί. ¶Ἀπεύχῃ] ἀπαρνῇ. ¶Ἤδη σὺ μαρτύρησον] ὡς ἀπορῶν τῆς ἀποκρίσεως. ἐπεὶ γὰρ ἦλθεν εἰς τὸ διαπορεῖν τὸ δικαίως ἢ μὴ ἀνῃρηκέναι τὴν μητέρα, ἐπὶ τὸν συμβουλεύσαντα θεὸν καταφεύγει. πραγμακὸν οὖν καὶ πρέπον, ὁμοειδές τι τὸ πάντα λέγειν. ¶Θεσμὸν] τὸν ἀρεοπαγιτικόν. ¶Ὁ μὴ κελεύσει Ζεὺς] ὥστε ἐμοὶ μὲν Ζεύς, ἐγὼ δὲ τούτῳ προσέταξα. οὐκ αὐθαδὲς τὸ γινόμενον. ¶Ὅσον σθένει μαθεῖν] αἰτεῖ τι, μάθε ὃ βούλει.

βουλῇ πιφαύσκω δ' ὔμμ' ἐπισπέσθαι πατρός.
ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.
χο. Ζεύς, ὡς λέγεις σύ, τόνδε χρησμὸν ὤπασε,
Φράζειν Ὀρέστῃ τῷδε τὸν πατρὸς φόνον
πράξαντα, μητρὸς μηδαμοῦ τιμὰς νέμειν;
ἀπ. Οὐ γάρ τι ταὐτὸν, ἄνδρα γενναῖον θανεῖν
διοσδότοις σκήπτροισι τιμαλφούμενον,
καὶ ταῦτα πρὸς γυναικός, οὔ τι θουρίοις
τόξοις ἑκηβόλοισιν, ὥστ' ἀμαζόνος·
ἀλλ' ὡς ἀκούσῃ Παλλάς, οἵ τ' ἐφήμενοι
ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι.
ἀπὸ στρατείας γάρ μιν ἠμποληκότα
τὰ πλεῖστ' ἀμείνον' εὔφροσιν δεδεγμένη
δρύτῃ, περῶντι λουτρά, κἀπὶ τέρματι
φᾶρος παρεσκήνησεν, ἐν δ' ἀτέρμονι
κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ.
ἀνδρὸς μὲν ὑμῖν οὕτως εἴρηται μόρος
τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν.
ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεώς,
ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην.
χο. Πατρὸς προτιμᾷ Ζεὺς μόρον, τῷ σῷ λόγῳ·
αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον.
πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις;

¶Πιφαύσκω δ' ὔμμε] κελεύω δὲ ὑμᾶς πεισθῆναι τῇ βουλῇ τοῦ Διός. ¶Φόνον πράξαντα] ἐκδικήσαντα. ¶Τιμαλφουμένον] συνεχὲς τὸ ὄνομα παρ' Αἰσχύλῳ· διὸ σκώπτει αὐτὸν Ἐπίχαρμος. ¶Τὰ πλεῖστ' ἀμείνονα] βέλτιστα πλεῖστα ἐπιτυχηκότα ἀπὸ στρατείας. ¶Δρύτῃ] πυέλῳ τῇ ὡς σορῷ αὐτῷ γενομένῃ. παρὰ τὴν δρῦν· ξύλιναι γὰρ αὗται. ¶Κἀπὶ τέρματι] τῶν λουτρῶν δηλονότι. ¶Παρεσκήνησεν] πρὸς τὴν συναλοιφὴν τῆς πρεί, καὶ τὴν συζυγίαν τοῦ ῥήματος. ¶Ἀτέρμονι] ἀτραχήλῳ. ¶Ταύτην τοιαύτην] τὴν Κλυταιμνήστραν. ¶Λεώς] οἱ δικασταί. ¶Πατρὸς προτιμᾷ] ὡς λέγεις σύ, πατέρα προτιμᾷ μητρὸς ὁ Ζεύς. ¶Πῶς ταῦτα] οὐ τὸν Δία προέθετο κακῶς εἰπεῖν, ἀλλὰ τὸν Ἀπόλλωνα ὡς ψευσάμενον βούλεται ἐλέγξαι.

ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.
Απ. Ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν,
πέδας μὲν ἂν λύσειεν, ἔστι τοῦδ' ἄκος,
καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος.
ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις
ἅπαξ θανόντος, οὔτις ἔστ' ἀνάστασις.
τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ
οὑμός, τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω
στρέφων τίθησιν, οὐδὲν ἀσθμαίνων μένει.
Χο. Πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅρα·
τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδω,
ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρὸς;
ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
ποία δὲ χέρνιψ φρατόρων προσδέξεται;
Απ. Καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ.
οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου
τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου·
τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένῳ ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρὸς πέλας.
μάρτυς πάρεστι παῖς ὀλυμπίου Διός,
οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
ἀλλ' οἷ' ἔρνος οὔτις ἂν τέκοι θεός.
ἐγὼ δέ, Παλλάς, τἄλλα θ' ὡς ἐπίσταμαι,
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,

¶Ὑμᾶς] ὦ κριταί. ¶Πῶς γὰρ τὸ φεύγειν] ἐκ τῆς ἀπόλλωνος ἀπολογίας κατακρίνουσιν Ὀρέστην. εἰ γὰρ τὸν φονέα οὐχ οἷόν τε τὸν φόνον ἀνακαλέσασθαι, πῶς Ὀρέστης φονεύσας, ἐλευθερωθήσεται; ¶Ὅρα] σκόπει πῶς δικαιοῖς Ὀρέστην φεύγειν. ¶Κύματος] κυήματος. ¶Ὁ θρώσκων] ὁ σπερμαίνων. ¶Ἡ δ' ἅπερ ξένῳ] ὡς παρακαταθήκην. ¶Πατὴρ μὲν ἂν γένοιτο] γεννήσειεν. ¶Ἐγὼ δέ, Παλλάς] ὦ Παλλάς. ¶Ὡς ἐπίσταμαι] ὅσον δύναμαι.

καὶ τόνδ᾽ ἔπεμψα σῶν δόμων ἐφέστιον,
ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου.
καὶ τόνδ᾽ ἐπικτήσαιο σύμμαχον θεά,
καὶ τοὺς ἔπειτα. καὶ τάδ᾽ αἰανῶς μένοι
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.
ἀθ. Ἤδη κελεύω τούσδ᾽ ἀπὸ γνώμης φέρειν
ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων.
χο. Ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος·
μένω δ᾽ ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.
ἀθ. Τί γάρ, πρὸς ὑμῶν πῶς τιθεῖσ᾽ ἄμομφος ὦ;
χο. Ἠκούσαθ᾽ ὧν ἠκούσατ᾽, ἐν δὲ καρδίᾳ
ψῆφον φέροντες, ὅρκον αἰδεῖσθε ξένοι.
ἀθ. Κλύοιτ᾽ ἂν ἤδη θεσμὸν ἀττικὸς λεώς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔσται δὲ καὶ τὸ λοιπὸν αἰγέως στρατῷ,
αἰεὶ δ᾽ ἑκάστων τοῦτο βουλευτήριον.
πάγον δ᾽ ἄρειον τόνδ᾽ ἀμαζόνων ἕδραν,
σκηνάς θ᾽, ὅτ᾽ ἦλθον Θησέως κατὰ φθόνον
στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
τήνδ᾽ ὑψίπυργον ἀντεπύργωσαν τότε·
Ἄρει δ᾽ ἔθυον, ἔνθεν ἔστ᾽ ἐπώνυμος
πέτρα, πάγος τ᾽ ἄρειος· ἐν δὲ τῷ σέβας
ἀστῶν, φόβος τε συγγενὴς τὸ μὴ ἀδικεῖν
σχήσει, τό θ᾽ ἦμαρ καὶ κατ᾽ εὐφρόνην ὁμῶς,
αὐτῶν πολιτῶν μὴ πικαινούντων νόμους,
κακαῖς ἐπιρροαῖσι· βορβόρῳ θ᾽ ὕδωρ
λαμπρὸν μιαίνων, οὔποθ᾽ εὑρήσεις ποτόν.
τὸ μήτ᾽ ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν·

¶ Τάδ᾽ αἰανῶς] δι᾽ αἰῶνος.
¶ Ἐπισπόρους] ἀπογόνους.
¶ Ἀπὸ γνώμης] ὃ δοκιμάζεται.
¶ Τί γάρ, πρὸς ὑμῶν] τιθεῖσα, μέμψιν παρ᾽ ὑμῶν οὐχ ὑπομένω;
¶ Φθόνον] μῆνιν
¶ Νεόπτολιν] τὸν ἄρειον πάγον. ἐν αὐτῷ γὰρ ἐστρατοπέδευσαν. σημείωσαι ὅτι πρὸ τῆς ἐπὶ Ὀρέστῃ κρίσεως δίκη ἐν τῷ ἀρείῳ πάγῳ. ¶ Ἐν δὲ τῷ σέβας] ὁ δὲ αἰτιῶ γάρ
¶ Μὴ ἀδικεῖν] σωφρονεῖν. ¶ Βουλεύω] συμβουλεύω τοῖς ἐμοῖς πολίταις δημοκρατεῖσθαι μέν, ὑπὸ φόβου δὲ μένειν.

τίς γὰρ δεδοικὼς μηδὲν, ἔνδικος βροτῶν;
τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας,
ἔρυμά τε χώρας, καὶ πόλεως σωτήριον
ἔχοιτ' ἂν οἷον οὔτις ἀνθρώπων ἔχει
οὔτ' ἐν σκύθῃσιν, οὔτε Πέλοπος ἐν τόποις·
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον· εὑδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
ἀστοῖσιν εἰς τὸ λοιπόν. ὀρθοῦσθαι δὲ χρή,
καὶ ψῆφον αἴρειν, καὶ διαγνῶναι δίκην,
αἰδουμένοις τὸν ὅρκον. εἴρηται λόγος.

¶ Εὑδόντων ὕπερ] τῶν ἀποθανόντων.

χο. Καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.
ἀπ. Κἀγώ γε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς
ταρβεῖν κελεύω, μηδ' ἀκαρπώτους κτίσαι.
χο. Ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
μαντεῖα δ' οὐκ ἔθ' ἁγνὰ μαντεύσῃ μένων.
ἀπ. Ἡ καὶ πατήρ τι σφάλλεται βουλευμάτων,
πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;
χο. Λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης,
βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.
ἀπ. Ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς, ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.
χο. Τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
ἀπ. Οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χ' ὥτε δεόμενος τύχοι;
χο. Σύ τοι παλαιὰς δαίμονας καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς.

¶ Προστροπαῖς Ἰξίονος] καθάρας τὸν προστρεπόμενον Ἰξίονα.
¶ Ἐγὼ δὲ μὴ τυχοῦσα] ἐπ' ἀπειλὰς τρέπεται, ἀφεῖσα τὴν δικαιολογίαν.

ἀπ. Σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος,
ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύ.
χο. Ἐπεὶ καθιππάζῃ με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.
ἀθ. Ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο·
τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν
ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον,
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον·
νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ·
ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους,
ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.
ὀρ. Ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;
εὐ. Ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε,
νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν·
ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν·
ἀπ. Πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων ξένοι,
τὸ μὴ ἀδικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα.
βαλοῦσά τ' οἶκον ψῆφος ὤρθωσεν μία.

¶Ἐμῇ τὸν ἰόν] ἐκβάλλεις τὴν ὀργὴν, οὐδὲν δυναμένην βλάψαι τοὺς ἐχθρούς. ¶Καθιππάζῃ] καταπατεῖς. ¶Ὡς ἀμφίβ. οὖσα] ἀμφιβάλλουσα. πῶς γὰρ ἐν ἀμφιβόλῳ ἔχω τὸ ὀργίζεσθαι. ¶Τὴν δ' ἐγὼ προσθήσομαι] ἐγὼ προσθήσω τὴν ἐσχάτην ψῆφον. ἢ ὅτι αἱ ἴσαι γένωνται, νικᾷ ὁ κατηγορούμενος. ¶Ὅσοις δικαστῶν] ὁ ἀριθμὸς τῶν ἀρεοπαγιτῶν λ' καὶ εἷς. ¶Νῦν ἀγχόνης μοι] νῦν μοι ζωὴ ἢ θανάτου τέλος. ¶Ἢ πρόσω τιμάς] ἢ τὰς προτέρας ἔχειν τιμάς. ¶Ἐν διαιρέσει] διαχωρίσει τῶν λευκῶν καὶ μελανῶν. ¶Γνώμης δ' ἀπούσης] γνώμης αἰτία τῆς ψήφου. ὁ τρόπος συνεκδοχὴ, ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον. τὸν γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμῃ γενέσθαι. ¶Βαλοῦσά τ' οἶκον] ἡ ψῆφος δὲ βαλεῖν τι καὶ ὀρθῶσαι οἶκον δύναται.

ἀθ. Ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην.
ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.
ὀρ. Ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
καὶ γῆς πατρῴας ἐστερημένον σύ τοι
κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
Ἀργεῖος ἁνὴρ αὖθις ἔν τε χρήμασιν
οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
ἕκατι, καὶ τοῦ πάντα κραίνοντος τρίτου
σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον,
σώζει με, μητρὸς τάσδε συνδίκους ὁρῶν.
ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον
ὁρκωμοτήσας, νῦν ἄπειμι πρὸς δόμους,
μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθονὸς
ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δόρυ.
αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε,
τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα,
ἀμηχάνοισι πράξομεν δυσπραξίαις
ὁδοὺς ἀθύμους, καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
τιμῶσιν αἰεὶ τήνδε συμμάχῳ δορί,
αὐτοῖσιν ἡμεῖς ἐσμὲν εὐμενέστεροι.
καὶ χαῖρε καὶ σύ, καὶ πολισσοῦχος λεώς,
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις,
σωτήριόν τε καὶ δορὸς νικηφόρον.
χ. Ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε, κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
ἐν γᾷ τᾷδε, φεῦ, *ἰοὺ ἰού, ἀντιπενθῆ

¶Ἴσον γάρ ἐστι] κἀνίσαι ἢ ἰσοῦνται αἱ ψῆφοι, ὁ κατηγορούμενος νικᾷ.

¶Τάσδε συνδίκους] τὰς συνηγόρους Ἀρμίδας.

¶Πρυμνήτην] κυβερνήτην, ἄρχοντα.

¶Πράξομεν] τιμωρησόμεθα.
¶Καὶ παρόρνιθας πόρους] ἀπαισίους.
¶Ὀρθουμένων] δυναμένων.

¶Πάλαισμα] τὴν ἐμὴν ἐπικουρίαν.

¶Ἀντιπενθῆ] ἰσοπενθῆ, ὅμοια δρῶντα οἷς πέπονθα.

μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ ἀφόρον· ἐκ δὲ τοῦ,
λιχὴν ἄφυλλος, ἄτεκνος, (ἰὼ δίκα) πέδον ἐπεσσύμενος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα
πολίταις ἔπαθον, ἰώ, μεγάλα τοι
κόραι δυστυχεῖς Νυκτὸς ἀτιμοπενθεῖς.

ἀθ. Ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ᾽, ἀλλ᾽ ἰσόψηφος δίκη
ἐξῆλθ᾽ ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.
ἀλλ᾽ ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ᾽ ὁ χρήσας, αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ᾽ Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δὲ τῇ γῇ τῇδε μὴ βαρὺν κότον
σκήψησθε, μὴ θυμοῦσθε, μηδ᾽ ἀκαρπίαν
τεύξητ᾽, ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονός,
λιπαροθρόνοισιν ἡμένας ἐπ᾽ ἐσχάραις
ἕξειν ὑπ᾽ ἀστῶν τῶνδε τιμαλφουμένας.

χο. Ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε, κἀκ χερῶν εἵλεσθέ μου·
ἐγὼ δ᾽ ἄτιμος ἡ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ, ἰοὺ ἰοὺ ἀντιπενθῆ

¶ Μεθεῖσα] ἀντὶ τοῦ μεθεῖσαι. μετοχὴ ἀντὶ ῥήματος. ὡς τό, Καρπῷ βεβριθυῖαν ἀντὶ τοῦ βρίθεται. ¶ Σταλαγμὸν] τὴν κατὰ βραχὺ φθοράν. ¶ Χθονιαφόρον] τὸν εἰς τὴν γῆν φερόμενον. ¶ Ἄφυλλος] ἄκαρπος. ¶ Ἰὼ δίκα] τοῦτο διὰ μέσου ὀλοφυρόμεναι ἀναφωνοῦσιν. ¶ Γένωμαι] λείπει ὁ ἢ διαζευκτικός. ἢ τί γένωμαι; ¶ Πολίταις] ὑπὸ τῶν πολιτῶν ἔπαθον. ἔμιξε τῷ θρήνῳ τῆς τιμωρίας τεχνικῶς. εἰπὼν γάρ, δύσοιστα ἔπαθον, ἐπήγαγε, πολίταις· ἵνα ᾖ, πολίταις δύσοιστα ὄντα. ¶ Κόραι δυστυχεῖς] κόραι Νυκτός. ¶ Ἀλλ᾽ ἐκ Διὸς γὰρ] ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμῃ Διὸς μαντεύεσθαι. ¶ Σταλάγματα] χάριται στάγματα. σταλάγματα δέ εἰσιν αἰχμαὶ βιβρώσκουσαι τὰ σπέρματα.

μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ ἄφορον· ἐκ δὲ τοῦ,
λιχὴν ἄφυλλος, ἄτεκνος, (ἰὼ δίκα) πέδον ἐπισυμένος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γελῶμαι; δύσοιστα
πολίταις ἔπαθον, ἰὼ, μεγάλα τοι
κόραι δυστυχεῖς Νυκτὸς ἀτιμοπενθεῖς.

ΑΘ. Οὐκ ἔστ᾽ ἄτιμοι, μηδ᾽ ὑπερθύμως ἄγαν
θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.
κἀγὼ πέποιθα Ζηνὶ, καὶ τί δεῖ λέγειν;
καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν,
ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος·
ἀλλ᾽ οὐδὲν αὐτοῦ δεῖ· σὺ δ᾽ εὐπειθὴς ἐμοὶ
γλώσσης ματαίας μὴ ᾽κβάλῃς ἐπὶ χθόνα
καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρὸν μένος,
ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδε τἀκροθίνια
θύη, πρὸς παίδων καὶ γαμηλίου τέλους
ἔχουσ᾽, ἐς αἰεὶ τόνδ᾽ ἐπαινέσεις λόγον.

ΧΟ. Ἐμὲ παθεῖν τάδε, φεῦ, ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν,
ἀτίετον, φεῦ, μύσος. πνέω τοι μένος, ἅπαντά τε κότον.
οἶ οἶ, δᾶ, φεῦ· τίς μ᾽ ὑποδύεται
πλευρὰς ὀδύνα. θυμὸν ἄϊε μᾶτερ
Νύξ· ἀπὸ γάρ με τιμᾶν δαμίαν
θεῶν δυσπάλαμοι παρ᾽ οὐδὲν ἦραν δόλοι.

¶Βαλεῖ] λείπει ἐμποιήσει. ¶Δύσκηλον] δυσθεράπευτον. ¶Καρπὸν φέροντα] τὴν πάντα ποιοῦσαν κακῶς πράττειν. ¶Κοίμα] κοίμιζε. ¶Πικρὸν μένος] τὸν θυμόν. ¶Ὡς σεμνότιμος] λείπει ἐσομένη. ¶Τἀκροθίνια] ὡς προτέλεια θυόντων Ἀθηναίων ταῖς Ἐρινύσι. ¶Γαμ. τέλους] τοῦ γάμου. ¶Ἀτίετον] ἀνεκδίκητον, τιμωρῆσαι μὴ δυναμένην τὸ ἔ φεῦ, διὰ μέσου ἀναφωνεῖ. ¶Πνέω τοι μένος] ὀργὴν καὶ ἅπαντα κότον πνέω. ¶Δᾶ] ὦ γῆ, δωρικῶς. ὅθεν καὶ δαμάτηρ. ¶Δαμίαν] τὴν δημοσίαν. ¶Ηραν δόλοι] οἱ δόλοι τῶν θεῶν ὡς οὐδὲν παρῆραν με τῆς δημοσίας τιμῆς.

αθ. Ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
καίτοι γε μὲν σὺ κάρτ' ἐμοῦ σοφωτέρα,
φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
ὑμεῖς δ' ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα,
γῆς τῆσδ' ἐρασθήσεσθε· προὐννέπω τάδε.
οὐ 'πιρρέων γὰρ τιμιώτερος χρόνος
ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν
ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως,
τεύξῃ παρ' ἀνδρῶν καὶ γυναικείων στόλων,
ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν.
σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς
μήθ' αἱματηρὰς θηγάνας σπλάγχνων βλάβας
νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασι·
μηδ' ἐξελοῦσ' ὡς καρδίαν ἀλεκτόρων,
ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃ κάρα
ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.
θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών,
ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως·
ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην.
τοιαῦθ' ἑλέσθαι σοὶ πάρεστιν ἐξ ἐμοῦ,
εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην,
χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.
χο. Ἐμὲ παθεῖν τάδε, φεῦ, ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν
ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος, ἅπαντά τε κότον,

¶Ξυνοίσω] φέρουσα σοι τὰς ὀργάς. ¶Σοφωτέρα] διὰ τὸν χρόνον. ¶Ἐλθοῦσαι χθόνα] λείπει ὁ καί. ¶Γῆς τῆσδ' ἐρασθήσεσθε] ἀντὶ τοῦ, μεγάλαι ἔσονται αἱ Ἀθῆναι ὥστε ἐπιθυμῆσαι τινὰς ἐξ αὐτῶν τιμῆς. ¶Θηγάνας νέων] τὰς ἀναλισκούσας τὰ νέα. ¶Θυμώμασι] ὀργαῖς· ὅτι καὶ οἰνωθέντες, ὅμως τινὰ γίνονται ἐμμανεῖς. ¶Ἐξελοῦσα] ἀναπτερώσασα. μάχιμον γὰρ τὸ ὄρνεον· τῶν τε ἄλλων ζώων τὸ συγγενὲς αἰδουμένων, μόνος οὐ φείδεται. ¶Οὐ μόλις παρών]· οὐ μακράν. ¶Ἐνοικίου δ' ὄρνιθος] τὸν ἐνοικιώτατον πολιτῶν. ὅ ἐστιν ὁμόφυλον πόλεμον.

οἶ οἶ, δᾶ φεῦ· τίς μ' ὑποδύεται
πλευρὰς ὀδύνα; θυμὸν ἄιε μᾶτερ
Νύξ· ἀπὸ γάρ με τιμᾶν δαμίαν θεῶν δυσπάλαμοι
παρ' οὐδὲν ἦραν δόλοι.

ἀθ. Οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά.
ὡς μήποτ' εἴπῃς, πρὸς νεωτέρας ἐμοῦ
θεὸς παλαιὰ, καὶ πολιούχων βροτῶν,
ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι πειθοῦς σέβας,
γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλῃς μένειν,
οὔτ' ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει
μῆνίν τιν' ἢ κότον τιν', ἢ βλάβην στρατῷ.
ἔξεστι γάρ σοι τῆσδέ γ' ἀμοίρῳ χθονὸς
εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένῃ.

χο. Ἄνασσ' Ἀθάνα τίνα με φῂς ἔχειν ἕδραν;
ἀθ. Πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.
χο. Καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;
ἀθ. Ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.
χο. Σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον;
ἀθ. Τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν.
χο. Καί μοι πρὸ παντὸς ἐγγύην θήσῃ χρόνου;
ἀθ. Ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ;
χο. Θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου.
ἀθ. Τοὶ γὰρ κατὰ χθόν' οὖσ' ἐπικτήσῃ φίλους.
χο. Τί οὖν μ' ἄνωγας τῇδ' ἐφυμνῆσαι χθονί;
ἀθ. Ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
καὶ ταῦτα γῆθεν ἔκ τε ποντίας δρόσου,
ἐξ οὐρανοῦ τε κἀνέμων ἀήματα,
εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα.

¶Πρὸς νεωτέρας] τὸ ἑξῆς, πρὸς νεωτέρας ἐμοῦ, καὶ πολισσούχων βροτῶν θεὸς παλαιὰ ἄτιμος ἔρρειν. ¶Ἀλλ' εἰ μὲν] εἰ πείθῃ τῷ μειλίγματι τῆς ἐμῆς γλώσσης, τὸ πραΰμειον, καὶ τῶν καταλειχθέντων ἀγαθῶν μεταλάμβανε· εἰ δὲ μὴ πείθῃ, ἴσθι μὴ βλάψαι πόλιν.

καρπόν τε γαίας καὶ βροτῶν ἐπίρρυτον,
ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνῳ,
καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν·
τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.
στέργω γὰρ ἀνδρὸς φίτυ ποιμένος δίκην,
τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.
τοιαῦτα σοὔστι. τῶν ἀρειφάτων δ' ἐγὼ
πρεπτῶν ἀγώνων, οὐκ ἀνέξομαι τὸ μὴ οὐ
τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.
χο. Δέξομαι Παλλάδος ξυνοικίαν, οὐδ' ἀτιμάσω πόλιν,
τὰν καὶ Ζεὺς ὁ παγκρατὴς, Ἄρης τε
φρούριον θεῶν νέμει, ῥυσίβωμον ἑλλά-
νων ἄγαλμα δαιμόνων. ᾇτ' ἐγὼ κατεύχομαι
θεσπίσασα πρευμενῶς ἐπισσύτους βίου τύχας ὀνησίμους
γαίας ἐξαμβρόσαι φαιδρὸν ἁλίου σέλας.
ἀθ. Τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
πράσσω, μεγάλας καὶ δυσαρέστους
δαίμονας αὐτοῦ καταναισαμένη.
πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν.
ὁ δὲ μὴ κύρσας βαρεῶν τούτων,
οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου.
τὰ γὰρ ἐκ προτέρων ἀμπλακήματά νιν
πρὸς τάσδ' ἀπάγει, σιγῶν ὄλεθρος, καὶ μέγα φωνοῦν-
τ' ἐχθραῖς ἐργαῖς ἀμαθύνει.
χο. Δενδροπήμων δὲ μὴ πνέοι βλάβα,
τὰν ἐμὰν χάριν λέγω·
φλογμός τ' ὀμματοστερὴς φυτῶν,
τὸ μὴ περᾶν ὅρον τόπων, μηδ' ἄκαρπος αἰα-
νὴς ἐφερπέτω νόσος, μῆλά τ' εὐθενοῦντ' ἄγαν,
ξὺν διπλοῖς ἐμβρύοις.

τρέφοι χρόνῳ τεταγμένῳ· γόνος
πλουτόχθων ἑρμαίαν δαιμόνων δόσιν τίοι.
αθ. Ἦ τάδ᾽ ἀκούετε πόλεως φρούριον,
οἷ᾽ ἐπικραίνει. μέγα γὰρ δύναται
πότνι᾽ Ἐρινὺς παρά τ᾽ ἀθανάτοις,
τοῖς θ᾽ ὑπὸ γαῖαν, περί τ᾽ ἀνθρώπων
φανερῶς τελέως διαπράσσουσι,
τοῖς μὲν ἀοιδάς, τοῖς δ᾽ αὖ δακρύων
βίον ἀμβλωπὸν παρέχουσαι.
χο. Ἀνδροκμῆτας δ᾽ ἀώ- ρους ἀπεννέπω τύχας,
νεανίδων τ᾽ ἐπηράτων ἀνδροτυχεῖς βιότους
δότε, κύρι᾽ ἔχοντες θεαί, τῶν μοῖραι
ματροκασιγνῆται, δαίμονες ὀρθονόμοι,
παντὶ δόμῳ μετάκοινοι, παντὶ χρόνῳ δ᾽ ἐπιβριθεῖς,
ἐνδίκοις ὁμιλίαις πάντα τιμιώταται θεῶν.
αθ. Τάδε τοι χώρᾳ τῇ μῇ προφρόνως ἐπικραινομένων
γάνυμαι, στέργω δ᾽ ὄμματα πειθοῦς,
ὅτι μοι γλῶσσαν καὶ στόμ᾽ ἐπωπᾷ
πρὸς τάσδ᾽ ἀγρίως ἀπανηναμένας·
ἀλλ᾽ ἐκράτησε Ζεὺς ἀγοραῖος. νικᾷ δ᾽ ἀγαθῶν
ἔρις ἡμετέρα διὰ παντός.
χο. Τὰν δ᾽ ἄπληστον κακῶν
μήποτ᾽ ἐν πόλει στάσιν τᾷδ᾽ ἐπεύχομαι βρέμειν.
μηδὲ πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν,
δι᾽ ὀργὰν ποινὰς ἀντιφόνους ἄτας
ἁρπαλίσαι πόλεως. χάρματα δ᾽ ἀντιδιδοῖεν
κοινωφελεῖ διανοίᾳ, καὶ στυγεῖν μιᾷ φρενί.
πολλῶν γὰρ τόδ᾽ ἐν βροτοῖς ἄκος.
αθ. Ἆρα φρονοῦσι γλώσσης ἀγαθῆς ὁδὸν εὑρίσκειν.
ἐκ τῶν φοβερῶν τῶνδε προσώπων.

Γόνος] τὰ σπέρματα.
Πλουτόχθων] ὁ ἐκ γῆς πλουτίζων καρπός.
Πόλεως φρούριον] ὦ ἄρχοντες.

μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις.
τάσδε γὰρ εὔφρονας εὔφρονες αἰεὶ
μέγα τιμῶντες, καὶ γῆν, καὶ πόλιν   ὀρθοδίκαιον
πρέψετε πάντες διάγοντες.
χο. Χαίρετ' ἐν αἰσιμίαις πλούτου,
χαίρετ' ἀστικὸς λεώς,   ἴκταρ ἥμενοι Διὸς,
παρθένου φίλας φίλοι   σωφρονοῦντες ἐν χρόνῳ.
Παλλάδος δ' ὑπὸ πτεροῖς   ὄντας ἅζεται πατήρ.
ἀθ. Χαίρετε χ' ὑμεῖς· προτέραν δέ με χρὴ
στείχειν θαλάμους ἀποδείξουσαν.
πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν
ἴτε, καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν
κατὰ γῆς σύμεναι, τὸ μὲν ἀτήριον
χώρας κατέχειν,   τὸ δὲ κερδαλέον
πέμπειν πόλεως ἐπὶ νίκῃ.
ὑμεῖς δ' ἡγεῖσθε πολισσοῦχοι
παῖδες Κραναοῦ ταῖσδε μετοίκοις.
εἴη δ' ἀγαθῶν   ἀγαθὴ διάνοια πολίταις.
χο. Χαίρετε, χαίρετε δ' αὖθις,   ἐπιδιπλοίζω,
πάντες οἱ κατὰ πτόλιν,   δαίμονές τε καὶ βροτοὶ,
Παλλάδος πόλιν νέμον-   τες· μετοικίαν δ' ἐμὴν
εὐσεβοῦντες, οὔτι μέμ-   ψεσθε συμφορὰς βίου.
ἀθ. Αἰνῶ δὲ μύθους τῶνδε τῶν κατευγμάτων,
πέμψω τε φέγγει λαμπάδων σελασφόρων
εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους,
ξὺν προσπόλοισιν αἵτε φρουροῦσι βρέτας
τοὐμὸν δικαίως. ὄμμα γὰρ πάσης χθονὸς
Θησῇδος ἐξίκοιτ' ἂν εὐκλεὴς λόχος
παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων.
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι

τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρὸς,
ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.
Προ. Βᾶτ' ἐκ δόμων μεγάλαι φιλότιμοι ¶Μεγάλαι φιλότιμοι] αἱ προπομποί.
Νυκτὸς παῖδες, ἄπαιδες,
ὑπ' εὔφρονι πομπᾷ.
εὐφαμεῖτε δέ· χωρῖτε
γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισι,
καὶ τιμαῖς καὶ θυσίαις περίσεπτα, τύχα τε.
εὐφαμεῖτε δὲ πανδαμεί.
ἵλαοι δὲ καὶ εὔφρονες γᾷ
δεῦρ' ἴτε σεμναὶ, πυριδάπτῳ
λαμπάδι τερπόμεναι. καθ' ὁδὸν
δ' ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.
σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων. ¶Ἔνδαιδες οἴκων] μετὰ λαμπάδων.
Παλλάδος ἀστοῖσι Ζεὺς πανόπτας.
οὕτω μοῖρα τε συγκατέβα.
ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ
Ἱκέτιδες.

Τὰ τοῦ δράματος πρόσωπα.

Χορὸς Δαναΐδων, Δαναός, Βασιλεὺς ἀργείων,
Πρεσβύτης, Κόραι. Πελασγικὸς δὲ ὁ Χορός.

χο. Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
στόλον ἡμέτερον νάϊον ἀρθέντ' ἀπὸ προστομίων
λεπτοψαμάθων Νείλου. Δίαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλασίᾳ
ψήφῳ πόλεως γνωσθεῖσαι·
ἀλλ' αὐτογενῆ τὸν φυξάνορα
γάμον Αἰγύπτου παίδων ἀσεβῆ
τ' ὀνοταζόμεναι· Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος,
καὶ στασίαρχος τάδε πεσσονομῶν, κύδιστ' ἀχέων ἐπέκρανε
φεύγειν ἀνέδην διὰ κυμβαλέον·
κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον, τῆς οἰστροδόνου
βοὸς ἐξ ἐπαφῆς, κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον τετέλεσται.
τίνα γοῦν χώραν εὔφρονα μᾶλλον τῆσδ' ἀφικοίμεθα,
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις ἱεροστέπτοισι κλάδοισι;

¶ Ἀφίκτωρ] ἱκετῶν ἔφορος. ¶ Νάϊον ἀρθέντ' ἀπὸ πρ.] πρὸς τὴν φάρυγ αἰγύπτου προσπάσθε γὰρ ὄθεν· ἄμεινον δὲ τὰ σόμια ἀκούειν, πλεοναζούσης τῆς προ. διὰ γὰρ τῶν ἐγκλεισμένων σομάτων τὴν φυγὴν ἐποιήσαντο. ¶ Δίαν δὲ] ὁ δὲ, ἀντὶ τοῦ γάρ. ¶ Οὔτιν' ἐφ' αἵματι] οὐχ ἐφ' αἵματί τινι καταγνωσθεῖσαι ψήφῳ πόλεως δημοσίᾳ ἡμᾶς ἀπελαυνούσῃ. ¶ Φυξάνορα γάμον] φυγὴν ἀνδρῶν ἐμποιοῦντα ἡμῖν. ἀμείνονα τῶν κακῶν ἐψηφίσαντο τὴν φυγὴν. κακὸν ὁ γάμος, κακὸν δὲ καὶ ἡ φυγή· αἱρετώτερον δὲ, τὸ φεύγειν. ¶ Ἀσεβῆ] ὅν οὐ σεβόμεθα ἡμεῖς· οὐδὲ τιμῶμεν. ¶ Στασίαρχος] τῆς συστάσεως ἡμῶν ἄρχων. ¶ Πεσσονομῶν] ἀπὸ τούτων λογιζόμενος. ¶ Ἐγχειριδίοις] τοῖς ἱκετηρίοις θαλλοῖς. ¶ Ἱεροστέπτοισι κλάδοισι] τοῖς στεφαίοις.

ὦν πόλις, ὦν γῆς καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι
χθόνιοι θήκας κατέχοντες,
καὶ Ζεὺς σωτὴρ τρίτος οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξαιθ' ἱκέτην   τὸν θηλυγενῆ στόλον αἰδοίῳ
πνεύματι χώρας, ἀρσενοπληθῆ
δ' ἑσμὸν ὑβριστὴν αἰγυπτογενῆ,
πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχῳ ταχυήρει
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπῳ, βροντῇ στεροπῇ
τ', ὀμβροφόροισί τ' ἀνέμοις ἀγρίας
ἁλὸς ἀντήσαντες ὄλοιντο,
πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,
σφετεριξάμενοι πατραδελφείαν
τήνδ' ἀεκόντων ἐπιβῆναι.   νῦν δ' ἐπικεκλόμεναι
Δῖον πόρτιν ὑπερ-   πόντιον τιμάορ' ἶνίν
τ' ἀνθονόμου τᾶς προγόνου   βοὸς ἐξ ἐπιπνοίας
Ζηνὸς ἔφαψιν ἐπωνυμίᾳ
δ' ἐπεκραίνετο μόρσιμος αἰὼν
εὐλόγως· Ἔπαφόν τε γέννασε-   ὄντ' ἐπιλεξαμένα,

¶Βαρύτιμοι] οἱ βαρέως τιμώμενοι καταχθόνιοι θεοί. τὸ δὲ ὕπατοι, ἀπὸ ἄλλης ἀρχῆς. ¶Τρίτος οἰκοφύλαξ] ὁ τριτόσπονδος, ἢ ὁ τρίτος τῶν εἰρημένων. εἶπε γὰρ, ὕπατοι θεοὶ, καὶ χθόνιοι, καὶ Ζεὺς σωτὴρ τρίτος. ¶Δέξαιθ' ἱκέτην] δέξαιτο ἡμᾶς ὦ τῆς χώρας αἰδοίμῳ πνεύματι. ὅ ἐστιν, αἰδῶ ἐμποιήσας τοῖς ἡμᾶς δεχομένοις ἀργείοις. ¶Ἀσώδει] πηλώδει, ψαμμώδει. τὴν γὰρ ψάμμον οὕτως φασίν. ὡς ὁ ποιητὴς, εἰλύσω ψαμάθοισι τόσιν ἄσιν. ¶Πέμψατε] τὸ ἑξῆς οὕτως, πέμψατε πόντονδε, ἔνθα ἀντήσαντες λαίλαπι χειμωνοτύπῳ, βροντῇ, στεροπῇ τε, ὀμβροφόροισί τε ἀνέμοις ἀγρίας ἁλὸς, ὄλοιντο. ¶Ὧν θέμις] ὧν τὸ δίκαιον ἡμᾶς εἴργει, διὰ τὸ μὴ θανατωθῆναι τὸν πατέρα. ¶Πατραδελφείαν] ἀνεψιῶν, διὰ τὸ ἐκ τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτῶν. ¶Δῖον πόρτιν] ἐπικαλούμεθα τὸν ἶνιν τῆς βοὸς τὴν ἐπαφὴν, τὴν ἐξ ἐπιπνοίας τοῦ Διός. Ἄλλως. πόρτιν, τὸν Ἔπαφον. ¶Τιμάορα] βοηθόν. ¶Ἐξ ἐπιπνοίας] τὴν ἐξ ἐρωτικῆς διαθέσεως. ἐνέπνευσε γὰρ αὐτῇ ὁ ἔρως. ¶Ἐπωνυμίᾳ δ' ἐπεκραίνετο] τῇ δ' ἐπωνυμίᾳ ἐβεβαιοῦτο ὁ εὔμοιρος αὐτῆς βίος. ὡς γὰρ τῆς γονῆς ἐφήψατο Ζεὺς, οὕτω καὶ τῆς τύχης.

νῦν ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις τῶν
πρόσθε πόνων μνασαμένα, τάτε νῦν ἐπιδείξω
πιστὰ τεκμήρια, τάτ' ἀνόμοια
οἶδ' ἀελπτῷ περ ὄντα φανεῖται. γνώσεται
δὲ λόγους τὶς ἐν μάκει.
εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων
ἔγγαιος, οἶκτον οἰκτρὸν ἀΐων, δοξάσει τὶς ἀκούων
ὄπα τᾶς Τηρείας μήτιδος οἰκτρᾶς ἀλόχου,
κιρκηλάτου τ' ἀηδόνος·
ἅτ' ἀπὸ χώρων ποταμῶν τ' εἰργομένα,
πενθεῖ νέον οἶκτον ἠθέων· ξυντίθησι δὲ παιδὸς
μόρον, ὡς αὐτοφόνως ὤλετο πρὸς χειρὸς ἕθεν,
δυσμάτορος κότου τυχών. τὼς καὶ ἐγὼ φιλόδυρ-
τοις Ἰαονίοισι νόμοισι δάπτω τὰν ἁπαλὰν
Νειλοθερῆ παρειάν, ἀπειρόδακρύν τε καρδίαν.
γοέδνα δ' ἀνθεμίζομαι δειμαίνουσα φίλους τᾶσ-
δε φυγᾶς ἀερίας ἀπὸ γᾶς, εἴ τις ἐστὶ κηδεμών.
ἀλλὰ θεοὶ οἱ γενέται, κλύετ' εὖ τὸ δίκαιον ἰδόντες.
ἢ καὶ μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν.
ὕβριν δ' ἑτοίμως στυγοῦντες πέλοιτ' ἂν ἔνδικοι γάμοις.
ἔστι δὲ κἀκ πολέμου τει-

¶Ἐν ποιονόμοις] ἐν ἀρχῇ οὗ ἀνόμητο ἡ Ἰώ. ¶Πρόσθε πόνων] τῆς Ἰοῦς τοὺς πόνους ἐγὼ διηγουμένη. ¶Πιστὰ τεκμήρια] τὸ ἑξῆς οὕτως, ὃν ἐπικαλουμένη, νῦν ἐν ἀρχῇ δείξω πιστὰ τεκμήρια ὡς οὐ ξένος ὢν ἐλθύνηται, ἀλλ' εἰς προγόνων γῆν. ¶Ἐν μάκει] προϊόντος τοῦ χρόνου. ¶Οἰωνοπόλων] τῶν φωνὰς οἰωνῶν γινωσκόντων. ¶Δοξάσει τὶς ἀκούων] πλεονάζει τὸ τὶς. ¶Τηρείας μήτιδος] κατὰ περίφρασιν, τοῦ Τηρέως. ¶Κιρκηλάτου] τῆς ὑπὸ κίρκου ἐλαυνομένης. ¶Εἰργομένα] διωκομένη. ¶Ἠθέων] τῶν συνήθων τόπων. ¶Ἰαονίοισι νόμοισι] ἀντὶ τοῦ, ἑλληνικῇ φωνῇ. ¶Νειλοθερῆ] τὴν ἐν τῷ νείλῳ θερμανθεῖσαν, ὅ ἐστι, βλαστήσασαν ἐν αἰγύπτῳ. ἀπὸ τῶν σταχύων δὲ ἡ μεταφορά. ¶Γοέδνα] τῶν γόων τὸ ἄνθος ἀποδρέπομαι. ¶Ἀερίας ἀπὸ γᾶς] σκοτεινῆς. μέλαινα γάρ ἐστιν. ἢ ὅτι ἐστὶ τινὶ, καὶ τοῖς ἀπὸ θαλάσσης ὡς ὑπόχλοος φαίνεται. ¶Ἀλλὰ θεοὶ] ἀλλ' ὦ γενέται θεοὶ, καλῶς τὸ δίκαιον ὁρῶντες. καὶ Ἡσίοδος, Κλῦθι ἰδὼν ἀΐων τε. ¶Μὴ τέλεον] τὴν τῶν αἰγυπτιαδῶν. ¶Ἔνδικοι γάμοις] ἐπὶ τοῖς νενομισμένοις καὶ δόξασιν ἡμῶν. ¶Ἔστι δὲ] καὶ τοῖς ὑπὸ πολέμου πιεζομένοις καὶ τεταραγμένοις εἰς φυγὴν,

δαιμόνων σέβας, ῥῦμα τῆς βλάβης ἐστίν. ἢ οὕτως, καὶ τοῖς ὑπὸ πολέμου τειρομένοις καὶ τετραμμένοις εἰς φυγὴν ὁ βωμὸς ἄρης ἐστίν· ὑπερμαχεῖ γὰρ αὐτῶν, καὶ οὐδὲν πάσχουσι, διὰ τὸ σέβας τῶν θεῶν.

ρομένοις βωμὸς ἄρης φυγάσι
ῥῦμα, δαιμόνων σέβας, εἰ θείη Διὸς εὖ παναληθῶς.
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
πάντα τοι φλεγέθει κἂν σκότῳ.
μελαίνᾳ ξὺν τύχᾳ μερόπεσσι λαοῖς.
πίπτει δ᾽ ἀσφαλῶς οὐδ᾽ ἐπὶ νώτῳ,
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων δάσκιοί τε τείνουσι πόροι,
κατιδεῖν ἄφραστοι. ἰάπτει δὲ ἀπίδων
ἀφ᾽ ὑψιπύργων πανώλεις βροτούς, βίαν
δ᾽ οὔτιν᾽ ἐξοπλίζει, τὰν ἄπονον δαιμονίων.
ἥμενον ἄνω φρόνημά πως αὐτόθεν ἐξέπραξεν ἔμπας,
ἑδράνων ἐφ᾽ ἁγνῶν. ἰδέσθω δ᾽ ἐς ὕβριν
βρότειον, οἷα νεάζει πυθμὴν δι᾽ ἁ-
μὸν γάμον τὸ θάλος δυσπαραβούλοισι φρεσί,
καὶ διάνοιαν μαινόλιν κέντρον ἔχων ἄφυκτον, ἄτᾳ
δ᾽ ἀπάτᾳ μεταγνούς.
τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω
λιγέα βαρέα δακρυοπετῆ. ἰή, ἰή.

¶Διὸς ἵμερος] γνωμικῶς, παρὰ τὸ, ἀνὴρ δέ κεν οὔτις Διὸς νόον εἰρύσαιτο. ¶Πάντα τοι φλεγέθει] ἐν παντὶ τόπῳ λάμπει, κἂν διὰ σκότου χωρῇ. τοῖς μὲν ἀνθρώποις οὐκ ἀσπωπός ἐστιν, ἀλλὰ μέλαινά τις αὐτοῖς κατὰ τὸ συντυχία. ¶Πίπτει δ᾽ ἀσφαλῶς] εἰ δέ τι ἀνυσθῇ τῷ νεύματι τοῦ Διός, ἀσφαλῶς πίπτει, ἀποβαίνει ἀσφαλῶς, ἤγουν ἀκινδύνως. ¶Οὐδ᾽ ἐπὶ νώτῳ] ἀσχημόνως. τὸ γὰρ εἰς νῶτον πίπτειν τοὺς παλαιστὰς, ἄσχημόν ἐστιν. ¶Πραπίδων δάσκιοι] πυκνοὶ γάρ εἰσιν οἱ τῶν πραπίδων αὐτοῦ τοῦ Διὸς πόροι. ¶Πανώλεις] τοὺς τοῦ ὀλέσθαι ἀξίους. ¶Ἥμενον ἄνω φρόνημα] τὸ δὲ φρόνημα αὐτοῦ ἐπὶ τῶν ἁγνῶν ἑδρασμάτων ἐφήμενον, ἐξέπραξε τὸν σκοπὸν ἑαυτοῦ αὐτόθεν ἀπὸ τῶν ἁγνῶν ἑδρασμάτων, ὅ ἐστιν οὐρανοῦ. Ἄλλως. ἢ τὸ ἄνω ἱδρυμένον, ἢ τὸ ἑδραῖον. ¶Πυθμὴν] αὐτὸς ὁ Αἴγυπτος. ¶Τὸ θάλος] ἡ ῥίζα τῶν πεντήκοντα παίδων, ὅ ἐστιν Αἴγυπτος αὐτός. ¶Διάνοιαν μαινόλιν] οὐ φύλλοις, ἀλλὰ τῇ ἀνοίᾳ τῶν παίδων ἑαυτοῦ, καὶ διάνοιαν μαινόλιν ἔχων· ὃ γάρ ἐστι κέντρον ἄφυκτον. ¶Ἀπάτᾳ] τῇ ἀπατητικῇ. ¶Δακρυοπετῆ] παρασκευαστικὰ τοῦ πίπτειν τὰ δάκρυα τῶν ἀκουόντων.

ἰηλέμοισιν ἐμπρεπῆ θρεομένα μέλη,
ζῶσα γόοις με τιμῶ. ἱλέομαι μὲν ἀπίαν βοῦνιν,
καρβᾶνα δ᾽ αὐδὰν εὐακοεῖς·
πολλάκι δ᾽ ἐμπίτνω ξὺν λακίδι, λίνοισιν, ἢ
σιδονία καλύπτρα. θεοῖς δ᾽ ἐναγέα τέλεα, πελομένων
ἐπιδρομῶσ᾽ ὅπη θάνατος ἀπῇ. ἰὼ ἰὼ, (καλῶς,
ἰὼ, δυσάγκριτοι πόνοι. ποῖ τόδε κῦμ᾽ ἀπάξει;
ἱλέομαι μὲν ἀπίαν βοῦνιν, καρβᾶνα δ᾽ αὐδὰν
εὐακοεῖς· πολλάκι δ᾽ ἐμπίτνω ξὺν λακίδι,
λίνοισιν, ἢ σιδονία καλύπτρα.
πλάτα μὲν οὖν λινορραφής τε δόμος ἅλα στέγων, δορὸς
ἀχείματόν μ᾽ ἔπεμπε σὺν πνοιαῖς·
οὐδὲ μέμφομαι· τε- λευτὰς δ᾽ ἐν χρόνῳ
πατὴρ ὁ παντόπτας πρευμενὴς κτίσειε
σπέρμα σεμνᾶς μέγα ματρὸς εὐνὰς ἀνδρῶν, ἒ ἔ, (ἁγνά
ἄγαμοι ἀδάμαντοι ἐκφυγεῖν. θέλουσα δ᾽ αὖ θέλουσαν
μ᾽ ἐπιδέτω Διὸς κόρα, ἔχουσα σέμν᾽ ἐνώπι᾽ ἀσφαλές,
παντὶ δὲ σθένοισι διωγμοῖσι δ᾽ ἀσφαλείας
ἀδμήτας ἀδμήτα ῥύσιος γενέσθω.
σπέρμα σεμνᾶς μέγα ματρὸς, εὐνὰς ἀνδρῶν (ἒ ἔ)
ἄγαμοι ἀδάμαντοι ἐκφυγεῖν. εἰ δὲ μὴ, μελανθὲς
ἡλιόκτυπον γένος τὸν γάιον τὸν πολυξενώτατον

¶Ζῶσα γόοις με τιμῶ] γράφεται, ζῶσαν οἷς με τιμᾷ. ¶Ἱλέομαι] ἱλάσκομαι. ¶Βοῦνιν] τὴν γῆν, κατὰ βαρβάρους. ¶Εὐακοεῖς] νοεῖς καὶ τὴν βάρβαρον φωνήν. ¶Καλύπτρα] τῷ κεφαλοδέσμῳ. ¶Θεοῖς δ᾽ ἐναγέα] ὅπου δὲ θάνατος ἀπῇ, ἐκεῖ τῶν ἀνθρώπων ἀπαραγόντων, τιμαὶ τοῖς θεοῖς ἐπιτρέχουσιν. ἐναγέα δὲ, ἐναγίσματα. ¶Δυσάγκριτοι] δυσδιάγνωστοι. ¶Ἀπάξει] ἡμᾶς. ¶Ἐμπίτνω ξὺν λακίδι] τῷ διαχισμῷ ἐμπίπτω. ¶Λινορραφής τε δόμος] ἡ ναῦς· παρόσον τεχνῶντες τὰς ναῦς, σπάρτοις αὐτὰς συνέρραπτον. ὡς τὸ παρ᾽ Ὁμήρῳ, νῆας ἀκειόμενοι, τὸ συῤῥάπτοντες δηλοῖ. ὅθεν καὶ ἀκεστρίας τὰς ῥαπτρίας φασί. ¶Ἅλα στέγων] τῆς θαλάσσης εἴργων. ¶Τελευτὰς δ᾽ ἐν χρόνῳ] ἴσον τῷ πρὸς τὴν ἀρχὴν ὅστις καὶ τὸ τέλος. ¶Σπέρμα σεμνᾶς μέγα ματρὸς] ὁ Ἔπαφος. ¶Ἐκφυγεῖν] λείπει τὸ δεῖν. ¶Θέλουσα δ᾽ αὖ θέλουσαν] θέλουσάν με ἡ ἁγνή. ¶Ἐνώπι᾽ ἀσφαλές] ἀσφαλῶς ἐπιδέτω με. ¶Ῥύσιος γενέσθω] ἀντὶ τοῦ, ῥυσάσθω ἡ παρθένος ἡμᾶς τὰς παρθένους. ¶Εἰ δὲ μὴ] εἰ δὲ μὴ ῥύσεται. ¶Τὸν πολυξενώτατον] τὸν καταχθόνιον ᾅδην.

ζῶα τῶν κεκμηκότων ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι, μὴ τυχοῦσαι θεῶν ὀλυμπίων.
ὦ Ζεῦ Ἰοῦς ἰὼ μῆνις μάστειρ' ἐκ θεῶν.
κοννῶ δ' ἄταν γαμετᾶς οὐρανόνικον.
χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών.
καὶ τότ' οὐ δικαίοις Ζεὺς ἐνεύξεται λόγοις,
τὸν τᾶς βοὸς παῖδ' ἀτιμάσας, τὸν αὐ-
τός ποτ' ἔκτισεν γόνῳ, νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν· ὑψόθεν δ' εὖ κλύοι καλούμενος.

Δα. Παῖδες φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἵκετε
πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβὼν
αἰνῶ, φυλάξαι τἄμ' ἔπη δελτουμένας.
ὁρῶ κόνιν ἄναυδον ἄγγελον στρατοῦ,
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι.
ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω, ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασι·
τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ' εἴτ' ἀπήμων εἴτε καὶ τεθυμμένος
ὠμῇ ξὺν ὀργῇ, τόνδ' ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς εἵνεκ' ὦ κόραι,
πάγον προσίζειν τῶνδ' ἀγωνίων θεῶν.

¶Θεῶν ὀλυμπίων] ὦ Ζεῦ ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ Ἰοῦς, ἐστὶ μαστιγωτική. ¶Οὐρανόνικον] τὴν τῆς ἥρας τῆς ἐν αἰθρίᾳ νικώσης πάντας τοὺς ἐν οὐρανῷ θεούς. καὶ ἐφ' ἡμᾶς νῦν ἔφθασεν ἡ μῆνις τῆς ἥρας (πρὸς τὸ ἄνω τοῦτο, τὸν πολυξενώτατον ζῶα τῶν κεκμηκότων ἱξόμεσθα) χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών. τὰ δ' ἄλλα διὰ μέσου ἀναπεφώνηται. ¶Καὶ τότ' οὐ δικαίοις] τὸ ἑξῆς, καὶ τότ' οὐ δικαίοις ἐντεύξεται Ζεὺς λόγοις, νῦν ἔχων παλίντροπον ὄψιν λιταῖς. ἀναπολόγητος ἔσται, φησίν, ὅταν ἡμᾶς παρίδῃ ἀπολλυμένας. ¶Τῷδε ναυκλήρῳ] ἐξάρχῳ. ¶Καὶ τἀπὶ χέρσου] ὡς τὰ ἐν θαλάσσῃ. ¶Δελτουμένας] ἀπογραφομένας. ¶Ἐπόρνυται στόλον] τὸν πρὸς ἡμᾶς στόλον μετ' ὁρμῆς ποιεῖται. ¶Τῶνδ' ἀγωνίων θεῶν] στρογγύλα γάρ ἐστι τὰ ἱερεῖα καὶ γωνίας οὐκ ἔχοντα.

κρέσσον δὲ πύργου βωμὸς ἄῤῥηκτον σάκος.
ἀλλ' ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκτηρίας ἀγάλματ' αἰδοίου Διὸς,
σεμνῶς ἔχουσαι διὰ χερῶν εὐωνύμων,
αἰδοῖα καὶ γοεδνὰ καὶ τὰ χρεῖ' ἔπη
ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
φθογγῇ δ' ἑπέσθω, πρῶτα μὲν τὸ μὴ θρασὺ,
τὸ μὴ μάταιον δ' ἐκ μετώπων σωφρόνων
ἴτω πρόσωπον ὄμματος παρ' ἡσύχου.
καὶ μὴ πρόλεσχος μηδ' ἐφολκὸς ἐν λόγῳ
γένῃ· τὸ τῇδε κάρτ' ἐπίφθονον γένος.
μέμνησο δ' εἴκειν· χρεῖος εἶ ξένη φυγάς.
θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.
χο. Πάτερ φρονούντως πρὸς φρονούσας ἐννέπεις.
φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς. Ζεὺς δὲ γεννήτωρ ἴδοι.
πρ. Μή νυν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος.
χο. Θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.
πρ. Ὦ Ζεῦ, κόπων οἴκτειρε μὴ ἀπολωλότας.
χο. Ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος·
κείνου θέλοντος εὖ τελευτήσει τάδε.
πρ. Καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.
χο. Καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους,
ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν.

¶Λευκοστεφεῖς] λευκοῖς ἐρίοις ἐστεμμένας. ¶Ἔχουσαι διὰ χερῶν] τὸ δεῖν, ἀντὶ χειρὶ τῇ δεξιᾷ τῶν ἀγαλμάτων, τῇ ἀριστερᾷ τοὺς κλάδους κατέχουσαι. ¶Μὴ πρόλεσχος] μὴ πολλὰ προοιμιάζου. ¶Μηδ' ἐφολκὸς] μήτε προτέρω κατάρχου τοῦ λόγου, μήτε ἀμειβομένη μακρολόγει. ¶Χρεῖος] ἐπικουρίας χρῄζεις. ¶Ζεὺς γεννήτωρ] ὁ ἔφορος τοῦ γένους. ¶Πέλας θρόνους] ὡς αὐτοῦ ἤδη καθεσθέντος. ¶Μὴ ἀπολωλότας] μὴ ἐάσῃς ἀπολέσθαι ἐκτριβείσας ἡμᾶς. ¶Καὶ Ζηνὸς ὄρνιν] ἥλιον. ἐξαιτήσατε ὑμᾶς ὡς ὁ ἀλεκτρυών.

ἰδὼν δ᾽ ἂν αὐτὴν τήνδε, συγγνώη βροτοῖς.
πρ. Σύγγνοιτο δῆτα καὶ παραςταίη πρόφρων.
χο. Τίν᾽ οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
πρ. Ὁρῶ τρίαιναν τήνδε, σημεῖον θεοῦ.
χο. Ἀλλ᾽ εὖ τ᾽ ἔπεμψεν, εὖ τε δεξάσθω χθονί.
πρ. Ἑρμῆς ὅδ᾽ ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
χο. Ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
πρ. Πάντων δ᾽ ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ᾽ ἐν ἁγνῷ, ἑσμὸς ὡς πελειάδων,
ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
πῶς δ᾽ ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα,
ἁγνὸς γένοιτ᾽ ἄν; οὐδὲ μὴ ᾽ν ἅδου θανὼν
φύγῃ ματαίων αἰτίας, πράξας τάδε.
κἀκεῖ δικάζει τἀμπλακήμαθ᾽, ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τρόπον,
ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.
βα. Ποδαπὸν ὅμιλον τόνδ᾽ ἀνέλληνα στόλον,
πέπλοισι βαρβάροισι καὶ πυκνώμασι
χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν, οὐδ᾽ ἀφ᾽ Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὐδὲ κηρύκων ὕπο,
ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
ἔτλητ᾽ ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὴν δὴ κατὰ νόμους ἀφικτόρων,
κεῖνται παρ᾽ ὑμῖν πρὸς θεοῖς ἀγωνίοις.
μόνον τόδ᾽ Ἑλλὰς χθὼν συνοίσεται στόχῳ.
καὶ τἄλλα πόλλ᾽ ἐπεικάσαι δίκαιον ἦν

¶ Σύγγνοιτο] συγγένοιτο.
¶ Τρίαιναν] ἀχαρῆ.
¶ Σημεῖον θεοῦ] τοῦ ποσειδῶνος.
¶ Ἑρμῆς ὅδ᾽ ἄλλος] ὡς τῶν αἰγυπτίων ἄλλως αὐτὸν χαρίντων.
¶ Ὁμαίμων] τῶν συγγενῶν ἡμῶν.
¶ Ἄκοντος] παρὰ πατρὸς ἄκοντος.
¶ Ὑστάτας] μεθ᾽ ἃς οὐκ ἔστιν ἄλλη τιμωρία.
¶ Ἀνέλληνα] τὸν οὐχ ἕλληνα κατὰ στολήν.
¶ Χλίοντα] τρυφῶντα.
¶ Οὐδὲ κηρύκων] μὴ ἐπικηρυκευσάμεναι.
¶ Ἡγητῶν] πρέσβεων.
¶ Ἀφικτόρων] τῶν ἱκετικῶν ἱκετῶν.
¶ Συνοίσεται] συμφωνήσει.

εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.
Χο. Εἴρηκας ἀμφὶ κόσμον, ἀψευδῆ λόγον.
ἐγὼ δὲ πρὸς σε πότερον ὡς ἔτην λέγω,
ἢ τηρὸν ἱεροῦ ῥάβδον ἢ πόλεως ἀγόν.
Βα. Πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσῶς ἐμοί.
τοῦ γηγενοῦς γὰρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις Πελασγοῦ, τῆσδε γῆς ἀρχηγέτης.
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα·
καὶ πᾶσαν αἶαν, ἧς δι' Ἄλγος ἔρχεται,
Στρυμόνα τε πρὸς δύνοντος ἡλίου, κρατῶ.
ὁρίζομαι δὲ τήνδε Περραιβῶν χθόνα,
Πίνδου τε τἀπέκεινα, Παιόνων πέλας,
ὄρη τε Δωδωναῖα· συντέμνει δ' ὅρος
ὑγρᾶς θαλάσσης· τῶνδε τἄπειτα δὲ κρατῶ.
αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε
πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν.
Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
ἰατρόμαντις παῖς Ἀπόλλωνος χθόνα
τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων·
τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασι
χρανθεῖσ' ἀνῆκε γαῖα μηνιν καὶ δάκη,
δρακονθ' ὅμιλον, δυσμενῆ ξυνοικίαν,
τούτων ἄκη τομαῖα καὶ λυτήρια

¶Εἰ μὴ παρόντι] ἔμελλον ἐν στοχασμῷ τὰ καθ' ὑμᾶς λέγειν, εἰ μὴ φωνὴν εἴχετε. ¶Ἀμφὶ κόσμον] περὶ τοῦ κόσμου ἡμῶν, ὅτι βάρβαρος. ¶Ἔτην] ἰδιώτην δημότην. ¶Τηρὸν] φύλακα. ¶Παλαίχθονος] παλαίχθων ὄνομα κύριον. ¶Καὶ πᾶσαν αἶαν] ἀντὶ τοῦ, καὶ πάσης αἴας. ¶Πρὸς δύνοντος] τοῦ πρὸς δυσμαῖς μέρους στρυμόνος κρατῶ. στρυμὼν δὲ, ποταμὸς θρᾴκης. ¶Συντέμνει δ' ὅρος] ὁ δὲ ὅρος ὁ ἡμέτερος τὰ ἐπὶ δωδώνην ἔχει, ἕως τῆς θαλάσσης· καὶ ἐπέκεινα δὲ τῆσδε κρατῶ. ¶Ἐκ πέρας ναυπακτίας] τοῦ πέρατος. ἀνεχρόνισε δὲ· τῶν γὰρ ἡρακλειδῶν ναυσὶ διαβαινόντων εἰς ἄργος, οὕτως ἐκλήθη ναύπακτος. ¶Παλαιῶν αἱμάτων] ἀπὸ τῶν πολιτῶν αὐτοκτονουμένων. ¶Δρακονθ' ὅμιλον] τὸ αὐτὸ καὶ δρακόντων πλῆθος.

προσάξας ἀμέμπτως Ἆπις Ἀργείᾳ χθονί,
μνήμην ποτ' ἀντίμισθον εὗρετ' ἐν λιταῖς.
ἔχουσ' ἂν ἤδη τάτ' ἐμοῦ τεκμήρια,
γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω·
μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις.
χο. Βραχὺς τορός θ' ὁ μῦθος, Ἀργεῖαι γένος
ἐξευχόμεσθα, σπέρματ' εὐτέκνου βοός·
καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ.
βα. Ἄπιστα μυθεῖσθ' ὦ ξέναι κλύειν ἐμοί,
ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
γυναιξίν ἐστε, κοὐδαμῶς ἐγχωρίαις.
καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτόν,
Κύπριος χαρακτήρ τ' ἐν γυναικείοις τύποις,
εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων·
Ἰνδούς τ' ἀκούω νομάδας ἱπποβάμοσιν
εἶναι καμήλοις ἀστραβιζούσας χθόνα
παρ' Αἰθίοψιν ἀστυγειτονουμένας.
καὶ τὰς ἀνάνδρους κρεοβόρους δ' Ἀμαζόνας
εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ἤκασα
ὑμᾶς. διδαχθεὶς δ' ἂν τόδ' εἰδείην πλέον,
ὅπως γενέθλον σπέρμα τ' Ἀργεῖον τὸ σόν.
χο. Κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ
Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονί,
ἰὼ, ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ.
βα. Μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ;
χο. Καὶ κρυπτά γ' Ἥρας ταῦτα τῶν παλλαγμάτων.
βα. Πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε;
χο. Βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεός.
βα. Οὐκοῦν πελάζει Ζεὺς ἐπ' εὐκραίρῳ βοΐ;

¶Προσφύσω] ἀποδείξω.
¶Κύπριος χαρακτὴρ] καὶ γυναῖκας αἱ κύπριαι ἀνδράσι μιγεῖσαι τίκτουσι καθ' ὑμᾶς.
¶Ἱπποβάμοσιν] ἵπποις ἐοικυίαις κατὰ τὸ τάχος. ¶Καμήλοις] καμήλοις νωτοφορουμέναις κατὰ τὴν χθόνα. ἀστράβη γὰρ λέγεται ὁ νωτοφόρος ἡμίονος. ¶Καὶ τὰς ἀνάνδρους] λείπει ἐστί. ¶Κληδοῦχον] ἱέρειαν. ¶Παλλαγμάτων] αἱ παλλακαί. ¶Νείκη τάδε] νείκη Διὸς καὶ Ἥρας εἰς τί κατέληξαν;
¶Βοῦν τὴν γυναῖκα] τὴν δηλονότι γεγαμημένην ὑπὸ Διὸς μεταμόρφωσιν τῆς Ἰοῦς τῆς θεᾶς ποιησάσης.

χο. Φασὶ πρέποντα βουθόρῳ ταύρῳ δέμας.
βα. Τί δῆτα πρὸς ταῦτ' ἄλοχος ὀχυρὰ Διός;
χο. Τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ.
βα. Ποῖον πανόπτην οἰοβουκόλον λέγεις;
χο. Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε.
βα. Τί οὖν ἔτευξεν ἄλλο δυσπότμῳ βοΐ;
χο. Βοηλάτην μύωπα, κινητήριον,
οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
βα. Τοιγάρ νιν ἐκ τῆς ἤλασεν μακρῷ δρόμῳ.
χο. Καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί.
βα. Καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο;
χο. Καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.
βα. Τί οὖν, ὁ δῖος πόρτις εὔχεται βοός;
χο. Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος
Λιβύη μέγιστον τῆσδε γῆς καρπουμένη.
βα. Τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλάστημον λέγεις;
χο. Βῆλον δίπαιδα πατέρα τοῦδ' ἐμοῦ πατρός.
βα. Τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον.
χο. Δαναὸς, ἀδελφὸς δ' ἐστὶ πεντηκοντόπαις·
καὶ τοῦ γε Δαναοῦ τοὔνομ' εὐφώνῳ λόγῳ
Αἴγυπτος. εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος,
πράσσοις ἂν ὡς ἀργεῖον ἀνστήσας στόλον.
βα. Δοκεῖτέ μοι τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον· ἀλλὰ πῶς πατρῷα δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
χο. Ἄναξ πελασγῶν, αἰόλ' ἀνθρώπων κακά·
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταυτὸν πτερόν.
ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν
κέλσειν ἐς Ἀργοσκῆδος ἐγγενὲς τὸ πρὶν,
ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων;

¶Ἤλασεν] δὶς αὐτὴν ἤλασε μακρῷ δρόμῳ.
¶Συγκόλλως] συμφώνως.

¶Τίν' οὖν ἔτ' ἄλλον] ὁ Εὐριπίδης φησὶ παῖδας εἶναι Βήλου, Αἴγυπτον, Δαναὸν, Φοίνικα, Φινέα, Ἀγήνορα.
¶Τοῦτό μοι φράσον] τὸ πατρός.

βα. Τί φῂς ἱκνεῖσθαι τῶνδ᾽ ἀγωνίων θεῶν,
λευκοστεφεῖς ἔχουσα νεοδρέπτοις κλάδοις;
χο. Ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει.
βα. Πότερα κατ᾽ ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;
χο. Τίς δ᾽ ἂν φίλους ὤνοιτο τοὺς κεκτημένους;
βα. Σθένος μὲν οὕτω μεῖζον αὔξεται βροτοῖς.
χο. Καὶ δυστυχούντων γ᾽ εὐμαρὴς ἀπαλλαγή.
βα. Πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;
χο. Αἰτοῦσι μὴ 'κδοὺς παισὶν Αἰγύπτου πάλιν.
βα. Βαρέα σύ γ᾽ εἶπας, πόλεμον ἄρασθαι νέον.
χο. Ἀλλ᾽ ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ.
βα. Εἴπερ γ᾽ ἀπ᾽ ἀρχῆς πραγμάτων κοινωνὸς ἦν.
χο. Αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ᾽ ἐστεμμένην.
βα. Πέφρικα λεύσσων τάσδ᾽ ἕδρας κατασκίους.
χο. Βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.
χο. Παλαίχθονος τέκος κλῦθί μου,
πρόφρονι καρδίᾳ πελασγῶν ἄναξ.
ἴδε μέγαν ἱκέτιν φυγάδα περίδρομον,
λευκόστικτον ὡς δάμαλιν ἀμπέτραις
ἠλιβάτοισιν. ἀλκᾷ πίσυνος μέμυκε φράζου-
σα βοτῆρι μόχθους.
βα. Ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
νέον θ᾽ ὅμιλον τῶνδ᾽ ἀγωνίων θεῶν.
εἴη δ᾽ ἄνατον πρᾶγμα τοῦτ᾽ ἀστοξένων·
μηδ᾽ ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει,

¶Τί φῂς ἱκνεῖσθαι] διὰ τί λέγεις ἐληλυθέναι. ¶Πότερα] τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὤνοιτο; ¶Ἢ τὸ μὴ θέμις] ἢ ὅτι ἀθέμιτος γάμος; ὥστε γὰρ αὐτὰς ἐκδίδοσθαι ἤδη ἄλλοις ἀνδράσιν. ¶Τίς δ᾽ ἂν] κατ᾽ ἔχθραν, δηλονότι. τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὤνοιτο; ¶Εἴπερ γ᾽ ἀπ᾽ ἀρχῆς] συνέπραξα ἂν ὑμῖν, εἰ ἀρχὴν προφάσεως εἶχον. ¶Κατασκίους] τοῖς θαλλοῖς ἱκετηρίων κλάδων πεπληρωμένας. ¶Βοτῆρι] τῷ ἑαυτῆς βοτῆρι σημαίνουσα τοὺς διωγμούς. ¶Ὁρῶ κλάδοισι] ὁρῶ ὅμιλον θεῶν ἐστεμμένον ἱκετείαις. ¶Ἀστοξένων] τῶν νῦν μὲν ξένων, πρόσθεν δὲ συγγενῶν τῷ ἄστει.

νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.
χο. Ἴδοιτο δῆτα τὰν ἄνατον φυγὰν,
ἱκεσία θέμις Διὸς κλαρίου·
σὺ δὲ παρ' ὀψιγόνου μάθε γέρων ὤν
ποτιτρόπαιον αἰδόμενος, οὗπερ
ἱεροδόκα θεῶν λήμ- ματ' ἀπ' ἀνδρὸς ἁγνοῦ.
βα. Οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν, τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
ἀστῶν δὲ πᾶσι τοῖσδε κοινώσας πέρι.
χο. Σύ τοι πόλις, σὺ δὲ τὸ δήμιον,
πρύτανις ἄκριτος ὤν, κρατύνεις βωμὸν ἑστίαν χθονός,
μονοψήφοισι νεύμασι σέθεν,
μονοσκήπτροισι δ' ἐν θρόνοισι χρέος
πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.
βα. Ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις,
ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ·
οὐδ' αὖ τόδ' εὖφρον, τάσδ' ἀτιμάσαι λιτάς·
ἀμηχανῶ δὲ, καὶ φόβος μ' ἔχει φρένας
δρᾶσαι τε, μὴ δρᾶσαι τε, καὶ τύχην ἑλεῖν.
χο. Τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει, φύλακα πολυπόνων
βροτῶν, οἳ τοῖς πέλας προσήμενοι
δίκας οὐ τυγχάνουσιν ἐννόμου·

¶ Ἄνατον φυγὰν] τὴν μὴ ἐπὶ βλάβῃ τινὸς γενομένην. ¶ Διὸς κλαρίου] πάντα πᾶσι κληροῦντος καὶ κραίνοντος. ¶ Παρ' ὀψιγόνου] παρ' ἐμοῦ τῆς νεωτέρας ὁ γέρων. ¶ Αἰδόμενος] οὐ πτωχεύσεις. ¶ Ἱεροδόκα] οἱ θεοὶ δέχονται τὰ ἀπὸ ἀνδρὸς ἁγνοῦ ἱερά. ¶ Δωμάτων ἐφέστιοι] οὐ πρὸς τὴν ἑστίαν τῶν ἐμῶν δωμάτων. ὅ ἐστι, οὐχ ἰδίᾳ πρὸς ἐμὲ πεποίησθε τὰς ἱκεσίας, ἀλλὰ πρὸς πᾶσαν τὴν πόλιν. ¶ Εἰ μιαίνεται] εἰ δὲ τὸ κοινὸν μιαίνεται, ὅ ἐστιν ἡ πόλις. ¶ Ἄκριτος] ἀνυπεύθυνος. ¶ Παλιγκότοις] ἐχθροῖς. ¶ Καὶ τύχην ἑλεῖν] τοῦ συμφέροντος ἐπιτυχεῖν. ¶ Φύλακα πολυπόνων] τὸν ξένιον καὶ ἱκέσιον Δία, τὸν φύλακα τῶν ἀτυχούντων· οἵτινες τοῖς πέλας προσιζάνοντες, οὐ καταλαμβάνουσι τῆς δίκης, ἀλλ' ὑπερορῶνται.

μένει τοι Ζηνὸς ἱκταίου κότος
ἐν δυσπαρθέλκτοις παθόντος οἴκτοις.
βα. Εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν,
νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι;
δεῖ τοι σε φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
ὡς οὐκ ἔχουσι κῦρος οὐδὲν ἀμφὶ σοῦ.
χο. Μήτι ποτ' οὖν γενοίμαν ὑποχείριος
κράτεσιν ἀρσένων· ὕπαστροι δέ τοι
μῆχαρ ὁρίζομαι γάμου δύσφρονος,
φυγᾷ. ξύμμαχον δ' ἑλόμενος δίκαν
κρῖνε σέβας τὸ πρὸς θεῶν.
βα. Οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτήν.
εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε
πράξαιμ' ἄν, οὐδέπερ κρατῶν, καὶ μή ποτε
εἴπῃ λεώς, εἴ που τι μὴ τοῖον τύχοι,
ἐπήλυδας τιμῶν, ἀπώλεσας πόλιν.
χο. Ἀμφοτέροις ὁμαίμων τάδ' ἐπισκοπεῖ
Ζεὺς ἑτερορρεπής, νέμων εἰκότως
ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.
τί, τῶνδ' ἐξ ἴσου ῥεπομένων, μεταλ- γεῖς τὸ δίκαιον ἔρξαι;
βα. Δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν
δεδορκὸς ὄμμα, μηδ' ἄγαν οἰνωμένον,
ὅπως ἄνατα ταῦτα, πρῶτα μὲν πόλει,

¶Ζηνὸς ἱκταίου] τοῖς θρήνοις τῶν πασχόντων συμμαχεῖ ὁ τοῦ Διὸς χόλος. ¶Δυσπαρθέλκτοις] δυσπαρθωνήτοις. ¶Ὕπαστροι δέ τοι] τὴν δὲ τοῦ γάμου μηχανὴν ὁρίζομαι τοῖς ἄστροις. αὐτὸ τοῦτο, μηχανήσομαι φεύγειν διὰ ὁδοῦ μακρᾶς τὸν γάμον. οἱ γὰρ μακρὰν ὁδὸν φεύγοντες, δι' ἄστρων σημαίνεσθαι ἔλεγον. ¶Νέμων εἰκότως] αὐτὸς ἐπεξηγήσατο τὸ ἑτερορρεπής. ¶Τί τῶνδ' ἐξ ἴσου] εἰ ὁ Ζεύς, φησί, τὸ ἴσον φυλάττει, τί δυσπορεῖς συμμαχῆσαι τῷ δικαίῳ; ¶Δεῖ τοι βαθείας] δεῖ δὴ εἰς βυθὸν μολεῖν φροντίδος βαθείας σωτηρίου, δίκην κολυμβητῆρος. ὅπως ἂν τοῖς συγκειμένοις συμβαίνῃ, τὸ πόρρωθεν σκοπεῖν καὶ περιβλέπεσθαι.

αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσῃ καλῶς,
καὶ μήτε δῆρις ῥυσίων ἐφάψεται,
μήτ' ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας
ἐκδόντες ὑμᾶς, τὸν πανώλεθρον θεὸν
βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα·
ὃς οὐδ' ἐν ᾅδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;
Χο. Φρόντισον καὶ γενοῦ πανδίκως εὐσεβὴς
πρόξενος, τὰν φυγάδα μὴ προδῷς,
τὰν ἕκαθεν ἐκβολαῖς δυσθέοις ὁρμωμέναν,
μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν πολυθέων ῥυσια-
σθεῖσαν, ὦ πᾶν κράτος ἔχων χθονός.
γνῶθι δ' ὕβριν ἀνέρων, καὶ φύλαξαι κότον.
μή τι τλαίης τὰν ἱκέτιν εἰσιδεῖν
ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν
ἱππηδὸν, ἀμπύκων πολυμίτων πέπλων
τ' ἐπιλαβὰς ἐμῶν. ἴσθι γὰρ παισὶ τάδε καὶ δόμοις,
ὁπότερ' ἂν κτίσῃς, μένειν ἀντίνειν
ὁμοίαν θέμιν. τάδε φράσαι δίκαια Διόθεν κράτη.
Βα. Καὶ δὴ πέφρασμαι· δεῦρο δ' ἐξοκέλλεται.
ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἱρεσθαι μέγαν
πᾶσ' ἔστ' ἀνάγκη· καὶ γεγόμφωται σκάφος
στρέβλαισι ναυτικαῖσιν, ὡς προσηγμένον.
ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
καὶ χρήμασιν μὲν ἐκ δόμων πορθουμένων,

¶Ῥυσίων] ἀντὶ τῶν ἱκετίδων. ¶Δυσθέοις] διωγμοῖς ἀθέοις. ¶Κότον] τὸν τοῦ Διός. ¶Βίᾳ δίκας] παρὰ βούλησιν τῆς δίκης. ¶Ἀμπύκων] ὡς ἵππων, τῆς ἄμπυκος ἑλκομένην. ¶Ἐπιλαβὰς ἐμῶν] τὰς ἐπιλήψεις τῶν πέπλων μου. ¶Ἴσθι γάρ] λείπει ὅτι. ἀπὸ κοινοῦ δὲ τὸ, μὴ τλαίης ἰδεῖν. ¶Ὁμοίαν θέμιν] δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην. Αἴκε πάθῃ τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο. ¶Δεῦρο δ' ἐξοκέλλεται] οὕτως ἀποβαίνει. ¶Ἢ τοῖσιν ἢ τοῖς] ἢ τοῖς θεοῖς ἢ τοῖς αἰγυπτιάδαις. ¶Χρήμασι] χρημάτων.

ἄτης γε μείζω, καὶ μέγ' ἐμπλήσας γόμον,
γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν·
καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
γένοιτο μύθου μῦθος ἂν θελκτήριος,
ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια.
ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
δεῖ κάρτα θύειν, καὶ πεσεῖν χρηστήρια
θεοῖσι πολλοῖς, πολλὰ πημονῆς ἄκη.
ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
θέλω δ' ἄιδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι. γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.
χο. Πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.
βα. Ἤκουσα, καὶ λέγοις ἄν, οὔ με φεύξεται.
χο. Ἔχω στρόφους ζώνας τε, συλλαβὰς πέπλων.
βα. Τύχῃ γυναικῶν ταῦτα συμπρεπῆ πέλοι.
χο. Ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή.
βα. Λέξον τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσῃ.
χο. Εἰ μή τι πιστὸν τῷδ' ὑποστήσεις στόλῳ.
βα. Τί σοι περαίνει μηχανὴ συζωμάτων;
χο. Νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.
βα. Αἰνιγματῶδες τοὔπος· ἀλλὰ πῶς, φράσον.
χο. Ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.
βα. Ἤκουσα μαχιστῆρα καρδίας λόγον.
χο. Ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.
βα. Καὶ πολλαχῇ γε δυσπάλαιστα πράγματα·

¶Καὶ μέγ' ἐμπλήσας] τοῦ Διὸς ἐμπιπλῶντος καὶ γεμίζοντος ἄτης τὸν γόμον. ¶Γλῶσσα τοξεύσασα] ἀντὶ τοῦ γλώσσης τοξευσάσης. ὃ δεῖν εἰπούσης. ¶Πημονῆς ἄκη] τῆς προσδοκωμένης πημονῆς ἄκη. ¶Ἐγὼ παροίχομαι] καὶ τοῦτο ποιῶν, ἐκτὸς ἔσομαι τοῦ νείκους, θεοῖς ὑπηρετῶν. ¶Θέλω δ' ἄιδρις] μαίης ἀπὸ βαιῶν φαῦλος. ¶Συλλαβὰς] τὰς στροφὰς τῶν ζωνῶν. ¶Νέοις πίναξι] καινοῖς ἀναθήμασι τὰ ἀγάλματα τῶν θεῶν κοσμῆσαι. λέγει δὲ ὅτι μετεωρήσω ἐμαυτὸν τῇ ἀγχόνῃ. ¶Ἀπάγξασθαι θεῶν] ἐξήρτημαι τῶν θεῶν. ¶Μαχιστῆρα καρδίας] ἤκουσα λόγον καρδίας δηκτικόν. ¶Δυσπάλαιστα] δυσμεταχείριστα. ἀπὸ κοινοῦ τὸ ἤκουσα.

κακῶν δὲ πλῆθος, ποταμὸς ὥς, ἐπέρχεται·
ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον
τόδ' ἐσβέβηκε, κ'οὐδαμοῦ λιμὴν κακῶν.
εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
μίασμ' ἔλεξας οὐχ' ὑπερτοξεύσιμον·
εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν,
σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον;
ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
σὺ μὲν πάτερ γεραιὲ τῶνδε παρθένων,
κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβών,
βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
θὲς, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
πάντες πολῖται, μηδ' ἀποῤῥιφθῇ λόγος
ἐμοῦ. κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.
καὶ γὰρ τάχ' ἄν τις οἶκτος εἰσιδὼν τάδε,
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου·
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος.
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει. ☞
χο. Πολλῶν τάδ' ἡμῖν ἐστὶν ἠξιωμένα,
αἰδοῖον εὑρεθέντα πρὸς ξένον λαβεῖν.
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν
βωμοὺς προνάοις καὶ πολισσούχων ἕδρας
εὕρωμεν· ἀσφάλεια δ' ᾖ δι' ἄστεος
στείχουσι· μορφῆς δ' οὐχ ὁμόστολος φύσις.
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος

¶Ὑπερτοξεύσιμον] ἀνυπέρβλητον.

¶Πῶς οὐχὶ τἀνάλωμα] τὸ πτῶμα τῶν σωμάτων.

¶Ἐν βροτοῖς φόβος] ὁ τοῦ θεοῦ φόβος μέγας ἐστὶν ἐν βροτοῖς.

¶Φιλαίτιος λεώς] τοὺς γὰρ ἄρχοντας ἐν ταῖς βιαίαις περιστάσεσιν εἴωθεν αἰτιᾶσθαι ὁ λαός.

¶Πᾶς τις εὐνοίας φέρει] ὡς καὶ πρὸς τὸν εὖ ἔχοντα ὁ φθόνος ἕρπει.

¶Φράστοράς τε] τοὺς φράσοντας

¶Οὐχ' ὁμόστολος φύσις] οὐχ ὅμοιαι τοῖς ἐγχωρίοις ἐσμέν, ὥστε λαθεῖν.

πρόσφ. φυλάξαι μὴ θάρσος τέκῃ φόβον.
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.
Βα. Στείχοιτ' ἂν ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
ἡγεῖσθε βωμοὺς ἀστικοὺς θεῶν ἕδρας·
καὶ ξυμβόλοισιν οὐ πολυστομεῖν χρεὼν
ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.
Χο. Τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίοι·
ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νέμεις ἐμοί;
Βα. Κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.
Χο. Καὶ δή σφε λείπω, χειρὶ καὶ λόγοις σέθεν.
Βα. Λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.
Χο. Καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;
Βα. Οὔτοι πτερωτῶν ἁρπαγαῖς ἐκδώσομεν.
Χο. Ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν.
Βα. Εὔφημον εἴη τοὔπος εὐφημουμένῃ.
Χο. Οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός.
Βα. Ἀεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον.
Χο. Σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρενί.
Βα. Ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ.
ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους,
πείσω τὸ κοινὸν, ὡς ἂν εὐμενὲς τιθῶ,
καὶ σὸν διδάξω πατέρα· ποῖα χρὴ λέγειν.
πρὸς ταῦτα μίμνε, καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ, τῶν σ' ἔρως ἔχει τυχεῖν·
ἐγὼ δὲ ταῦτα πορσύνων ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.
Χο. Ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε, καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πείθου τε καὶ γενέσθω·

¶Μὴ θάρσος τέκῃ] μὴ θαρσήσαις μόνος ἀπελθεῖν, φονευθῇς ὑπό τινος.
¶Θεῶν ἕδρας] τὰς κατὰ τὰς ἕδρας τῶν θεῶν.
¶Καὶ ξυμβόλοισιν] τοῖς συντυχοῦσι.
¶Ποῦ θράσος νέμεις] ἀντὶ τοῦ, ποῦ παραγγέλλεις μοι τὸ θράσος νέμοις;
¶Βέβηλον] τὸ πᾶσι βατὸν καὶ μὴ ἱερόν.
¶Πτερωτῶν] δρακόντων.

ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ τὰν μελανοζυγάταν,
τὸ πρὸς γυναικῶν ἐπιδὼν
παλαίφατον ἁμέτερον
γένος, φιλίας προγόνου γυναικός.
νέωσον εὔφρον' αἶνον, γενοῦ πολυμνήστωρ ἔφαπτορ Ἰοῦς.
Δίας τοι γένος εὐχόμεθ' εἶναι γᾶς ἀπὸ τᾶσδ' ἔνοικοι.
παλαιὸν δ' εἰς ἴχνος μετέσταν
ματέρος ἀνθονόμους ἐπωπάς,
λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ οἴστρῳ ἐρεσσομένα
φεύγει ἁμαρτίνοος πολλὰ βροτῶν διαμειβομένα
φῦλα. διχῇ δ' ἀντίπορον γαῖαν ἐν αἴσᾳ διατέ-
μνουσα πόρον κυματίαν ὁρίζει, ἰάπτει βασιάδος δι' αἴας
μηλοβότου Φρυγίας διαμπάξ.
περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν,
Λύδιά τε γύαλα· καὶ δι' ὀρῶν Κιλίκων
Παμφύλων τε γένη διορνυμένα
τοὺς ποταμοὺς δ' ἀενάους
καὶ βαθύπλουτον χθόνα, καὶ
τὰς Ἀφροδίτας πολύπυρον αἶαν.
ἱκνεῖται δ' εἰσικνουμένη βέλει βουκόλου πτερόεντος,
δῖον πάμβοτον ἄλσος,

¶Ἄλευσον] καταπόντωσον αὐτὴν τὴν ὕβριν. ¶Εὖ στυγήσας] ἀντὶ τοῦ δικαίως. ¶Τὰν μελανοζυγάταν] τὴν ναῦν ἐν ᾗ βλαβήσονται. ¶Παλαίφατον] πολυβόητον. ¶Νέωσον] ἀνανέωσον τὴν φήμην ὅτι σοῦ ἐσμεν. ¶Πολυμνήστωρ] πολλὴν μνήμην ἔχων, γενοῦ ἐφάπτωρ τῆς Ἰοῦς. ¶Δίας] τῆς δίας αἰγύπτου, τῆς τοῦ διὸς ἱερᾶς γῆς. ¶Μετέσταν] εἰς ἄργος. ¶Ἀνθονόμους ἐπωπὰς] κατανομάς. ¶Βούχιλον] ἔνθα ἐχιλοῦτο ἡ βοῦς καὶ ἤσθιεν. ¶Οἴστρῳ ἐρεσσομένα] ἐλαυνομένη. ¶Ἁμαρτίνοος] ἀντὶ τοῦ μανεῖσα. ¶Ἀντίπορον] ἀσίαν καὶ εὐρώπην. ¶Ἐν αἴσᾳ] ἐν εἱμαρμένῃ. ¶Πόρον κυματίαν] τὸν βόσπορον. ¶Ἰάπτει βασιάδος] λείπει ὁ καί. ¶Πολύπυρον αἶαν] φοινίκην ἣν ἱερὰν ἀφροδίτης φησὶ διὰ βύβλον καὶ λίβανον. ¶Ἱκνεῖται] ἱκνεῖται δὲ δῖον πάμβοτον ἄλσος, τοῦ οἴστρου τῷ κέντρῳ αὐτὴν διατρυπῶντος. ¶Βουκόλου πτερόεντος] τοῦ μύωπος. ¶Πάμβοτον ἄλσος] τὴν αἴγυπτον.

λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται
Τυφῶ μένος, ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον,
μαινομένα πόνοις ἀτί- μοις, ὀδύναις τε κεντροδα-
λήτοις θείας Ἥρας. βροτοὶ δ' οἳ γᾶς τότ' ἦσαν ἔννομοι,
χλωρῷ δείματι θυμὸν πάλλοντ', ὄψιν ἀήθη,
βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον,
τὰν μὲν βοός, τὰν δ' αὖ γυναικός· τέρας δ' ἐθάμβουν.
καὶ τότε δὴ τίς ἦν ὁ θέλ- ξας πολύπλαγκτον ἀθλίαν
οἰστροδόνητον Ἰώ; Ζεὺς αἰῶνος κρέων ἀπαύστου.
βίᾳ δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις
παύεται, δακρύων δ' ἀπο- στάζει πένθιμον αἰδῶ.
λαβοῦσα δ' ἕρμα Δῖον ἀψευδεῖ λόγῳ,
γείνατο παῖδ' ἀμεμφῆ,
δι' αἰῶνος μακροῦ πάνολβον·
ἔνθεν πᾶσα βοᾷ χθών,
φυσίζωον γένος τόδε Ζηνός ἐστιν ἀληθῶς.
τίς γὰρ ἂν κατέπαυσεν Ἥ- ρας νόσους ἐπιβούλους;
Διὸς τόδ' ἔργον· καὶ τόδ' ἂν γένος λέγων
ἐξ Ἐπάφου, κυρήσαις. τίν' ἂν θεῶν ἐνδικωτέροισι
κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις;
πατὴρ φυτουργὸς, αὐτόχειρ ἄναξ
γένους παλαιόφρων μέγας
τέκτων, τὸ πᾶν μῆχαρ οὔριος Ζεύς.

¶ Χιονόβοσκον] φασὶ γὰρ λυομένης χιόνος τῆς ἐν ἰνδοῖς, πληροῦσθαι αὐτόν. ¶ Νόσοις ἄθικτον] λέγεται γὰρ ὁ ἀὴρ κουφότερος εἶναι. ἐπεξηγήσατο δὲ τί ἐστι τὸ μένος τοῦ τυφῶ, εἰπὼν τὸ ὕδωρ τοῦ νείλου. ¶ Ἔννομοι] οἰκήτορες. ¶ Ὄψιν ἀήθη] ὄψιν ἀήθη ὁρῶντες. ¶ Μιξόμβροτον] τερατῶδες. ¶ Καὶ τότε δή τις] ὡς ἐν ἐρωτήσει. ¶ Ὁ θέλξας] ὁ θεραπεύσας. ¶ Κρέων] κραίνων. ¶ Βίᾳ δὲ] λείπει ὁ καί. ¶ Δακρύων δ' ἀποστάζει πένθ.] ἐκχέουσα ὅ, τι πέπονθεν. ¶ Ἕρμα] βάρος. ¶ Ἀψευδεῖ λόγῳ] καθὼς ἡ φήμη βούλεται. ¶ Φυσίζωον γένος] τὸ γένος τῆς Ἰοῦς. ¶ Καὶ τόδ' ἂν γένος] καὶ τὸ γένος ἡμῶν ἐξ Ἐπάφου λέγων εἶναι, τῆς ἀληθείας κυρήσεις, καὶ οὐ ψεύσῃ. ¶ Πατὴρ φυτουργὸς] αὐτὸς ὁ πατὴρ φυτουργὸς τοῦ γένους, ὁ τῇ ἑαυτοῦ χειρὶ θεραπεύσας τὴν Ἰώ. ¶ Πᾶν μῆχαρ] ἡ πάντων μηχανή.

ὑπ' ἀρχαῖς δ' οὔ τινος θοάζων
τὸ μεῖον κρεισσόνων κρατύνει·
οὔ τινος ἄνωθεν ἡμένου σέβει κάτω.
πάρεστι δ' ἔργον ὡς ἔπος,
σπεῦσαί τι τῶν δούλιος φέρει φρήν.

πρ. Θαρσεῖτε παῖδες, εὖ τὰ τῶν ἐγχωρίων
δήμου δέδοκται παντελῆ ψηφίσματα.

χο. Ω χαῖρε πρέσβυ φίλτατ' ἀγγέλων ἐμοί,
ἔνισπε δ' ἡμῖν ποῖ κεκύρωται τέλος·
δήμου κρατοῦσα χεὶρ ὅποι πληθύεται.

πρ. Εδοξεν Ἀργείοισιν οὐ διχορρόπως,
ἀλλ' ὡς δ' ἂν ἡβήσαιμι γηραιᾷ φρενί·
πανδημία γὰρ χερσὶ δεξιωνύμοις
ἔφειξεν αἰθὴρ τόνδε κραινόντων λόγον·
ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους,
κ' ἀρρυσιάστους ξύν τ' ἀσυλίᾳ βροτῶν·
καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινὰ
ἄγειν· ἐὰν δὲ προστιθῇ τὸ καρτερόν,
τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων,
ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ.
τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
ἄναξ πελασγῶν, ἱκεσίου Διὸς κότον
μέγαν πρόφρων ὢν μήποτ' εἰσόπιν χρόνου
πόλιν παχῦναι, ξενικὸν ἀστικόν θ' ἅμα

¶ Ὑπ' ἀρχαῖς] οὐχ ὑπὸ ταῖς ἀρχαῖς δέ τινος τῶν κρειττόνων καθήμενος, τὸ μεῖον ἔχον. ¶ Οὔ τινος ἄνωθεν] οὐ σέβει κάτω ὢν αὐτός. ¶ Πάρεστι δ' ἔργον] ἅμα τῷ λόγῳ ἡ πρᾶξις. ¶ Φέρει φρὴν] εἰς τὸ συμπλέξαι. ¶ Δήμου κρατοῦσα] πότερον πλείους οἱ συμμαχοῦντες ἡμῖν, ἢ ὀλίγοι. ¶ Δεξιωνύμοις] δεξιαῖς. ¶ Εφειξεν αἰθὴρ] πυκνὰς ἔσχε τὰς ἠρμένας αὐτῶν χεῖρας. ¶ Ἡμᾶς μετοικεῖν] τὸ ἑξῆς, ἔδοξεν ἡμᾶς μετοικεῖν. ¶ Ἐνοίκων] πολιτῶν. ¶ Ἐὰν δὲ προστιθῇ τι καρ.] λείπει τὸ τις· ἀπὸ τοῦ, βίᾳ πολιτῶν. ¶ Μήποτε] εἰς τὸν μετόπιν χρόνον μήπως αὐξήσῃ κότον ὁ Ζεύς. ¶ Παχῦναι] χαλεπῶς πλατῦναι.

λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν,
ἀμήχανον βόσκημα πημονῆς πέλειν.
τοιαῦτ' ἀκούων χερσὶν ἀργεῖος λεὼς
ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε.
δημηγόρους δ' ἤκουσεν εὐπειθὴς στροφὰς
δῆμος πελασγῶν· Ζεὺς δ' ἐπέκρανεν τέλος.

χο. Ἄγε δὴ λέξωμεν ἐπ' ἀργείοις
εὐχὰς ἀγαθὰς, ἀγαθῶν ποινάς.
Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου
στόματος τιμαὶ ἐπ' ἀληθείᾳ,
τέρμον' ἀμέμπτως πρὸς ἅπαντα.   νῦν ὅτε καὶ θεοὶ
διογενεῖς κλύοιτ' εὐ-   κταῖα γένει χεούσας·
μήποτε πυρίφατον   τὰν πελασγίαν πόλιν,
τὸν ἄχορον βοὰν   κτίσαι μάχλον ἄρη,
τὸν ἀρότοις   θερίζοντα βροτοὺς ἐν ἄλλοις·
οὕνεκ' ᾤκτισαν ἡμᾶς,   ψῆφον δ' εὔφρον' ἔθεντο·
αἰδοῦνται δ' ἱκέτας Διὸς,   ποίμναν τάνδ' ἀμέγαρτον.
οὐδὲ μετ' ἀρσένων   ψῆφον ἔθεντ', ἀτιμώ-
σαντες ἔριν γυναικῶν·   Δῖον ἐπιδόμενοι
πράκτορά τε σκοπὸν   δυσπολέμητον, ὃν οὔ-
τις ἂν δόμος ἔχοι   ἐπ' ὀρόφων
μιαίνοντα· βαρὺς δ' ἐφίζει.   ἅζονται γὰρ ὁμαίμους

¶Διπλοῦν μίασμα] διπλοῦν, καθὸ καὶ ξένους ὄντας παρορῶμεν, καὶ συγγενεῖς δεχθέντας οὐκ ἐλεοῦμεν. ¶Χερσὶν ἀργεῖος] ταῖς χερσὶν ἐπέκρανε, πρὶν εἰπεῖν τὸν κήρυκα, ἀράτω τὰς χεῖρας ὅτῳ ταῦτα δοκεῖ. ¶Ποινὰς] ἀμοιβάς. ¶Πρὸς ἅπαντα] βεβαίως εἰς τὸ παντελὲς φέρων αὐτάς. ¶Νῦν ὅτε καὶ θεοὶ] ἀντὶ τοῦ, εἴποτε. ¶Χεούσας] χεούσης ἐμοῦ εὐκταῖα γένει. ἢ τῷ γένει. ¶Πυρίφατον] πυρὶ ἀναλωθεῖσαν. ¶Κτίσαι] ποιῆσαι. ¶Μάχλον] τὸν εἰς τοὺς πολέμους καταφερῆ, ἢ τὸν παλίμβολον. ¶Θερίζοντα] τὸν ἐν ἄλλοις ἀρότοις θερίζοντα τοὺς βροτούς. ¶Οὕνεκ' ᾤκτισαν ἡμᾶς] ἡ πόλις. ¶Ποίμναν] τὴν ἱκέτιν οὖσαν. ¶Ἀμέγαρτον] ἀφθόνητον, διὰ τὸ ἀτελές. ¶Μετ' ἀρσένων] τῶν αἰγυπτιαδῶν. ¶Πράκτορά τε σκοπὸν] Διὸς σκοπὸν, τὸν Διὸς ὀφθαλμὸν τὸν πάντα σκοποῦντα. ¶Ἐφίζει] ἐφιζάνει γὰρ βαρὺς καὶ ἐρείπει τὸν οἶκον. ¶Ἅζονται γὰρ] τοῦτο συναπτέον, οὐδὲ μετ' ἀρσένων.

Ζηνὸς ἵκτορας ἁγνοῦ. τοιγάρτοι καθαροῖσι βω-
μοῖς θεοὺς ἀρέσονται. τοιγὰρ ὑποσκίων ἐκ
στομάτων ποτάσθω φιλότιμος εὐχὰ,
μήποτε λοιμὸς ἀνδρῶν τῶνδε πόλιν κενῶσαι·
μηδ' ἐπιχωρίοις πτώμασιν αἱματίσαι πέδον·
ἥβας δ' ἄνθος ἄδρεπτον ἔστω· μὴ Ἀφροδίτας
εὐνάτωρ βροτολοιγὸς Ἄ- ρης κέρσειεν ἄωτον.
καὶ γεραροῖσι πρεσβυ- τοδόκοι γεμόντων
θυμέλαι, φλεγόντων θ'· ὡς πόλις εὖ νέμοιτο·
Ζῆνα μέγαν σεβόντων, τὸν ξένιον δ' ὑπέρτατον,
ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ. τίκτεσθαι δ' ἐφόρους γᾶς
ἄλλους εὐχόμεθ' ἀεί· Ἄρτεμιν δ' ἑκάταν γυναι-
κῶν λόχους ἐφορεύειν. μηδέ τις ἀνδροκμὴς
λοιγὸς ἐπελθέτω, τάνδε πόλιν δαΐζων,
ἄχορος κίθαρις, δακρυογόνον ἄρη
βοάντε δήμιον ἔξω παίζων· νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν
ἵζοι κράτους ἀτερπής· εὐμενὴς δ' ὁ Λύκιος ἔ-
στω πάσᾳ νεολαίᾳ· καρποτελῆ δέ τοι
Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ.
πρόνομα δὲ βοτὰ τῶς πολύγονα τελέθοι·
τὸ πᾶν τ' ἐκ δαιμόνων λάβοιεν. εὔφημον δ' ἐπιβοῷεν
μοῦσαι θεαί τ' ἀοιδοί· ἁγνῶν τ' ἐκ στομάτων φερέ-
σθω φήμα φιλοφόρμιγξ· φυλάσσοι τ' ἀτιμίας τιμὰς
τὸ δήμιον· τὴν πόλιν κρατύνει

¶Ἀρέσονται] εἰς ἀρέσκειαν ἄξουσιν. ¶Ἥβας] τὸ ἄνθος τῆς ἥβας αὐτῶν μὴ ἐκκοπείη. ¶Γεμόντων] πληρούσθωσαν καὶ διαπρεπέτωσαν τοῖς γέρουσιν αἱ θυμέλαι, ἢ οἱ γέροντες. ¶Σεβόντων] τῶν γερόντων σεβόντων τὸν δία τὸν ξένιον ὑπερπρεπῶς. ¶Ὃς πολιῷ νόμῳ] ὁ Ζεὺς τῷ ἀρχαίῳ νόμῳ τὸ ἴσον τηρεῖ. ¶Ἐφόρους γᾶς] βασιλεῖς. ¶Βοάντε δήμιον] ἐμφύλιον μάχην, τὴν ἐπὶ τοῖς ἀπολωλόσι βοήν. ¶Ἀπ' ἀστῶν] ἀπωθοῖτο τῆς κράτους τῶν ἀστῶν. ¶Ἐπικραινέτω] πλεσφορῆσαι ποιείτω. ¶Φέρματι] γεννήματι. ¶Πανώρῳ] κατὰ πᾶσαν ὥραν αὐξομένῳ. ¶Πρόνομα] περὶ τῆς πόλεως νεμόμενα. ¶Ἐκ δαιμόνων] παρὰ δαιμόνων. ¶Μοῦσαι θεαί τε ἀοιδοί] αἱ ᾠδαί. ¶Φυλάσσοι τ'] ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί. ¶Ἀτιμίας] ἀσφαλείας.

προμαθεὺς εὐκοινόμητις ἀρχά.
ξένοισί τ' εὐξυμβόλους, πρὶν ἐξοπλίζειν Ἄρη,
δίκας ἄτερ πημάτων διδοῖεν. θεοὺς δ' οἳ γᾶν ἔχουσιν, ἀεὶ
τίοιεν ἐγχωρίοις πατρῴαις
δαφνοφόροισι βουθύτοισι τιμαῖς.
τὸ γὰρ τεκόντων σέβας τρίτον τόδ' ἐν θεσμίοις
δίκας γέγραπται μεγιστοτίμου.
Δα. Εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας φίλαι,
ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκεταδόκου γὰρ τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον. εὔσημον γὰρ οὐ με λανθάνει·
στολμοί τε λαίφους καὶ παραρρύσεις νεώς,
καὶ πρῷρα πρόσθεν ὄμμασι βλέπουσ' ὁδὸν
οἴακος εὐθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσά γ' ὡς ἂν οὐ φίλη.
πρέπουσι δ' ἄνδρες νήιοι μελαγχίμοις
γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν,
καὶ τἄλλα πλοῖα, πᾶσά θ' ἡ 'πικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
πρὸς πρᾶγμ' ὁρώσας, τῶνδε μὴ ἀμελεῖν θεῶν.
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.
ἴσως γὰρ ἢ κῆρυξ τις ἢ πρέσβεις μόλοι,

¶Εὐκοινόμητις ἀρχά] ἡ γὰρ ἀρχὴ ὑπὸ τῶν κοινῶν προνοουμένη, πλέον τι πόλιν καὶ τὸ κοινὸν αὔξει. ¶Ξένοισί τε] τοῖς τε ξένοις δίκας ἀσυμβόλους διδοῖεν πρὶν ἐξοπλίζειν ἄρη. ¶Τὸ γὰρ τεκόντων σέβας] πρῶτον θεούς, δεύτερον νόμους, τρίτον δὲ τόδε, τὸ τοὺς γονεῖς τιμᾶν. ἐχρῆν δὲ εἰπεῖν, καὶ τοὺς γονεῖς δὲ σέβειν. τὸ γὰρ τιμᾶν γονεῖς, τρίτον ἐστὶ παράγγελμα δίκης. ¶Ἱκεταδόκου] τῆς δεξαμένης ἡμᾶς τοὺς ἱκέτας. ¶Στολμοί τε λαίφους] κατὰ περίφρασιν, τὸ λαῖφος. ¶Παραρρύσεις] ἐκτάσεις. ¶Καλῶς κλύουσα] οὕτω δὲ ἡμῖν κλύουσα τοῦ οἴακος οὐ φίλη ἐστί. ¶Νήιοι] ναῦται. ¶Ἐκ πεπλωμάτων] ἐκ τῶν λευκῶν πεπλωμάτων μέλανα γυῖα φαίνονται ἔχοντες.

ἄγοι θέλοντες ῥυσίων ἐφάπτορες.
ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητε νῷν.
ὅμως ἄμεινον εἰ βραδύνοιμεν βοῇ,
ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτέ.
θάρσει· χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ
θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.
Χο. Πάτερ φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι
ἥκουσι, μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου.
περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως.
πολυδρόμου φυγᾶς ὄφελος εἴ τι μοι,
παροίχεται πάτερ δείματι.
Δα. Ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,
θάρσει, μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.
Χο. Ἐξώλές ἐστι μάργον Αἰγύπτου γένος,
μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δρυπαγεῖς δ' ἔχοντες κυανώπιδας
νῆας, ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ,
πολλῷ μελαγχίμῳ σὺν στρατῷ.
Δα. Πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίᾳ
θάλπει βραχίον' εὖ κατερρινημένους.
Χο. Μόνην δὲ μὴ πρόλειπε· λίσσομαι πάτερ.
γυνὴ μονωθεῖσ' οὐδέν· οὐκ ἔνεστ' Ἄρης.
δουλόφρονες δὲ καὶ δολομήτιδες
δυσάγνοις φρεσὶ, κόρακες ὥστε, βωμῶν ἀλέγοντες οὐδέν.
Δα. Καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ' ὦ τέκνα,
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαίροιατο.
Χο. Οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη
δείσαντες, ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ.
περίφρονες δ' ἄγαν ἀνιέρῳ μένει

¶Ῥυσίων] ἐνεχύρων. ἐνεχυράζοντες ἡμᾶς διά τινος ἁρπαγῆς.
¶Βοῇ] βοῇ νῦν τῇ βοηθείᾳ.
¶Ἀλκῆς] τῆς τῶν βωμῶν καταφυγῆς.
¶Μῆκος δ' οὐδὲν] τῆς ἡμῶν φυγῆς καὶ τῆς τούτων παρουσίας.
¶Περίφοβόν μ' ἔχει τάρβος] ὅσον μοι προσγέγονεν ὄφελος διὰ τῆς ἐνταῦθα φυγῆς, τῷ δείματι νῦν παροίχεται. ἀπιστῶ γὰρ τῆς ὑπεσχομένης ἐπικουρίας.
¶Ἐπὶ τελεία] πληθύουσα.
¶Ἐν μεσημβρίᾳ] καλῶς ἐν ἡλίῳ γεγυμνασμένους.
¶Δολομήτιδες] οἱ αἰγυπτιάδαι.
¶Κόρακες] λείπει τὸ, ἁρπάσουσί με.
¶Εἰ σοί τε] εἰ ἀσεβήσουσιν εἰς τοὺς βωμούς.
¶Περίφρονες] ἀντὶ τοῦ ὑπέρφρονες.
¶Ἀνιέρῳ] ἀσεβεῖ.

μεμαργωμένοι κυνοθρασεῖς θεῶν.
Δα. Ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
εἶναι· βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.
Χο. Ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
ἔχοντας ὀργάς. χρὴ φυλάσσεσθαι κράτος.
Δα. Οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολή,
οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία
ἐς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα,
ἐς νύκτ' ἀποστείχοντος ἡλίου, φιλεῖ
ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ·
οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ
καλή, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι. σὺ δὲ
φρόντιζε μὲν ὡς ταρβοῦσα μὴ ἀμελεῖν θεῶν,
πράξασ' ἀρωγήν. ἄγγελον δ' οὐ μέμψεται
πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσῳ φρενί.
Χο. Ἰὼ γᾶ βουνῖτι, ἔνδικον σέβας,
τί πεισόμεσθα; ποῖ φύγωμεν ἀπίας
χθονός, κελαινὸν εἴ τι κεῦθος ἔστι που.
μέλας γενοίμαν καπνὸς νέφεσι γειτονῶν Διός,
τὸ πᾶν δ' ἄφαντος. ἀμπετὰς δ' ὡσεὶ
κόνις ἄτερθε πτερύγων ὀλοίμαν.
ἄφυκτον δ' οὐκ ἔτ' ἂν πέλοι κέαρ.

¶Κρείσσους κυνῶν] τοσοῦτον αὐτῶν διαφέρουσιν ὅσον λύκοι κυνῶν. ¶Βύβλου δὲ καρπὸς] ἐπεὶ παπυροφάγοι οἱ αἰγύπτιοι. ¶Κράτος] τὴν βίαν. ¶Στολὴ] ὁρμή. ¶Οὐδ' ὅρμος] οὐδὲ ἡ ὁρμὴ ταχεῖα, οὐδὲ ἡ ἔκβασις. ¶Οὐδὲ πεισμάτων] ἀντὶ τοῦ, πείσματα σωτήρια. ¶Ἀγκυρουχίαις] ταῖς ἀσφαλείαις καὶ κατοχαῖς τῶν ἀγκυρῶν. ¶Ποιμένες] κυβερνῆται. ¶Θρασυνθῆναι] πρὶν καταθαρρῆσαι τῷ ὅρμῳ τὰς ναῦς. ¶Ἄγγελον δ' οὐ μέμψεται] ἐμὲ τὸν ἀπαγγέλλοντα αὐτοῖς τὴν παρουσίαν τῶν αἰγυπτιαδῶν. ¶Βουνῖτι] ὀρεινή. ¶Ἔνδικον σέβας] δικαία σέβεσθαι ἢ, ἣν δικαίως πᾶς τις τιμᾷ. ¶Κελαινὸν] ἀφανές. ¶Μέλας γενοίμαν] μεταβληθείην μὴ εἰς [illegible], ἀλλ' εἰς ἄψυχόν τι.

μελανόχρως δὲ πάλλεταί μου καρδία.
πατρὸς σκοπαὶ δέ μ' εἷλον· οἴχομαι φόβῳ.
θέλοιμι δ' ἂν μορσίμου βρόχου τυχεῖν ἐν ἀρτάναις,
πρὶν ἄνδρ' ἀπευκτὸν τῷδ' ἐγχριμφθῆναι χροΐ·
πρόπαρ θανούσας δ' ἀΐδας ἀνάσσοι.
πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος,
πρὸς ὃν νέφη δ' ὑδρηλὰ γίνεται χιὼν,
ἢ λισσὰς αἰγίλιψ ἀπρός- δεικτος οἰόφρων ἐρημὰς
γυπίας πέτρα, βαθὺ πτῶμα μαρτυροῦσά μοι,
πρὶν δαΐκτορος βίᾳ καρδίας γάμου κυρῆσαι.
κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις
ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν·
τὸ γὰρ θανεῖν ἐλευθεροῦ- ται φιλαιακτῶν κακῶν·
ἐλθέτω, ἐλθέτω μόρος πρὸ κοί-
τας γαμηλίου τυχών. τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον
τέμνω γάμου καὶ λυτήρια;
ἴυζε δ' ὀμφὰν, οὐρανία μέλη λίτανα θεοῖσι, καὶ
τέλεα δέ μοι πως, πελόμενά μοι
λύσιμα. μάχιμα δ' ἔπιδε πάτερ, βίαια εἰ φιλεῖς ὁρᾶν
ὄμμασιν ἐνδίκοις. σέβιζου δ' ἱκέτας σέθεν
γαιάοχε παγκρατὲς Ζεῦ. γένος γὰρ Αἰγύπτιον ὕβριν
δύσφορον ἀρσενογενὲς, μετά με δρόμοισι διόμενοι,
φυγάδα μάταισι πολυθρόοις
βίαια δίζωνται λαβεῖν. σὸν δ' ἐπίπαν ζυγὸν

¶Πάλλεταί μου] ἀντὶ τοῦ παρασαλεύεται. ἡ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ὅπως ἐν τῷ ταράσσεσθαι μελαίνεται. ¶Πατρὸς σκοπαὶ] προσκοπήσας ὁ πατὴρ τὰ σημαίας, ἐπεφέρεν. ¶Μορσίμου] μόρον μοι ἐπάγοντος. ¶Καρδίας γάμου] τοῦ γάμου δαΐκτορος τῆς καρδίας μου. ¶Ελευθεροῦται] ἀντὶ τοῦ ἐλευθεροῖ. ¶Τυχὼν] ἐμοῦ δηλονότι. ¶Αμφ' αὐτᾶς] περὶ ἐμαυτῆς. ¶Καὶ λυτήρια] λύσιν θύρω. ¶Ιυζε δ' ὀμφαὶ] ἐπεξυγάσατο ὀμφαί. ἑαυταῖς δὲ παρακαλοῦνται. ¶Λίτανα] λιτανευτικά. ¶Τέλεα δέ μοι] ἐπιτελεστικά μοι καὶ λύσιμα τῶν κακῶν γενόμενα. Αλλως. ἀντὶ τοῦ ἀπάρχα. ¶Παγκρατὲς Ζεῦ] ὁ πάσης γῆς κρατῶν Ζεῦ. ¶Διόμενοι] διώκοντες. ¶Μάταισι] ταῖς ζητήσεσι. ¶Επίπαν] ἴσον ἐπὶ πάντων ζυγὸν ταλάντου.

ταλαίπου. τί δ' αὖ σέθεν θανεῖς τέλθον ἐστίν;
ὀ ὀ ὀ ἀ ἀ ἀ. ὅδε μάρπτις ναΐος, γάϊος.
τῶν πρὸ μάρπτι κάμνοις, ἰὸφ, ὄμ
αὖθι κάκκας νο δύιαν βοὰν ἀμφαίνω.
ὁρῶ τάδε φροίμια πράξεια πόνων
βιαίων ἐμῶν. ἰὲ ἰέ, βαῖνε φυγᾷ πρὸς ἀλκάν,
βλοσυρόφρονα χλιδᾷ δύσφορα ναῒ κἀν γᾷ.
ἄναξ προστάσου. κη. Σοῦσθε σοῦσθ' ἐπὶ βᾶ-
ριν ὅπως ποδῶν. χο. Οὐκοῦν οὐκοῦν
τιλμοί, τιλμοί, καὶ στιγμοί, πολυαίμων φόνιος
ἀποκοπὰ κρατός. κη. Σοῦσθε σοῦσθ' ὀλόμεναι ὀλό-
εντ' ἀνὰ πολύρρυτον ἁλιμένετα πόρον, (μὲν ἐπ' ἀμίδα
δεσποσίῳ ξὺν ὕβρει, γομφοδέτῳ τε δορὶ δι' ὄλου,
αἱμον' ἵζω σ' ἐπ' ἀμίδα ἠυσδουπία τἄπιτα.
κελεύω βίᾳ μεθέσθαι ἴχαρ, φρενὸς ἄταν. ἰὼ ἰού.
λεῖφ' ἕδρανα, κί' ἐς δόρυ, ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν.
χο. Μήποτε πάλιν εἴδοι ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον ζώφυτον αἷμα βροτοῖσι θάλλει.
ἄγιος ἐγὼ βαθυχαῖος

¶Ὀ ὀ ὀ] ταῦτα μετά τινος πάθους ἀναβοῶσιν, ἐξ ἀπόπλου τοὺς αἰγυπτιάδας ἰδοῦσαι. ¶Ὅδε μάρπτις] ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς. ¶Ναΐος, γάϊος] ὁ πρότερον μὲν ἐπὶ νηὸς νῦν δὲ ἐπὶ γῆς γεγονώς. ¶Τῶν πρὸ μάρπτι κάμνοις] πρότερον θάνοις ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν. ¶Ἰὸφ] ἐπὶ ἀποπτυσμοῦ μίσημα. ἀπὸ δὲ τοῦ ἀποπτύειν, ἀπόφθεγμα ἐποίησε. διὸ δεῖ τὴν ὑστέραν δασύνειν. ἔστι δὲ τοῦτο διὰ μέσου. ¶Κάκκας] καταβάσεις. ¶Ὁρῶ τάδε] οὐκ ἔτι παρὰ τοῦ παιδὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη, βοῶ. ¶Φυγᾷ πρὸς ἀλκάν] πρὸς τὴν τῶν θεῶν ἀλκήν, τὴν ἐπὶ τῇ δόξῃ ἐπιρριφθεῖσαν ἀλκήν. ἔστι δὲ παρὰ τὸ, κύδεϊ γαίων. ¶Προστάσου] ὦ πελασγὲ πρὸ ἡμῶν παράταξαι. ¶Ὅπως ποδῶν] ὡς ἔχεις τάχος ποδῶν. ¶Οὐκοῦν οὐκοῦν] ἰδίως τοῦτο ἀντὶ τοῦ, εἰ δὲ μή. ¶Αἱμον'] ἡμαγμένοις καθίζω. ¶Ἄπιτα] ἀπιόντα, κατὰ συγκοπήν. ¶Ἴχαρ] ἐπιθυμίαν εἶπε τὴν ἄτην τῆς φρενός. ¶Λεῖφ' ἕδρανα] καταλείπετε τοὺς βωμούς. ¶Μή ποτε πάλιν εἴδοι] μήποτε μετέχοι τιμῆς ἐν τῇ πόλει τῶν εὐσεβῶν. ¶Ἀλφεσίβοιον] τὸ ζωοποιοῦν τὰ θρέμματα, ἢ ἔντιμον, μεταφορικῶς. λέγει δὲ τοῦ νείλου ἀρρενογόνον γὰρ τὸ ὕδωρ τοῦ νείλου· ὅθεν ζῶντας τίκτειν ἄρρενα. ¶Βαθυχαῖος] ἡ μεγάλως εὐγενής. χαοὶ γὰρ οἱ εὐγενεῖς. ἐγὼ ἡ βαθυχαῖος ἀναξία ταύτης τῆς βαθρείας ὦ γέρον.

βαθρείας βαθρείας γέρον· σὺ δὲ ναὶ ναὶ βάσῃ τάχα
θέλεος ἀθέλεος, βίᾳ βίᾳ τε πολλᾷ φροῦδα
βάτεαι βαθμὶ περιηκακοπαθῶν
ὀλομθύαις παλάμαις, αἲ αἲ αἲ αἴ.
καὶ γὰρ δυσπαλάμως ὄλοιο δι' ἁλίρρυτον ἄλσος.
κατὰ σαρπηδόνιον χῶμα πολυψάμαθον ἀλαθεὶς
εὐρείαις ἐν αὔραις.
κη. Ἴυζε καὶ λάκαζε, καὶ κάλει θεούς.
αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορῇ.
ἴυζε καὶ βόα πικρότερ' ἀχέων, οἰζύος ὄνομ' ἔχων.
χο. Οἶ οἶ οἶ οἶ οἶ λύμασις ὁ περὶ γᾶς ὑλάσκοι·
περιχειμπτὰ βρυάζεις, ὅς ἐρωτᾷς· ὁ μέγας
Νεῖλος ὑβρίζοντά σε ἀποτρέψ- ει ἄϊστον ὕβριν.
κη. Βαίνειν κελεύω βᾶριν εἰς ἀμφίστροφον
ὅσον τάχιστα· μηδὲ τις σχολαζέτω·
ὁλκὴ γὰρ οὔτοι πλοκάμων οὐ δαμάζεται.
χο. Οἶ οἶ πάτερ, βρετέεατα ῥοσάται μαλδαάγει. *
ἄραχνος ὣς βάδην. ὄναρ ὄναρ μέλαν.
ὀτοτοτοί. μᾶ γᾶ μᾶ γᾶ βοὰν
φοβερὸν ἀπότρεπε. ὦ βᾶ γᾶς παῖ Ζεῦ.
κη. Οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν, οὐδ' ἐγήρασαν τροφῇ.
χο. Μαιμᾷ πέλας δίπους ὄφις, ἔχιδνα δ' ὥς με

¶Σὺ δὲ ναὶ ναὶ] σὺ δὲ θέλων καὶ μὴ θέλων, ναὶ βάσῃ, τάχα βίᾳ πολλῇ κακοπαθῶν. ¶Καὶ γὰρ δυσπαλάμως ὄλοιο] τοῦτο ἰδίᾳ, ἀλητικῶς. ὄλοιο σὺ σὺν ταῖς μηχαναῖς. ¶Ἁλίρρυτον ἄλσος] τὸ πέλαγος. ¶Κατὰ σαρπηδόνιον χ.] κατὰ τὴν σαρπηδονίαν ἄκραν. ¶Ἴυζε καὶ λάκαζε] μάτην λήκει καὶ βόα. ¶Οὐχ ὑπερθορῇ] οὐκ ἐκφύγῃς. ¶Πικρότερ' ἀχέων] καὶ αὐτῶν τῶν ἀχέων πικρότερα ἴυζε. ¶Λύμασις ὁ περὶ γᾶς] εἰς ὕβριν τῶν αἰγυπτίων περισβεύει. ¶Ἀντίστροφον] τὴν ἐξ ἀμφοτέρων τῶν μερῶν ἐλαυνομένην, ὅ ἐστιν ἀμφιέλισσαν. ¶Βρετέεατα] ἡ τῶν βρετέων ἐπικουρία βλάπτει με. τοῦτο δέ φησιν, ἐπὶ θαρσοῦσαι αὐταῖς, ἐν τῷ φανερῷ κατελήφθησαν. ¶Ὄναρ ὄναρ μέλαν] μηδὲν οὖσαι. ¶Μᾶ γᾶ, μᾶ γᾶ] ὦ μῆτερ γῆ. ¶Ὦ γᾶς παῖ Ζεῦ] ὦ πάτερ Ζεῦ, γῆς παῖ. ἡ αὐτὴ γὰρ ῥέα καὶ γῆ. ¶Οὐδ' ἐγήρασαν] εἰς γῆρας με ἤγαγον. ¶Μαιμᾷ] ἐνθουσιᾷ.

τί ποτ' ἐνδακοῦσα, ὀτοτοτοτοί.
μᾶ γᾶ μᾶ γᾶ βοὰν φοβερὸν ἀπότρεπε,
ὦ βᾶ γᾶς παῖ Ζεῦ.

κη. Εἰ μή τις ἐς ναῦν εἶσιν, αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.

χο. Ἰὼ πόλεως ἄγοι πρόμοι δάμναμαι.

κη. Πολλοὺς ἄνακτας παῖδας Αἰγύπτου τάχα
ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.

χο. Διωλόμεσθα. ἄελπτ' ἄναξ πάσχομεν.

ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης.

κη. Ἐπεὶ οὐκ ἀκούεις τῶν ἐμῶν λόγων.

βα. Οὗτος τί ποιεῖς; ἐκ ποίου φρονήματος,
ἀνδρῶν πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;
ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν, ἕλλησιν ἐγχλίεις ἄγαν·
καὶ πόλλ' ἁμαρτών, οὐδὲν ὤρθωσας φρενί.

κη. Τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;

βα. Ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.

κη. Πῶς δ' οὐχί, τἀπολωλόθ' εὑρίσκων ἐγώ;

βα. Ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;

κη. Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ.

βα. Θεοῖσιν εἰπών, τοὺς θεοὺς οὐδὲν σέβῃ.

κη. Τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.

βα. Οἱ δ' ἐνθάδ' οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.

κη. Ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται.

βα. Κλάοις ἂν εἰ ψαύσειας, οὐ μάλ' ἐς μακράν.

κη. Ἤκουσα τοὖπος οὐδαμῶς φιλόξενον.

βα. Οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.

κη. Λέγοις ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.

βα. Ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι

¶ Χιτῶνος ἔργον] τὴν ἐργασίαν τοῦ χιτῶνος.

¶ Ὤρθωσας] εἰς ὀρθὴν ἦλθες.

κη. Ἀλλ' ὡς ἂν εἰδῇς, ἐννέπω σαφέστερον.
καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς
ἕκαστα· πῶς φῶ; πρὸς τίνος τ' ἀφαιρεθεὶς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης· τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ
ἔλυσεν· ἀλλὰ πολλὰ γίνεται πάρος
πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου.
βα. Τί σοι λέγειν χρὴ τοὔνομ'; ἐν χρόνῳ μαθὼν
ἴσθι γε αὐτὸς, χ' οἱ ξυνέμποροι σέθεν.
ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
ἄγοις ἂν, εἴπερ εὐσεβὴς πίθοι λόγος.
τοιάδε δημόπρακτος ἐκ πόλεως μία
ψῆφος κέκρανται, μήποτ' ἐκδοῦναι βίᾳ
στόλον γυναικῶν· τῶνδ' ἐφήλωται τορῶς
γόμφος διαμπὰξ, ὡς μένειν ἀραρότως.
ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα,
οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα·
σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
γλώσσης· κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.
κη. Ἴσθι τάδ', ἤδη πόλεμον αἱρήσῃ νέον.
εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσιν.
βα. Ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας
εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ.
ὑμεῖς δὲ πᾶσαι σὺν φίλοις ὀπάοσι
θράσος λαβοῦσαι, στείχετ' εὐερκῆ πόλιν
πύργων βαθείᾳ μηχανῇ κεκλῃμένην.
καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια,
δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερί.
εὔθυμον ἐστιν, εὐτυχεῖς ναίειν δόμους,

¶Μαρτύρων ὕπο] οὐ δίκῃ μαρτύρων ἡμῖν. ὁ γὰρ ἄρης κρίνει τὸ νεῖκος. οὐδὲ γὰρ ἄργυρον παρ' ὑμῶν λαμβάνοντες εἰρηνεύσαιμεν ἄν.

¶Οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα] ὡς ἐν γραφαῖς ταῦτα εἶπον, ἀλλὰ ζώσῃ φωνῇ.

¶Ἐκ κριθῶν μέθυ] περὶ τῆς εὑρέσεως τοῦ οἴνου, τοῦτο ζῦθον αἰγύπτια. λέγεται δὲ μαδίσκεα.

πολλῶν μετ' ἄλλων. εἰ δέ τις μείζων χάρις,
πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους.
τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα
πάρεστι λωτίσασθαι. προστάτης δ' ἐγώ,
ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται
ψῆφος. τί τῶνδε κυριωτέρους μένεις;
χο. Ἀλλ' ἀντ' ἀγαθῶν, ἀγαθοῖς βρύοις
δῖε πελασγῶν.
πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
πατέρ' εὐθαρσῆ Δαναὸν πρόνοον,
καὶ βούλαρχον. τοῦ γὰρ προτέρα
μῆτις, ὅπου χρὴ δώματα ναίειν,
καὶ τόπος εὔφρων. πᾶς τις ἐπειπεῖν
ψόγον ἀλλοθρόοις εὔτυκτος. εἴη δὲ τὰ λῷστα.
βα. Σύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ
βάξει λαῶν ἐν χώρῳ
τάσσεσθε φίλαι δμωΐδες, οὕτως
ὡς ἐφ' ἑκάστῃ διεκλήρωσε
Δαναὸς θεραποντίδα φερνήν.
δα. Ὦ παῖδες Ἀργείοισιν εὔχεσθαι χρεών,
θύειν τε λείβειν θ', ὡς θεοῖς ὀλυμπίοις,
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
καὶ μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐκγενεῖς
φίλους πικρῶς ἤκουσαν αὐτανεψίους·
ἐμοὶ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας·
καὶ μήτ' ἀέλπτως δορὶ ἀνημέρῳ θανὼν
λάθοιμι, χώρᾳ δ' ἄχθος αἰεὶ ζῶν πέλοι.
τοιῶνδε τυγχάνοντας, εὔπρυμνῆ φρενὸς
χάριν σέβεσθε τιμιωτέραν ἐμοῦ.

¶Καὶ μονορρύθμους δόμους] ὡς πολλῶν ξένων ἐκεῖ οἰκούντων.

¶Τί τῶνδε] ἐμοῦ καὶ τῶν ἀστῶν.

¶Δῖε πελασγῶν] ὡς δῖα γυναικῶν.

¶Πρόνοον] τὸν πρόνοιαν ἡμῶν ποιούμενον.

¶Πᾶς τις ἐπειπεῖν] ἐπεὶ πᾶς ἄνθρωπος ἐστὶν ἕτοιμος εἰς τὸ ψέγειν τοὺς ξένους.

καὶ ταῦτα μὲν γράψασθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρὸς,
ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ.
πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυχον φέρει
κακὴν, τό,τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.
ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμὲ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς·
θῆρες δὲ κηραίνουσι καὶ βροτοί τι μὴν,
καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ·
καρπώματα στάζοντα κηρύσσει Κύπρις.
κἄλωρα κωλύουσαν ὡς μένειν ἐρῶ.
καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν, ὄμματος θελκτήριον
τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.
πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος,
πολὺς δὲ πόντος οὗν ἐκληρώθη δορί,
μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς
πράξωμεν. οἴκησις δὲ καὶ διπλῆ πάρα,
τὴν μὲν Πελασγὸς, τὴν δὲ καὶ πόλις διδοῖ,
οἰκεῖν λατρῶν ἄτερθεν· εὐπετῆ τάδε.
μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρὸς,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.
χο. Τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν ὀλυμπίων·
ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει πάτερ.
εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.
χο. Ἴτε μὰν ἀστυάνακτας
μακαρὰς θεοὺς γανάεντες πολιούχους
τε, καὶ οἳ χεῦμ' Ἐρασίνου

¶Σωφρονίσμασιν πατρὸς] σωφρονεῖτε ὅπως ὁ τῶν αἰγυπτιαδῶν ὅμιλος καταγνωσθῇ ὑπὸ τῶν ἀργείων, καὶ μὴ ἡμεῖς.

¶Γλῶσσαν εὔτυχον] τὸ εἰπεῖν μυσαρόν τι κατὰ τῶν ξένων, εὔχερές ἐστιν.

¶Ἐπίστρεπτον] τὴν ἐπιστροφῆς δεομένην· ἢ τὴν ἐπιστρέφουσαν εἰς θέαν.

¶Θῆρες δὲ κηραίνουσι] ταῦτα ἐπιθυμίᾳ δουλοῦσι.

¶Πρὸς ταῦτα μὴ πάθωμεν] μὴ ὑποπέσητε ἀνδράσιν.

περιναίετε παλαιόν. ὑποδέξασθ' ὀπαδοὶ
μέλος, αἶνος δὲ πόλιν τήνδε πελασγῶν
ἐχέτω, μηδ' ἔτι Νείλου προχοὰς σέβωμεν ὕμνοις·
ποταμοὺς δ' οἳ διὰ χώρας
θελεμὸν πῶμα χέουσι πολύτεκνοι,
λιπαροῖς χεύμασι γαίας
τόδε μειλίσσοντες οὖδας. ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
στόλον οἰκτιζομένα· μηδ' ὑπ' ἀνάγκας
γάμος ἔλθοι κυθέρφος·
στυγερὸν πέλει τόδ' ἆθλον.
κύπριδος οὐκ ἀμελὴς θεσμὸς ὅδ' εὔφρων.
δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ·
τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς.
μετάκοινοι δ' αἱ φίλαι ματεὶ πάρεισι,
πάθος τ' οὐδὲν ἄπαρνον τελέθει θελ-
κτορι πιθοῖ. δέδοται δ' ἁρ- μονίᾳ μοῖρ' ἀφροδίτας.
ψεδυρὰ τρίβοντ' ἐρώτων.
φυγάδας δ' ἐπιπνοίας, κακά τ' ἄλγη,
πολέμους θ' αἱματόεντας προφοβοῦμαι.
τί ποτ' εὔπλοιαν ἔπραξαν
ταχυπόμποισι διωγμοῖς.
ἡμ. Ὅ,τι τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν.
Διὸς οὐ παρβατά ἐστιν μεγάλα φρὴν
ἀπέρατος· μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ
προτέραι πέλοι γυναικῶν.
ἡμ. Ὁ μέγας Ζεὺς ἀπαλέξαι
γάμον αἰγυπτογενῆ μοι.

¶ Πολύτεκνοι] πολυτεκνίας πρόξενοι. ¶ Θεσμὸς] ὁ τοῦ ἡμετέρου ὕμνου νόμος. ¶ Μετάκοινοι] κοινωνοί. ¶ Ἁρμονίᾳ] ἡ ἁρμονία μετέχει τῆς ἀφροδίτης. ¶ Ψεδυρὰ] ὅτι πολλὰ ψεύδονται οἱ ἐρῶντες. ¶ Φοβοῦμαι.] δέδοικα, ὅτι ἀπλοίας ἔτυχον, μὴ καὶ τοῦ γάμου τύχωσι. ¶ Μετὰ πολλῶν] μετὰ ἄλλων πολλῶν γάμων γυναικῶν, καὶ οὗτος πληρωθήσεται.

ἡμ. Τὸ μὲν ἂν βέλτατον εἴη· σὺ δὲ θέλοις ἂν ἄθελκτον.
ἡμ. Σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.
ἡμ. Τί δὲ μέλλω φρένα δίαν καθορᾶν, ὄψιν ἄβυσσον;
μέτριον νῦν ἔπος εὔχου.
ἡμ. Τίνα καιρόν με διδάσκεις;
ἡμ. Τὰ θεῶν μηδὲν ἀγάζειν.
ἡμ. Ζεὺς ἄναξ ἀποστεροίη
γάμον δυσάνορα δάϊον, ὅσπερ Ἰὼ
πημονᾶς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχέθων·
εὐμενῆ βίᾳ κτίσας, καὶ κράτος νέμοι γυναιξίν.
ἡμ. Τὸ βέλτερον κακοῦ, καὶ τὸ δίμοιρον αἰνῶ,
καὶ δίκα δίκας ἕπεσθαι,
ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις
μηχαναῖς θεοῦ πάρα.

¶Μηδὲν ἀγάζειν] λίαν ἐξετάζειν. ¶Δίμοιρον αἰνῶ] ἡδέως ἔχω τὸ δίμοιρον τῶν κακῶν σὺν ἑνὶ ἀγαθῷ. ὅ ἐστι τῇ ἀπαλλαγῇ τοῦ γάμου. Πίνδαρος, ἓν παρ' ἐσθλὸν σύνδυο δαίονται πήματα βροτοῖς ἀθάνατοι.

ΤΕΛΟΣ.

Περὶ μέτρων οἷς ἐχρήσατο ὁ Αἰσχύλος.

ΕΝ ΤΗ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ.

68. Κάδμου πολῖται χρὴ λέγ.] Ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι, εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οζ΄, ὧν τελευταῖος, Πόλις γὰρ εὖ φέρουσα δαίμονας τίει.

72. Θρέομαι φοβερὰ μεγ.] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ριη΄. ὧν τὰ μὲν ἐστι χοριαμβικά, τὰ δέ, εἰ βούλει, καὶ ἀντισπαστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ ἡμιόλια, καὶ δίμετρα ἀκατάληκτα, καὶ τρίμετρα βραχυκατάληκτα, ὧν τελευταῖον, Μνήστορες ἐστέ μοι. οὕτω δὲ χρὴ μετρηθῆναι μᾶλλον, ἵν' εἴη κατάλληλα τὰ κῶλα, ὡς καὶ τὰ τῶν ἄλλων χορῶν.

77. Ὑμᾶς ἐρωτῶ θρέμμα.] Εἴσθεσις διπλῆ, ἧς περιέχεται ἡ μονοστροφικὴ αὕτη περίοδος, στίχων οὖσα ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κα΄.

78. Ὦ φίλοι Οἰδίπου] ὅμοια χρὴ εἶναι τοῖς ἑξῆς τρίμετρα βραχυκατάληκτα.

Τί οὖν; ὁ ναύτης] Ἰαμβικοὶ τρίμετροι στίχοι γ΄.

79. Ἀλλ' ἐπὶ δαιμόνων] Ἀντισπαστικὰ κῶλα ε΄. ἔστι δὲ ἀντιστροφὴ εἶναι τῆς ἄνω στροφῆς.

Πύργον στέγειν εὔχεσθε] Ἰαμβικοὶ στίχοι τρεῖς.

Μήποτ' ἐμὸν κατ' αἰῶνα] Ἑτέρα στροφή. τὰ γ΄ κῶλα, ἀντισπαστικά, ὅμοια τοῖς ἄνω γ΄. τὸ δὲ τέταρτον, ἡμιόλιον.

Μή μοι θεοὺς καλοῦσα] Ἰαμβικοὶ στίχοι τρεῖς.

80. Ἐς θεοῖς δέ τ' ἰσχὺς] Ἑτέρα ἀντιστροφή. τὰ γ΄ κῶλα, ἀντισπαστικά, ὅμοια τοῖς τῆς στροφῆς τριμέτροις βραχυκαταλήκτοις γ΄. τὸ δὲ δ΄ ἡμιόλιον.

Ἀνδρῶν τάδ' ἐστί, σφάγια] Ἰαμβικοὶ στίχοι τρεῖς.

Διὰ θεῶν, πόλιν νεμόμ.] Ἑτέρα στροφή. τὰ δὲ κῶλα, ἀντισπαστικὰ τρίμετρα, ὅμοια τοῖς ἄνω β΄. τὸ δὲ γ΄ ἡμιόλιον.

Οὔτοι φθονῶ σοι] Ἰαμβικοὶ στίχοι τρεῖς.

Ποταίνιον κλύουσα] Ἑτέρα ἀντιστροφή. τὰ δὲ κῶλα, ἀντισπαστικὰ τρίμετρα, ὅμοια τοῖς ἄνω β΄, τὸ δὲ γ΄ ἡμιόλιον.

Μὴ νῦν ἐὰν] οἱ ἑξῆς στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι με΄.

83. Μέλει, φόβῳ δ' οὐχ] ἔστι ὁ χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν πδ΄. ὧν τὰ μέν ἐστι τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. τὰ δέ, δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ. τὰ δέ, ἡμιόλια. εἰσὶ δὲ καὶ ἀντισπαστικά τινα δίμετρα ἀκατάληκτα. ὧν τελευταῖον, Ἀλγέων ἐπίρροθον. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἕξ.

90 Τὸν ἀμὸν νῦν αἰπύπαλον] Ἀντισπαστικὰ κῶλα ε΄. τὰ δ΄, τρίμετρα βραχυκατάληκτα. τὸ δὲ ε΄, ἡμιόλιον. ἔχουσι δὲ καὶ ταῦτα καὶ τὰ ἑξῆς πάντα τοὺς πλείους τῶν ποδῶν καὶ πεντασυλλάβους καὶ ἑξασυλλάβους. διαλύονται γὰρ καὶ τῶν τετρασυλλάβων ποδῶν αἱ μακραὶ συλλαβαὶ εἰς δύο βραχείας. ἔστι δὲ στροφή. ὅθεν γὰρ καὶ ἀντιστροφὴν τὰ κῶλα τὰ ἑξῆς τοῦ χοροῦ. ἴσθι δὲ ὅτι οἱ χορίαμβοι οὐκ ἐν τάξει αὐτῶν κεῖνται, ἀλλὰ προστιθεμένης καὶ ἑτέρας συλλαβῆς, γίνονται πεντασύλλαβοι, καὶ ἀποτελοῦσιν ἐπιτρίτους. ὁμοίως καὶ οἱ λοιποί.

Τούτῳ μὲν οὕτως ἀντυχεῖν] Διπλῆ ἑτέρα περίοδος. οἱ δὲ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ΄.

92. Ὀλοιθ' ὃς πόλει] Ἀντισπαστικὰ κῶλα ε΄, ἰσόμετρα τοῖς πρὸ αὐτῶν. ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφὴ τῆς προτέρας στροφῆς.

94. Ἐπεύχομαι δὴ τάδε] Ἀντισπαστικὰ κῶλα ε΄. τὰ δ΄ τρίμετρα βραχυκατάληκτα, ὅμοια τοῖς προτέροις. τὸ δὲ ε΄ ἡμιόλιον. ἔοικε δὲ εἶναι ἑτέρα στροφή.

Τέταρτος ἄλλος] Διπλῆ ἑτέρα περίοδος. οἱ δὲ στίχοι, ἰαμβικοὶ τρίμετροι λε΄.

96. Πέποιθα τὸν Διὸς] Ἀντισπαστικὰ κῶλα ε΄ ἰσόμετρα τοῖς πρὸ αὐτῶν. ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή.

98. Ἱκνεῖται λόγος διὰ στηθέων] Ἀντισπαστικὰ κῶλα ε΄. τὰ μὲν δ΄ τρίμετρα βραχυκατάληκτα, τὸ δὲ ε΄ ἡμιόλιον. ἔοικε δὲ καὶ ταῦτα ἑτέρα εἶναι στροφή. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὰ κῶλα τοῦ ἑξῆς χοροῦ. ἔχει δὲ καὶ ταῦτα πεντασυλλάβους καὶ ἑξασυλλάβους πόδας.

102. Κλύοντες θεοὶ δικαίας λιτὰς] Ἀντισπαστικὰ κῶλα ε΄, ἰσόμετρα τοῖς πρὸ αὐτῶν. ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή.

105. Τί μέμηνας τέκνον;] Ἀντισπαστικὰ κῶλα γ΄. τὰ δύο, τρίμετρα βραχυκατάληκτα ὅμοια τοῖς πρὸ αὐτῶν, τὸ δὲ τρίτον, ἡμιόλιον. ἔοικε δὲ στροφῇ. ἰσόμετρα δὲ εἶναι τοῖς προρρηθεῖσιν, εἰ καὶ πλείω συλλαβὰς ἔχει.

106. Ὠμοδακής σ' ἄγαν] Ἀντισπαστικὰ κῶλα γ΄ ἰσόμετρα τοῖς ἄνω.

107. Νῦν ὅτι σοι παρέστακεν] Ἀντισπαστικὰ κῶλα δ΄, ἰσόμετρα τοῖς ἄνω τοῦ χοροῦ κώλοις.

Πέφρικα τὰν] Οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων ιβ΄, ὧν τὰ πρῶτα ιδ΄, ἀναπαιστικά· τὰ μὲν δίμετρα βραχυκατάληκτα, τὰ δὲ ἀκατάληκτα, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ ἑξῆς πάντα, χοριαμβικὰ καὶ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα.

110. Θαρσεῖτε παῖδες] Εἴσθεσις μελικῆς διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ΄.

112. Ὦ μεγάλε Ζεῦ] Ὁ χορὸς οὗτος συνίσταται ἐκ κώλων καὶ στίχων με΄. ὧν τὰ πρῶτα δέκα, ἀναπαιστικά· τὰ μὲν πρῶτα δύο, δίμετρα ἀκατάληκτα, τὸ δὲ γ΄ μονόμετρον. τὰ ἑξῆς πέντε, δίμετρα ἀκατάληκτα. τὸ θ΄ μονόμετρον. τὸ δὲ ι΄, δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξεν. εἰσὶν οὖν τὰ ἑξῆς δύο κῶλα, τροχαϊκά. τὸ πρῶτον, δίμετρον ἀκατάληκτον. τὸ δὲ δεύτερον, ἑφθημιμερές. ὁ ιγ΄, ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς β΄ κῶλα, τροχαϊκὰ ἑφθημιμερῆ. τὰ ἑξῆς δύο κῶλα, ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ ἑξῆς γ΄, τροχαϊκά· τὸ β΄, δίμετρον ἀκατάληκτον, τὰ δὲ β΄ ἑφθημιμερῆ. ὁ κα΄, ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς δ΄, ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ δὲ ε΄, τροχαϊκὸν ἑφθημιμερές. ὁ κζ΄ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς δ΄ κῶλα, ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ δὲ ε΄, τροχαϊκὸν ἑφθημιμερές. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξεν. εἰσὶν οὖν στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ε΄. ἐν ἐκθέσει δὲ κῶλον ἀναπαιστικὸν ἑφθημιμερὲς, ὅμοιον τοῖς ἑξῆς. ἔθος γάρ ἐστι τοῖς ποιηταῖς ἐν τῇ ἐκθέσει τῶν μελῶν τὰ τοιαῦτα κῶλα τιθέναι ὅμοια τοῖς ἑξῆς. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξεν αὖθις. καί εἰσι κῶλα ἀναπαιστικὰ θ΄. ὧν τὰ μὲν ἑπτὰ, δίμετρα ἀκατάληκτα· τὸ η΄ μονόμετρον, ὃ καὶ παραπλευτικὸν ὀνομάζεται. ἔθος γάρ ἐστιν ἐν τῇ ἐκθέσει τῶν μελῶν ὡς ἐπὶ τὸ πλεῖστον, τὸ παραπλευτικὸν κῶλον, μονόμετρον, τιθέναι. τὸ δὲ θ΄ κῶλον ἐστὶν ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. σύνηθες γὰρ τὸ ἑφθημιμερὲς ἐν τῷ τέλει κεῖσθαι τῶν μελῶν.

114. Ἰὼ δυσαδελφόταται] Τὸ πρῶτον, ἰαμβικὸν μονόμετρον· τὰ δὲ δ΄, ἀναπαιστικά.

Ἰὼ ἰὼ δύσφρονες] τροχαϊκὰ τὰ γ΄. τὸ δὲ δ΄ ἰαμβικὸν τρίμετρον.

115. Τετυμμένοι δῆθ', ὅμοι. σπλάγχνων] Ἀντισπαστικὰ ἡμιόλια β΄, καὶ ἓν μονόμετρον.

Ἀναυδάτῳ μόρῳ] ὅμοια ἡμιόλια γ΄.

Διώκει δὲ τὸ πόλιν] ὅμοια ἑφθημιμερῆ δ΄, τὰ ἡμιόλια β΄, καὶ πενθημιμερὲς ἕν.

116. Δόμων μάλ' ἀχὼ ἐπ' αὐτοῖς] ὅμοια δίμετρα ἀκατάληκτα ἕξ. τὸ δὲ ζ ἑφθημιμερές.

Πάρεστιν δ' εἰπεῖν] ὅμοια ἑφθημιμερῆ ε΄.

Ὁμόσποροι δῆτα] Ἀντισπαστικοὶ δ΄ ἡμιόλιοι.

117. Πικρὸς λυτὴρ] ὅμοια ς΄ καταληκτικά. τὰ δὲ ε΄ ἑφθημιμερῆ.

Ἔχουσι μ.] ὅμοια δ΄. τὸ πρῶτον, τρίμετρον καταληκτικόν, τὸ δὲ γ΄ ἑφθημιμερές.

Ἰὼ πολλοῖς ἐπωδυνος.] ὅμοια δέκα, τὰ μὲν, δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἡμιόλια.

Παιδοὶς ἔπαισας] τὰ ἑξῆς ταῦτα, ἰαμβικὰ ε΄· τὸ α΄, τρίμετρον, τὰ δὲ γ΄ δίμετρα· τὰ γὰρ β΄ συνόντα ἓν ποιοῦσι κῶλον· τὸ δὲ πέμπτον ἑφθημιμερές.

118. Ἠὲ ἠὲ] Μονόμετρον.

Ἐντὸς δὲ καρδία στένει] ἰαμβικοὶ τρεῖς δίμετροι.

Πρὸς φίλου γ' ἔφθισο] Τροχαϊκοὶ β΄ ἰθυφαλλικοί.

Διπλᾶ λέγω] ἰαμβικὰ δίμετρα γ΄.

Μοῖρα βαρυδότειρα] Τροχαϊκὰ β΄.

Ἠὲ ἠὲ δισσὰ τὰ] τροχαϊκὰ γ΄.

Οὐδ' ἵκεθ' ὡς κατέκτανε] Ἰαμβικὰ ζ.

119. Μοῖρα βαρυδότειρα] ὅμοια τοῖς ἄνω.

Σὺ τοίνυν οἶσθα] Ἰαμβικὰ δ΄.

Ἰὼ ἰὼ καὶ πρόσω γ' ἐμοί.] κῶλα ιϛ΄. τὰ πρῶτα, ἰαμβικὴ βάσις· τὰ δὲ β΄, τροχαϊκὰ ἑφθημιμερῆ.

Δοκοῦντα καὶ δόξαντ' ἀπαγ.] Ἔκθεσις ἁπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι μθ΄.

122. Φεῦ φεῦ ὦ μεγάλαυχοι] διπλῆ ἐν ἐκθέσει τοῦ δράματος, ἀμοιβαίας τὰς περιόδους ἔχουσα. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά. ἤτοι ἑφθημιμερῆ δ΄, μονόμετρα κϛ΄. ὧν τὸ κε΄, μονόμετρον, τὸ δὲ τελευταῖον ὀνομαζόμενον. τὸ δὲ κϛ΄, τὸ Καταχλυσθεῖσαι τὰ μάλιστα, ἑφθημιμερές. καὶ ἑξῆς ἡ κορωνὶς ἡ τὸ δρᾶμα ἀποπερατοῦσα.

ΕΝ ΠΕΡΣΑΙΣ.

125. Τάδε μὲν περσῶν] Ἡ ἔκθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστὶ περιόδου. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ τὰ μονόμετρα ξέ. εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβάς, τὸ μέτρον τοῦτο ἐνήλλαξε. καὶ εἰσι τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ καὶ ἀκατάληκτα, τὰ μονόμετρα μζ΄. ὧν τὸ τελευταῖον, τροχαϊκὸν ἰθυφαλλικὸν διὰ τὰ ἑξῆς. εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβάς, καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο. καὶ εἰσι τὰ ἑξῆς κῶλα, τροχαϊκὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ τὰ πενθημιμερῆ, καὶ βραχυκατάληκτα,

ἤτοι ἰθυφαλλικὰ καὶ ἀκατάληκτα κϛʹ. ὧν τὸ προτελευταῖον, ἀναπαιστικόν, μετὰ τὰ ἑξῆς πενθημιμερῆ· τὸ δὲ τελευταῖον, ἰθυφαλλικόν. μετὰ δὲ τὸ ϛʹ κῶλον καὶ τὸ ηʹ, μέσον τι κώλου τὸ ὀά ἤ). εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, τὸ πρότερον αὖθις ἔλαβε μέτρον· καί εἰσι τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ μονόμετρα κέ. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δʹ ὅμοιοι τοῖς ἑξῆς.

Ταῦτα δὴ λιποῦσ' ἱκάνω] Ἡ εἴσθεσις μονοστροφικῆς περιόδου, εἰ δὲ βούλει, διπλῆς μελικῆς. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ιζʹ.

133. Πολλοῖς μὲν αἰεί] Ἡ εἴσθεσις μονοστροφικῆς περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λθʹ, ὧν τελευταῖος, Σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

135. Οὔτοι βουλόμεσθα μῆτερ] Ἡ εἴσθεσις διπλῆς μελικῆς. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λδʹ, ὧν τελευταῖος, Καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

137. Ὦ γῆς ἁπάσης] Εἴσθεσις ἑτέρα διπλῆς μελικῆς, στίχων καὶ κώλων μαʹ. εἰσὶ δὲ οἱ μὲν στίχοι τοῦ ὑποκριτοῦ, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· τὰ δὲ κῶλα τοῦ χοροῦ, ἀντισπαστικά.

138. Ἄνια, ἄνια κακά] Ἀντισπαστικὰ κῶλα, τὰ μὲν γʹ ἡμιόλια, τὸ δὲ δʹ πενθημιμερές. ἔοικε δὲ στροφῇ.

Στυγναί γ' Ἀθῆναι] Ἀντισπαστικὰ κῶλα δʹ, ὅμοια τοῖς πρὸ αὐτοῦ. ἔοικε δὲ ἀντιστροφῇ.

Σιγῶ πάλαι δύστηνος] Εἴσθεσις διπλῆς καθόλου ἐν μονοστροφικαῖς περιόδοις. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σμβʹ, ὧν τελευταῖος, Μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν.

150. Ἀλλ' ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ξϛʹ. ὧν τὰ μὲν ιϛʹ εἰσὶν ἀναπαιστικά, τὸ γʹ καὶ τὸ ηʹ, μονόμετρα, τὰ λοιπά, δίμετρα ἀκατάληκτα· τὸ δὲ ιϛʹ, ἑφθημιμερές. εἶτα εἰς ἑτέραν μεταβὰς ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξε. καί εἰσι τὰ ἑξῆς κῶλα, χοριαμβικὰ λϛʹ. ὧν τὰ μὲν εἰσι δίμετρα ἀκατάληκτα· τὰ δέ, καταληκτικά, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ ἡμιόλια· τὰ δὲ τρίμετρα βραχυκατάληκτα. εἶτα πάλιν ἐνήλλαξε τὸ μέτρον, καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ ιδʹ, ἃ καλεῖται προσοδιακά, διὰ τὸ ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος συγκεῖσθαι. εἰσὶ δὲ τὰ μὲν πρῶτα δʹ, δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑξῆς γʹ, δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ. τὰ τούτων ἑξῆς δʹ δίμετρα ἀκατάληκτα, ὅμοια τοῖς πρώτοις. τὰ δὲ ἑξῆς γʹ, ἑφθημιμερῆ πάλιν, ὧν τελευταῖον, Νᾶσος ἔχει τὰ Περσῶν.

153. Φίλοι, κακῶν μὲν] Ἡ μονοστροφικὴ αὕτη περίοδος, στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων καʹ ὧν τελευταῖος, Τιμὰς προπέμψω ταῖσδε νερτέροις θεοῖς.

155. Βασίλεια γύναι] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων κηʹ. ὧν τὰ πρῶτα ιʹ, εἰσὶν ἀναπαιστικά· τὸ μὲν δʹ μονόμετρον· τὸ δὲ εʹ καὶ ιʹ, ἑφθημιμερῆ· τὰ δὲ λοιπά, δίμετρα ἀκατάληκτα. ἑξῆς δὲ τούτων μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, ἐνήλλαξε καὶ τὸ μέτρον. καί εἰσι κῶλα ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ μονόμετρα ιηʹ. ὧν τελευταῖον, Νᾶες ἄναες ἄναες.

157. Ὦ πιστὰ πιστῶν] εἴσθεσις διπλῆ καθόλου τῆς περιόδου) στίχοι ἰαμβικοὶ ιγʹ. ἑξῆς δὲ τούτων, κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ γʹ. ὧν τὰ βʹ, δίμετρα βραχυκατάληκτα. τὸ δὲ γʹ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἑξῆς τούτων στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ γʹ. ἑξῆς τούτων κῶλα ὅμοια τοῖς ἄνω ἀναπαιστικὰ γʹ. ἑξῆς δὲ ἐπὶ τούτων ἡ τελεία διπλῆ. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ιϛʹ, ὧν τελευταῖος, Τίνα δ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.

161. Τεκνόν σου ἔργον] Διπλῆ ἐπεὶ ἐχομένη τῆς περιόδου διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ζγ΄, ὧν τελευταῖος, Οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

166. Ὦ πόποι, ὦ μεγάλας] Ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων κζ΄. ὧν τὰ μὲν εἰσὶν ἀναπαιστικὰ μονόμετρα ἀκατάληκτα, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἑφθημιμερῆ, ἤτοι δίμετρα καταληκτικά, ἃ καλεῖται παροιμιακά. τὰ δὲ εἰσὶν ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δὲ, τροχαϊκὰ ἑφθημιμερῆ καὶ ἰθυφαλλικά. ὧν τελευταῖον, Πλαγᾶσι πονήσαισιν. ὅπερ ἰαμβικόν ἐστιν ἑφθημιμερές.

168. Ἰὼ, δύστηνος ἐγώ] Εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος. τὰ δὲ κῶλα τὰ μὲν εἰσὶν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ, καὶ βραχυκατάληκτα δίμετρα καὶ μονόμετρα. τὰ δὲ, τροχαϊκὰ ἑφθημιμερῆ καὶ πενθημιμερῆ. τὰ δὲ, ἰαμβικὰ δίμετρα ἀκατάληκτα καὶ τρίμετρα ἀκατάληκτα καὶ μονόμετρα, ὧν τελευταῖον καὶ παντὸς τοῦ δράματος, Πέμψω σοι δακρυρρόοις γόοις. ὅπερ ἰαμβικόν ἐστι δίμετρον ἀκατάληκτον. καὶ ἑξῆς τοῦτο ἡ κορωνὶς ὡς τὸ δρᾶμα ἀποπερατοῦντα.

169. Αἰαῖ κλεινὰς ἀκτάς] Τὰ β΄ ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα, τὸ γ΄ μονόμετρον. τὸ δὲ δ΄ πενθημιμερὲς ἐκ προκελευσματικοῦ.

Οἴ 'γώ] Τὰ β΄ ἑφθημιμερῆ, τὸ δὲ γ΄ δίμετρον ἐκ προκελευσματικοῦ.

170. Πρόσφθογγον ἐνέπω] Τὸ α΄ ἑφθημιμερές, τὰ ς΄ δὲ, μονόμετρα, ἔχοντα τοὺς πόδας προκελευσματικούς.

Ἴτ' αἰανῶ] Τὸ α΄, δίμετρον ἀκατάληκτον. μονόμετρα δὲ τὰ γ΄. τὸ δ΄ δὲ ἐκ προκελευσματικοῦ.

Ποῦ δὲ φίλων ἄγος ὄχλος] Τροχαϊκὰ ς΄ ἑφθημιμερῆ. τὸ δὲ ζ΄ πενθημιμερές.

Ὀλοὺς] Ἀναπαιστικὰ δ΄. τὰ γ΄ δίμετρα βραχυκατάληκτα, τὸ δ΄ πενθημιμερές.

171. Ποῦ δέ σοι σκηπτοῦχος] Τροχαϊκὰ ζ΄. τὰ μὲν δ΄ ἑφθημιμερῆ. τὰ δὲ β΄ δίμετρα ἀκατάληκτα. τὸ δὲ ζ΄ πενθημιμερές.

Ἰὼ ἰώ μοι] πενθημιμερὲς ἰαμβικόν.

Τὰς ὠγυγίας] Ἀναπαιστικὰ δ΄. τὸ α΄ ἑφθημιμερές. τὰ γ΄ δίμετρα βραχυκατάληκτα.

Ἰυγά μοι δῶτ' ἀγαθῶν] Ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα ε΄.

Καὶ μὴν ἄλλους ποθοῦμεν] Ἀναπαιστικὰ ζ΄. τὸ β΄ δίμετρον ἀκατάληκτον. τὸ ε΄ μονόμετρον. τὰ δὲ λοιπὰ ἑφθημιμερῆ.

172. Ἔπαφον ἔπαφον] Ἰαμβικὰ τρίμετρα βραχυκατάληκτα γ΄. τὸ δ΄ δίμετρον ἀκατάληκτον.

Ἰὴ ἰὴ, ἰὼ ἰώ] Ἰαμβικὰ δ΄. τὰ γ΄ δίμετρα ἀκατάληκτα. τὸ δὲ δ΄ ἑφθημιμερές.

Πεπλήγμεθ'· εὔδηλα γάρ] Κῶλα ε΄. τὸ α΄ καὶ γ΄ καὶ δ΄ ἰαμβικὰ ἑφθημιμερῆ, σελοδικὰ καλούμενα, διὰ τὸ ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας συγκεῖσθαι. τὸ β΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ ε΄, ἀναπαιστικὸν ὅμοιον.

Πᾶς δ' οὐ στρατός] Ἰαμβικὰ δ΄. τὸ μὲν α΄ ἑφθημιμερές, τὰ δὲ γ΄ πενθημιμερῆ.

Ὁρᾷς] Ἰαμβικὰ ε΄. τὸ α΄ δίμετρον. τὸ β΄ καὶ δ΄ μονόμετρα. τὸ γ΄ δίμετρον. τὸ ε΄ ἑφθημιμερές.

Βαιά γ' ὡς ἀπὸ πολλῶν] Τροχαϊκὰ ἰθυφαλλικά.

173. Λυπρά, χρήματα] Ἀναπαιστικὰ πενθημιμερῆ γ΄. τὸ δὲ δ΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Δίαινε δίαινε] Ἰαμβικὸν τρίμετρον.

Αἰαῖ αἰαῖ] Ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ΄.

Ὀτοτοτοῖ] Ἰαμβικὸν μονόμετρον ἐκ τριβράχου.

Βαρεῖα] δίμετρα ὅμοια β΄.

Ερεσ' ἔρεσσε] Ιαμβικὸν τρίμετρον.

Διαίνομαι] Ιαμβικὰ δίμετρα ἀκατάληκτα δ΄.

174. Ὀτοτοτοῖ] Ιαμβικὰ γ΄, τὸ α΄ μονόμετρον ἐκ τετραβράχου, τὸ β΄ δίμετρον ἀκατάληκτον, τὸ δὲ γ΄ ἑφθημιμερές.

Ἰὼ ἰὼ τρισσοῖς] Τροχαϊκά.

Γέμψω σε δυσθρόοις γόοις] Ιαμβικὸν δίμετρον.

ΕΝ ΑΓΑΜΕΜΝΟΝΙ.

176. Θεοὺς μὲν αἰτῶ] Εἰσθέσεις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐπὶ περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λθ΄. ὧν τελευταῖος, Μαθοῦσιν αὐδῶ, κ' οὐ μαθοῦσι λήθομαι. μετὰ δὲ τὸν κθ΄, κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

177. Δέκατον μὲν ἔτος] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων σλβ΄. ὧν τὰ μὲν ξη΄, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ, καὶ μονόμετρα. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξεν. καί εἰσι τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ δίμετρα ἀκατάληκτα ὀκτὼ καὶ μονόμετρα ξη΄. ἑξῆς δὲ εἰς ἑτέραν ὑπόθεσιν μεταβάς, καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο. καί εἰσι τὰ ἑξῆς κῶλα, χοριαμβικὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ, καὶ ἀκατάληκτα καὶ ἡμιόλια, καὶ πενθημιμερῆ, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ ρη΄. ὧν τελευταῖον, Γαίας μονόφρουρον ἕρκος. τὰ δὲ τοιαῦτα εἴδη τῶν χορῶν, ὡς εἴρηται καὶ ἐν τῇ ἀρχῇ τοῦ τῶν Περσῶν δράματος, ἑτέρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. εἰσὶ δὲ τὰ κατὰ σχέσιν, στροφαὶ ὀξ. ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ξη΄. ὧν τὰ μὲν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ μονόμετρα· τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἤγουν ἑφθημιμερῆ. ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος.

179. Κύριός εἰμι] Ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαί· καί εἰσι τῆς πρώτης ταύτης στροφῆς κῶλα ιθ΄, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. εἰσὶ δὲ τὰ πλείω μὲν, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤγουν ἑφθημιμερῆ, καὶ μονόμετρα καὶ πενθημιμερῆ. τινὰ δὲ καὶ δακτυλικὰ ἰαμβικά· ἃ καὶ μαθήσεις ἑπομένως οἷς πρότερον εἰρήκαμεν. τὸ μέντοι τελευταῖον κῶλον τῆς τε στροφῆς καὶ ἀντιστροφῆς καὶ τῆς ἐπῳδοῦ, καλεῖται ἐφύμνιον, καί ἐστι δακτυλικὸν πεντάμετρον. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ἔστι δὲ τελείας ἐπῳδική.

184. Ηκω σεβίζων] Αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξζ΄· ὧν τελευταῖος, Χάρις γὰρ ἣν ἄπιμος εἴργασται πόνων. ἐπὶ τῇ ἀποθέσει παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνὶς ἐπὶ τοῦ χοροῦ.

188. Ὦ Ζεῦ βασιλεῦ] εἴρηται ἡμῖν ἐν τῷ τῶν Περσῶν δράματι περὶ τῶν εἰδῶν τούτων τῶν χορῶν. ὅμοιοι γάρ εἰσιν ἐκείνοις καὶ οὗτοι. ἔχει γὰρ ἐν ἀρχῇ μὲν, σύστημα ἐπιφθεγματικὸν, εἰς δύο διῃρημένον περιόδους κώλων ἀναπαιστικῶν ιβ΄· ἑξῆς δὲ στροφὰς γ΄, καὶ ἀντιστροφὰς τοσαύτας, καὶ ἐπῳδὸν· καλεῖται δὲ ταῦτα εἴδη ἐπῳδικά. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος.

190. Ὁ χειμαμοιβός] στροφὴ ἑτέρων κώλων ζ΄.

Βαρεῖα δ' ἀστῶν] Ἀντιστροφὴ κώλων ζ΄.

192. Πυρὸς δ' ὑπ' ἀγγέλου] ἐπῳδὸς κώλων ιε΄.

198. Τίς ποτ' ὠνόμαζεν] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρκζ΄. ὧν τὰ μὲν ρ΄ εἰσὶ χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, πενθημιμερῆ, καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξε. καί εἰσι τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, καὶ μονόμετρα, κζ΄. ὧν τελευταῖον, Πόλιν οἰκουροῦσιν ταύτην.

Τίς ποτ' ὠνόμαζεν] Στροφὴ κώλων ιζ΄.

Ἰλίῳ δὲ κῆδος] Ἀντιστροφὴ κώλων ιζ΄.

Ἔστερξεν δὲ λέοντα] στροφὴ ἑτέρα κώλων ι΄.

Χρονισθεὶς δ' ἀπέδειξεν] Ἀντιστροφὴ κώλων ι΄.

Παραυτὰ δ' ἐλθεῖν ἤθελεν] στροφὴ ἑτέρα κώλων ιδ΄.

Παλαίφατος δ' ἐν οἷς βροτοῖς] Ἀντιστροφὴ κώλων ιδ΄.

Φιλεῖ δὲ τίκτειν ὕβρις] στροφὴ ἑτέρα κώλων ι΄.

200. Δίκα δὲ λάμπει μὲν] Ἀντιστροφὴ κώλων ι΄.

Ἄγε δὴ βασιλεῦ] σύστημα ἐπιφθεγματικὸν κώλων ἀναπαιστικῶν κζ΄.

Πρῶτον μὲν Ἄργος] Εἴσθεσις διπλῆς μονοστροφικῆς τε καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἀμβικοὶ τρίμετροι ἀκατάληκτοι ρξε΄. ὧν τελευταῖος, Μέλοι δὲ καὶ σοὶ τοῦτο γὰρ ἂν μέλλης τελεῖν.

206. Τί πότε μοι τοῦτ' ἐμπέδως] Ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν ξ΄. ὧν τὰ μὲν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, τὰ δὲ, πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα. ὧν τελευταῖον, Ζωπυρουμένας φρενός.

Τί πότε μοι τοῦτ' ἐμπέδως] Στροφὴ κώλων ιγ΄.

Πεύθομαι δ' ἀπ' ὀμμάτων] Ἀντιστροφὴ κώλων ιγ΄.

Μάλα γάρ τοι τᾶς πολλᾶς] Στροφὴ ἑτέρα κώλων ιε΄.

207. Μέλαν αἷμα πεσὸν πάλιν] Ἀντιστροφὴ κώλων ιε΄.

Εἴσω κομίζου] Αἱ συστηματικαὶ αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λζ΄. ὧν τελευταῖος, Ἑκοῦσ' ἀνάγκη τῇδε καίνισον ζυγόν. ἐπὶ ταῖς ὑποθέσεσι παράγραφος, ἐπὶ τῷ τέλει κορωνίς.

208. Ὀτοτοτοῖ ποποῖ δᾶ] Εἴσθεσις διπλῆς ἀμοιβαίας, τὰς περιόδους μονοστροφικὰς καὶ συνεχεῖς ἔχουσα. εἰσὶ δὲ οἱ μὲν τοῦ χοροῦ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ δὲ τοῦ ἑτέρου προσώπου κῶλα, ἀναπαιστικά. ἴσως δὲ ταῦτα στροφὴ καὶ ἀντιστροφή. καί εἰσι τῆς μὲν στροφῆς κῶλα β΄. ὧν τὸ α΄ ἡμιόλιον, τὸ δὲ β΄ πενθημιμερές. ὁμοίως καὶ τῆς ἀντιστροφῆς. τὰ αὐτὰ γάρ εἰσι κῶλα. ἔχουσι δὲ καὶ τοὺς πόδας πεντασυλλάβους.

209. Ἄπολλον, ἄπολλον, Ἀγυιᾶτ' ἀπόλλων ἐμός. Ἀπώλεσας γάρ] Ἑτέρα στροφὴ κῶλα γ΄. ὧν τὸ α΄ πενθημιμερές, τὸ β΄ δίμετρον ἀκατάληκτον, τὸ δὲ γ΄, ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος.

Ἄπολλον, ἄπολλον, Ἀγυιεῦ τ' ἀπόλλων ἐμός. Ἀποῖ] Ἀντιστροφὴ ἔχουσα κῶλα γ΄ ὅμοια τοῖς τῆς στροφῆς.

Μισόθεον μὲν οὖν] Ἑτέρα στροφὴ ἔχουσα κῶλα γ΄. ὧν τὸ α΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, τὸ β΄ δίμετρον ἀκατάληκτον. ἔχουσι δὲ πεντασυλλάβους πόδας. τὸ δὲ γ΄, ἰαμβικὸν τρίμετρον ἀκατάληκτον.

Μαρτυρίοις γάρ] Ἀντιστροφὴ ἑτέρα ἔχουσα κῶλα γ΄ ὅμοια τοῖς τῆς στροφῆς.

Ἰὼ ποποῖ] ἑτέρα στροφὴ ἔχουσα κῶλα ε΄. ὧν τὸ πρῶτον, ἀντισπαστικὸν δίμετρον ὑπερ-

καταληκτον. τὸ β´ δίμετρον καταληκτικόν, ἤτοι τὸ ἑφθημιμερές. τὸ γ´ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ δὲ ε´ πενθημιμερές. ἔχουσι δὲ τοὺς πόδας πεντασυλλάβους.

Ἰὼ τάλαινα. τόδε γὰρ πελᾶς] Ἑτέρα ἀντιστροφὴ ἔχουσα κῶλα ε´ ὅμοια τοῖς τῆς στροφῆς.

210. Ἒ ἔ, παπαῖ παπαῖ] Ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον, καὶ προσέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἒ ἔ. τὰ δὲ ἑξῆς κῶλά εἰσιν ε´. ὧν τὸ α´, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ β´ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ γ´ ἰαμβικὸν τρίμετρον. τὸ δ´ ὅμοιον τῷ α´. τὸ δὲ ε´ τρίμετρον καταληκτικόν, καὶ αὐτὸ ἀντισπαστικόν. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.

Γοίας ἰελυτικῷ] Ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶ ς´, ὧν τὰ πρῶτα β´ ἰαμβικὰ τρίμετρα. τὸ γ´ καὶ δ´, ἀντισπαστικὰ τρίμετρα καταληκτικά. τὸ ε´ δίμετρον ὑπερκατάληκτον. τὸ δὲ ς´ ἑφθημιμερές. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.

Ἂ ἄ, ἰδοὺ ἰδοὺ] Ἀντιστροφή ἐστιν αὕτη τῆς ῥηθείσης στροφῆς, καὶ ἔχει κῶλα ἰσόμετρα ἐκείνῃ ε´.

Οὐ κομπάσαιμ᾽ ἂν θεσφάτων] Τῆς τοῦ χοροῦ στροφῆς αὕτη ἐστὶν ἀντιστροφή, ἔχουσα κῶλα ὅμοια ς´.

211. Ἰὼ ἰώ, ταλαίνας κακόποτ.] στροφὴ ἑτέρα κώλων ε´. ὧν τὸ α´ μονόμετρον. τὸ β´ δίμετρον ὑπερκατάληκτον ἀντισπαστικόν. τὸ γ´ τρίμετρον καταληκτικὸν ὅμοιον. τὸ δ´ ἰαμβικὸν τρίμετρον. τὸ ε´ ὅμοιον τῷ γ´.

Φρενομανής τις εἶ] Ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ς´ ἀντισπαστικῶν. ὧν τὸ α´ τρίμετρον βραχυκατάληκτον. τὸ β´ πενθημιμερές. τὸ γ´ δίμετρον ἀκατάληκτον. τὸ δ´ τρίμετρον καταληκτικόν. τὸ ε´ ὅμοιον τῷ α´. τὸ ς´ ὅμοιον τῷ β´.

Ἰὼ ἰώ, λιγείας] Ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ε´.

Πόθεν ἐπισσύτους] Ἀντιστροφὴ ἑτέρα τῆς τοῦ χοροῦ στροφῆς, κώλων ὁμοίων ς´.

Ἰὼ γάμοι γάμοι] Ἑτέρα στροφὴ κώλων ς´ ἀντισπαστικῶν. ὧν τὸ α´ καὶ β´ τρίμετρον ἀκατάληκτον. τὸ γ´ τρίμετρον βραχυκατάληκτον. τὸ δ´ πενθημιμερές. τὸ ε´ καὶ τὸ ς´, ὅμοια τῷ πρώτῳ.

212. Τί τόδε τορὸν ἄγαν] ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ε´ ἀντισπαστικῶν. ὧν τὸ α´ δίμετρον ὑπερκατάληκτον. τὸ β´ ἑφθημιμερές, τὸ γ´ τρίμετρον καταληκτικόν. τὸ δ´ ὅμοιον. τὸ ε´ πενθημιμερές.

Ἰὼ πόνοι πόνοι] Ἀντιστροφὴ τῆς ἄνω στροφῆς, κώλων ὁμοίων ς´.

Ἐπόμβρα προστίροις] Ἀντιστροφὴ τοῦ χοροῦ, κώλων ὁμοίων ε.

Καὶ μὴν ὁ χρησμὸς ἐκέτ᾽ ἐκ] Εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ´, ὧν τελευταῖος, Καὶ ταῦτ᾽ ὀκνεῖτε μᾶλλον οἰκτείρω πολύ. μετὰ δὲ τὸν λς´, κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. μετὰ δὲ τὸν ρκζ´, κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον. μετὰ δὲ τὸν ρλδ´, κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον.

217. Τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ] Εἴσθεσις χοροῦ ἐπῳδική, διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ ις´. ὧν τὸ ς´, μονόμετρον, τὰ δὲ λοιπά, δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ.

218. Ὤμοι πέπληγμαι] Εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικῆς. οἱ δὲ στίχοι εἰσὶν ξδ´, ὧν ὁ β´ καὶ δ´ καὶ ε´ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ δὲ λοιποί, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος, Ἔργον δικαίας τέκτονος. τάδ᾽ ὧδ᾽ ἔχει.

220. Τί

220. Τί κακὸν ὦ γυναῖ χθονοτρεφὲς] στροφὴ χοροῦ ἐκ κώλων ἀναπαιστικῶν ε΄. ὧν τὸ α΄, δίμετρον ὑπερκατάληκτον, τὸ β΄ τρίμετρον βραχυκατάληκτον, τὸ γ΄ τρίμετρον καταληκτικόν, τὸ δ΄ ὅμοιον, τὸ ε΄ ὅμοιον.

Νῦν μὲν δικάζεις] ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιδ΄.

Μεγαλόμητις εἶ] ἀντιστροφὴ ἔχουσα κῶλα ε΄, ὅμοια τοῖς τῆς στροφῆς ἀναπαιστικοῖς.

221. Καὶ πῶς δ᾽ ἀκούεις] ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιζ΄.

Φεῦ, πῶς ἂν ἐν τάχει] Εἴσθεσις διπλῆς μονοστρόφοις ἔχουσα τὰς περιόδους· οὐ γὰρ ἔχει ἀντιστροφήν. καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα, χοριαμβικά· τοῦ δὲ ἑτέρου προσώπου, ἀναπαιστικά. εἰσὶ δὲ τῆς παρούσης στροφῆς, κῶλα χοριαμβικὰ ιδ΄, δίμετρα καὶ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. μετὰ δὲ τὸ ζ΄ κῶλον, κώλου τμῆμα τὸ ἰώ.

222. Μηδὲν θανάτου] ἀναπαιστικὰ κῶλα ς΄, ὧν τὸ β΄ μὲν, μονόμετρον· τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα· τὸ δὲ ς΄, ἑφθημιμερές.

Δαῖμον, ὃς ἐμπίπλης δώμασι καὶ] Στροφὴ ἑτέρα κώλων χοριαμβικῶν ζ΄. εἰσὶ δὲ τὰ μὲν, δίμετρα, τὰ δὲ, τρίμετρα, καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα.

Νῦν δ᾽ ὤρθωσας] Ἀναπαιστικὰ ὅμοια τοῖς προῤῥηθεῖσιν ἕξ.

Ἠ μέγαν οἴκοις] Ἑτέρα στροφὴ κώλων χοριαμβικῶν η΄. εἰσὶ δὲ τὰ μὲν, δίμετρα, τὰ δὲ, τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, τὰ δὲ, ἡμιόλια. μετὰ δὲ τὸ η΄ καὶ ιβ΄, κώλων τμήματα.

223. Αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν] Ἀναπαιστικὰ κῶλα η΄. ὧν τὸ β΄ καὶ ζ΄, μονόμετρα· τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα· τὸ δὲ η΄ ἑφθημιμερές.

Ὡς μὲν ἀναίτιος εἶ] Στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν η΄.

Ἰὼ ἰὼ, βασιλεῦ βασιλεῦ] Ἀναπαιστικὰ κῶλα ζ΄. ὧν τὸ β΄ μὲν καὶ ζ΄, ἑφθημιμερές· τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα. ὧν προστίθεται κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον.

Οὔτ᾽ ἀνελεύθερον οἶμαι θάνατον] Ἀναπαιστικὰ κῶλα θ΄. ὧν τὸ β΄ μὲν, μονόμετρον, τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα, τὸ δὲ θ΄ ἑφθημιμερές.

Ἀμηχανῶ] Στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν ζ΄.

224. Ἰὼ γᾶ γᾶ] Ἀναπαιστικὰ κῶλα ι΄. ὧν τὸ α΄, τὸ γ΄ καὶ τὸ ς΄ καὶ τὸ θ΄, μονόμετρον· τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα· τὸ δὲ ι΄ ἑφθημιμερές.

Τίς δ᾽ ἐπιτύμβιος] Χοριαμβικὰ κῶλα, ὅμοια τοῖς ῥηθεῖσι δ΄.

Οὔ σοι προσήκει] Ἀναπαιστικὰ κῶλα θ΄. ὧν τὸ γ΄, τὸ ς΄ καὶ τὸ η΄, μονόμετρον· τὰ δὲ λοιπὰ, δίμετρα καταληκτικά· τὸ δὲ θ΄ ἑφθημιμερές.

Ὄνειδος ἥκει] Ἑτέρα στροφὴ κώλων ὁμοίων τοῖς ῥηθεῖσι ζ΄. ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς στροφῆς ἧς ἡ ἀρχὴ Ἀμηχανῶ. ὅμοια γὰρ ἔχει τὰ κῶλα.

Ἐς τίνα δ᾽ ἔβη] Ἀναπαιστικὰ κῶλα ι΄· ὧν τὸ β΄ μονόμετρον, τὰ δὲ λοιπὰ, δίμετρα ἀκατάληκτα, τὸ δὲ ι΄ ἑφθημιμερές.

225. Ὦ φέγγος εὔφρον] Εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οβ΄. ὧν τελευταῖος, Ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς.

227. Ἀλλ᾽ ἐπεὶ δοκεῖς] Εἴσθεσις διπλῆς συνεχοῦς ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ κε΄. ὧν οἱ κγ΄, τετράμετροι καταληκτικοί. οἱ δὲ ἐν τῷ τέλει β΄, τρίμετροι ὑπερκατάληκτοι.

170. Πρῶτον μὲν ἀρχῇ τῇδε πρεσβεύω θεῶν] Ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου, καὶ ἑξῆς ἐκ συνεχοῦς διπλῆς. οἱ δὲ στίχοι, τρίμετροι ἀκατάληκτοι ρλε΄. μετὰ δὲ τὸν ρις΄, τὸν ριη΄, τὸν ρκ΄, τὸν ρκβ΄, κῶλα τμήματα δ΄, ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. μετὰ δὲ τὸν ρκδ΄, ἕτερα β΄ κῶλα· ὧν τὸ ἓν, δίμετρον βραχυκατάληκτον. τὸ δὲ ἕτερον, ἑφθημιμερὲς, ἐκ τετραχίων. εἰ δὲ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτοις. ὁ δὲ τελευταῖος, Ἔπου, μάραινε δευτέροις διώγμασιν.

276. Ἔγειρ᾽ ἔγειρε] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἀπειράδην κειμένων ιβ΄· κώλων δὲ, ἀναπαιστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ΄. ὧν τελευταῖος, Μιάστορ᾽ ἐκείνου πάσεται.

277. Ἔξω, κελεύω] Εἴσθεσις διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξέ. ὧν τελευταῖος, Αὐτοῦ φυλάσσειν αἰανῶ τέλος δίκης.

280. Εἶεν. τί δ᾽ ἐστί] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων καὶ κώλων λβ΄. ὧν οἱ μὲν εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιη΄· τὰ δὲ κῶλα, ἀναπαιστικὰ ιδ΄, ἡμιόλια καὶ πενθημιμερῆ, καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά.

281. Ἐγὼ διδαχθεὶς ἐν κακοῖς] Εἴσθεσις διπλῆς μεσικῆς δύο περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα΄. ὧν τελευταῖος, Ὕμνον δ᾽ ἀκούσῃ τόνδε δέσμιον σέθεν.

282. Ἄγε δὴ καὶ χορὸν ἅψωμεν] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ἀναπαιστικῶν ιε΄. ὧν τὰ μὲν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ, καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ. τὰ δὲ, πενθημιμερῆ, τὰ δὲ, μονόμετρα.

283. Μᾶτερ ἅ μ᾽ ἔτικτες] Ἡ μονοστροφικὴ αὕτη περίοδος κώλων ἐστὶ χοριαμβικῶν κδ΄. ὧν τὰ μὲν εἰσιν ἡμιόλια· τὰ δὲ, δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα· τὰ δὲ, τρίμετρα. ὧν τελευταῖον, — μικτος, ἄνων βροτοῖς.

284. Γιγνομέναισι λάχη] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν κς΄. ὧν τὰ μὲν ἐστιν ἡμιόλια· τὰ δὲ, δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα· τὰ δὲ, τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. ὧν τελευταῖον, Τάξιν γ᾽ ἔχουσα καὶ δυσήλιον κνέφας· ὃς μόνος ἰαμβικός ἐστι τρίμετρος.

285. Πρόσωθεν ἐξήκουσα] Εἴσθεσις διπλῆς μονοστροφικῆς συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ζβ΄. ὧν τελευταῖος, Ὅρκων περῶντας μηδὲν ἔκδικον φρενί.

289. Νῦν καταστροφαὶ νέων] Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν δ΄. ὧν τὰ μὲν ἐστιν ἡμιόλια, τὰ δὲ, δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, τὰ δὲ, τρίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα. ὧν τελευταῖος, Ὤλετ᾽ ἄκλαυτος, ἄϊστος.

291. Κήρυσσε κῆρυξ] Εἴσθεσις διπλῆς καθόλου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ΄. ὧν τελευταῖος, Σωτήριόν τι καὶ δορὸς νικηφόρον.

229. Ἰὼ θεοὶ νεώτεροι] Ὠιδὴ χοροῦ ἐπῳδική, διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. ἔχει δὲ δὶς τεθέντας μὲν γ΄ στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους· τὰ δὲ ἑξῆς κῶλα, εἰσὶν ἀναπαιστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ τρίμετρα ιγ΄.

301. Οὐκ ἔς ἄπειμι] Εἴδησις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικὰς ἔχουσα τὰς περιόδους. εἰσὶ δὲ τὰ τοῦ χοροῦ μὲν κῶλα ἀναπαιστικά, τὰ δὲ τοῦ ἑτέρου προσώπου, ἰαμβικοὶ στίχοι τρίμετροι. τῆς πρώτης οὖν περιόδου στίχοι εἰσὶν ιγ΄.

Ἐμὲ παθεῖν τάδε, φεῦ] Ἡ στροφὴ αὕτη τοῦ χοροῦ, κώλων ἐστὶν ἀναπαιστικῶν διμέτρων βραχυκαταλήκτων, καὶ καταληκτικῶν, καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ια΄.

302. Ἐμὲ παθεῖν τάδε, φεῦ] Ἡ μεσῳδικὴ αὕτη ἀντιστροφὴ κώλων ἐστὶν ἀναπαιστικῶν ια΄. τὰ αὐτὰ δὲ ἐστὶ κῶλα ἃ καὶ ἐν τῇ στροφῇ εἴρηται.

303. Οὔτοι καμοῦμαι] Εἴδησις διπλῆς συνεχοῦς μελικῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λε΄. ὧν τελευταῖον, Τὴν δ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.

304. Δέξομαι Παλλάδος] Εἴδησις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος, ἀμοιβαίας τὰς περιόδους ἔχουσα. εἰσὶ δὲ τὰ μὲν τοῦ χοροῦ κῶλα, χοριαμβικά· τὰ δὲ, τοῦ ἑτέρου προσώπου, ἀναπαιστικά. εἰσὶ δὲ τὰ τῆς πρώτης ταύτης στροφῆς κῶλα, χοριαμβικὰ ὅμοια τοῖς προρρηθεῖσιν ια΄.

Τάδ' ἐγὼ προφρόνως] Τὰ κῶλα ταῦτα, ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα ια΄.

Δενδροπήμων δὲ] Τὰ τοῦ χοροῦ ταῦτα κῶλα, χοριαμβικά ἐστιν ια΄, ὅμοια καὶ ἰσόμετρα τοῖς ἄνω. ἔστι δὲ ἀντιστροφὴ τῆς ἄνω στροφῆς.

305. Ἡ τάδ' ἀκούετε] Τὰ κῶλα ταῦτ' ἀναπαιστικά ἐστι δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ζ΄.

Ἀνδροκμῆτας] Στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσι ιβ΄.

Τάδε σοι χώρα] Τὰ κῶλα ταῦτα, ἀναπαιστικά εἰσι δίμετρα καὶ μονόμετρα η΄.

Ταὶ δ' ἄπληστον κακῶν] Ἀντιστροφὴ τῆς ἄνω στροφῆς. τὰ δὲ κῶλα εἰσὶ χοριαμβικὰ ὅμοια ιβ΄.

Ἆρα φρονοῦσι] τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα η΄.

306. Χαίρετ' ἐν αἰσιμίαις πλούτου] Στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσι ζ΄.

Χαίρετε χ' ὑμεῖς] τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι καὶ δίμετρα καὶ μονόμετρα ια΄.

Χαίρετε, χαίρετε δ' αὖθις] Ἑτέρα στροφή. τὰ δὲ κῶλα, εἰσὶ χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν η΄.

Αἰνῶ δὲ μύθους] Ἑτέρα περίοδος ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι, εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιϛ΄.

307. Βᾶτ' ἐν δόμοις] Ἑτέρα στροφὴ ἐν ἐκθέσει τελευταία τοῦ δράματος. τὰ δὲ κῶλα, χοριαμβικά ἐστιν, ὅμοια τοῖς ῥηθεῖσι δεκαέξ.

HENRICVS STEPHANVS LECTORI S. D.

